ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
349

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

1/ Ἀκολουθία ... Χριστοδούλου
Ἀθήνησιν 1884
2/ Κοσμᾶ Αἰτωλοῦ διδαχή.
Ἐν Κερκύρᾳ 1863

Δβ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΑΚΟΛΟΥΘΙΑ ΙΕΡΑ

ΤΟΥ

ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΧΡΙΣΤΟΔΟΥΛΟΥ

## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΤΟΥ ΚΑΙ ΚΤΗΤΟΡΟΣ ΤΗΣ ΕΝ ΤΗι ΝΗΣΩι ΠΑΤΜΩι
ΠΕΡΙΩΝΥΜΟΥ ΒΑΣΙΛΙΚΗΣ ΚΑΙ ΑΥΤΟΚΡΑΤΟΡΙΚΗΣ ΜΟΝΗΣ
ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ
ΕΝ Ηι ΚΑΙ ΤΟ ΤΙΜΙΟΝ ΑΥΤΟΥ ΤΕΘΗΣΑΥΡΙΣΤΑΙ ΛΕΙΨΑΝΟΝ

---

ΕΚΔΟΣΙΣ ΤΡΙΤΗ

Ηι ΠΡΟΣΕΤΕΘΗΣΑΝ Η ΥΠΟΤΥΠΩΣΙΣ ΑΥΤΟΥ,
Ο ΕΝ ΠΛΑΤΕΙ ΒΙΟΣ, ΔΥΟ ΕΓΚΩΜΙΑ ΚΑΙ ΔΙΗΓΗΣΙΣ
ΘΑΥΜΑΤΟΣ ΑΥΤΟΥ

ΝΥΝ ΠΡΩΤΟΝ ΕΚΔΙΔΟΜΕΝΑ ΕΠΙΜΕΛΕΙᾼ ΚΑΙ ΦΡΟΝΤΙΔΙ

ΚΥΡΙΛΛΟΥ ΙΕΡΟΔΙΑΚΟΝΟΥ ΒΟΪΝΗ

ΤΟΥ ΕΚ ΤΗΣ ΑΥΤΗΣ ΜΟΝΗΣ

« Ἐπιβλέψατε, καὶ θαυμάσατε θαυμάσια ».
( Ἀμβακ. α΄, 5. )
« Καὶ γνῶτε, ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ »
( Ψαλμ. δ΄, 4. )

Βιβλίον ἀριθ 361
ΕΚ ΤΩΝ ΤΟΥ
ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΑΜΑΣΕΙΑΣ
Ἀνθίμου Ἀλεξούδη 1893

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 1912
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΘΗΝΗΣΙΝ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ
ΕΠΙ ΤΗΣ ΠΛΑΤΕΙΑΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ
ΑΩΠΔ΄.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. ..................
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ




Η ΣΕΒΑΣΜΙΑ ΒΑΣΙΛΙΚΗ ΚΑΙ ΑΥΤΟΚΡΑΤΟΡΙΚΗ ΜΟΝΗ ΙΩΑΝΝΟΥ ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΚΑΙ ΘΕΟΛΟΓΟΥ Η ΕΝ ΤΗι ΝΗΣΩ ΠΑΤΜΩι ΛΙΘΟΓΡΑΦΗΘΕΙΣΑ ΔΑΠΑΝΗι ΚΥΡΙΛΛΟΥ ΙΕΡΟΔΙΑΚΟΝΟΥ ΒΟΪΝΗ.

## ΤΟΙΣ ΑΝΑΓΙΝΩΣΚΟΥΣΙΝ.

Πρὸς τῷ εὐλαβεῖ σκοπῷ, ὑφ᾽ οὗ ἐμπνεόμενος ἐπεχείρησα τὴν ἔκδοσιν τῆς ἀνὰ χεῖρας ἱερᾶς Ἀκολουθίας τοῦ ὁσίου πατρὸς ἡμῶν Χριστοδούλου τοῦ θαυματουργοῦ, ὑπῆρξαν καὶ τρεῖς ἄλλοι λόγοι οὐσιώδεις· α᾽) τὸ δυςεύρετον τοῦ βιβλίου, ὡς ἐκ τῆς σπάνεως αὐτοῦ, καὶ ἡ ὁσημέραι ἐπιτεινομένη ζήτησις αὐτοῦ καὶ ἐν αὐτῇ ἔτι τῇ Πάτμῳ· β᾽) ἡ ἐντελὴς ἀνακάθαρσις καὶ διόρθωσις αὐτῆς ἐκ τῶν πολλῶν γραφικῶν καὶ τυπογραφικῶν σφαλμάτων, ὧν ἔβριθον αἱ προγενέστεραι δύο ἐκδόσεις· καὶ γ᾽) ἡ προσθήκη τῶν μέχρι τοῦ νῦν ἀνεκδότων, ἤτοι τῆς τοῦ ὁσίου πατρὸς Ὑποτυπώσεως, τοῦ Βίου καὶ τῆς πολιτείας αὐτοῦ, τῶν δύο Ἐγκωμίων καὶ τῆς Διηγήσεως θαύματός τινος, περὶ ὧν ἰδίως γίνεται κατωτέρω λόγος. Ταῦτα κυρίως ἦσαν τὰ αἴτια, ἅτινα, ὡς καὶ ἐν τῇ ἀγγελίᾳ τῆς ἐκδόσεως ἀνέφερον, παρεκίνησάν με εἰς ἐπιχείρησιν τοῦ ἔργου.

Καὶ τίς μὲν εἶναι ὁ ποιητὴς τῆς παρούσης Ἀκολουθίας, τοῦτο εἶναι ἄδηλον· ἐνομίζετο δὲ ὑπὸ τῶν πατέρων τῆς μονῆς, ὅτι ἦτο ποίημα τοῦ μητροπολίτου Ῥόδου Ἰωάννου, τοῦ καὶ τὸν Βίον τοῦ ὁσίου συγγράψαντος, ἀλλ᾽ ὁ σεβαστός μοι διδάσκαλος κ. Ι. Σακκελίων δὲν ἀσπάζεται τὴν γνώμην ταύτην, δι᾽ ὃν ἀναφέρει λόγον ἐν τῷ κατωτέρω δημοσιευομένῳ ἰδίῳ προλόγῳ τοῦ Β΄ Παραρτήματος τῆς Ἀναγραφῆς τῆς Πατμιακῆς βιβλιοθήκης, ἥτις, ἔργον πρωτοφανὲς εἰς τὸ εἶδός του, καὶ προϊὸν μακροῦ χρόνου, διὰ τοῦτο δὲ καὶ ἐθνικὸν μνημεῖον ὀνομασθὲν ὑπ᾽ ἀνδρὸς σοφοῦ καὶ καθηγητοῦ ἄλλοτε ἐν τῷ ἐθνικῷ πανεπιστημίῳ, μετὰ πολλῆς τῆς περιεργίας ἐρευνήσαντος αὐτό, μένει ἀτυχῶς εἰσέτι ἀνέκδοτος, εἰ καὶ συνεστήθη τῷ

1863 ὑπὸ τῆς πρυτανείας πρὸς τὴν τότε Ἑλλην. κυβέρνησιν ἡ ἔκδοσις αὐτοῦ δημοσίᾳ δαπάνῃ.

Περὶ δὲ τῶν ἀνωτέρω διαληφθεισῶν δύο ἐκδόσεων αὐτῆς περιττὸν ν' ἀναφέρω ἐγώ, ἀφ' οὗ γίνεται ἴδιος λόγος ἐν τῷ τοῦ διδασκάλου μου προλόγῳ. Ἀλλ' ἐν τούτοις καθῆκόν μου θεωρῶ ἀπαραίτητον ἵνα καὶ δημοσίᾳ ὁμολογήσω τῷ εἰρημένῳ σεβαστῷ μοι διδασκάλῳ κ. Ι. Σακκελίωνι πλείστας ὅσας χάριτας καὶ τὴν ἄπειρον ὁμοῦ εὐγνωμοσύνην μου, ὄχι μόνον διότι μοὶ παρέσχε προθύμως τὰ χειρόγραφα πάντων τῶν ἐν τῇ παρούσῃ ἐκδόσει δημοσιευομένων, ἅτινα εἶχεν ἀπὸ πολλοῦ ἕτοιμα πρὸς ἔκδοσιν ἐν τῷ ἄνω ῥηθέντι συγγράμματι αὐτοῦ, μετὰ τῶν εἰς αὐτὰ σημειώσεων αὐτοῦ τούτου καὶ τοῦ συνεργασθέντος αὐτῷ ἐλλογίμου καὶ σεβαστοῦ μοι κ. Ἱεροθέου Φλωρίδου ἱερομονάχου, τοῦ ἐπαξίως κατέχοντος τὴν θέσιν βιβλιοφύλακος τῆς ἐν τῇ ἱερᾷ μονῇ βιβλιοθήκης, ἀλλὰ καὶ διότι μετ' ἴσης προθυμίας ἀνεδέξατο τὴν ἐπιστασίαν τῆς ἐκτυπώσεως καὶ τὴν διόρθωσιν τῶν τυπογραφικῶν σφαλμάτων, ἐπιφορτισθεὶς οὕτω καὶ ἕτερον βάρος πρὸς τῇ ἄλλῃ ἐργώδει ὑπηρεσίᾳ, ἣν ἔχει ἐν τῇ Ἐθνικῇ βιβλιοθήκῃ ὡς ἐπιμελητὴς τῶν χειρογράφων αὐτῆς. Ἀλλὰ περὶ τῶν καθ' ἕκαστον τούτων ἂς ὁμιλήσῃ ἤδη ὁ ἴδιος ἐν τῷ ἑξῆς προλόγῳ.

---

## ΠΑΤΜΙΑΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΠΑΡΑΡΤΗΜΑ Β'.

---

## ΠΡΟΛΟΓΟΣ.

« Τάδε ἔνεστιν ἐν τῷ Β' τούτῳ Παραρτήματι :

« Α') *Τοῦ ὁσίου πατρὸς ἡμῶν Χριστοδούλου Ὑποτύπωσις θεοφιλής, εἴτουν Διάταξις, ἣν διετάξατο ἐν τῇ ἰδίᾳ αὐτοῦ μονῇ τῇ οὔσῃ ἐν Πάτμῳ τῇ νήσῳ πρὸς τοὺς ἑαυτοῦ μαθητάς* ».

« Β') *Ἰωάννου τοῦ ἱερωτάτου μητροπολίτου Ῥόδου Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Χριστοδούλου τοῦ ἐν διαφόροις*

*μὲν τόποις ἀσκήσαντος, ἐν τῇ νήσῳ δὲ Πάτμῳ κειμένου σώου καὶ ἀδιαλωβήτου καὶ τοὺς πιστῶς προσιόντας καθαγιάζοντος».*

« Γ') *'Αθανασίου τοῦ μακαριωτάτου πατριάρχου 'Αντιοχείας 'Εγκώμιον εἰς τὴν 'Ανακομιδὴν τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Χριστοδούλου».*

« Δ') *Θεοδοσίου μοναχοῦ Βυζαντίου 'Εγκώμιον εἰς τὸν ὅσιον πατέρα ἡμῶν Χριστόδουλον τὸν δομήτορα τῆς ἐν τῇ Πάτμῳ νήσῳ μονῆς ἐπὶ τῷ ὀνόματι τοῦ ἠγαπημένου μαθητοῦ τοῦ Σωτῆρος Χριστοῦ, τοῦ Θεολόγου καὶ παρθένου, καὶ Διήγησις τῶν θαυμάτων, ὧν δι' αὐτοῦ ὁ Χριστὸς πεποίηκε κατὰ τοὺς χρόνους τοῦ εὐσεβοῦς βασιλέως κυροῦ 'Ισαακίου τοῦ 'Αγγέλου».*

« Ε'.) *'Ανωνύμου Διήγησις θαύματος πάνυ θαυμασία θαυματουργηθέντος παρὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Χριστοδούλου τοῦ μεγάλου καὶ θαυματουργοῦ».*

« Καὶ τίς μὲν καὶ πότε ἤνθει ὁ πάσῃ ἀρετῇ διαλάμψας καὶ ἐν τοῖς ἁγίοις τῆς 'Εκκλησίας γεραιρόμενος πατὴρ ἡμῶν Χριστόδουλος, εἰ καὶ ἐν πλάτει αὐτὸς οὗτός τε καὶ οἱ ἀνωτέρω βιογράφοι καὶ ἐγκωμιασταὶ αὐτοῦ ἀφηγοῦνται, ἀλλ' ὅμως οὐκ ἂν δόξειεν ἴσως περιττὸν ὡς ἐν συνόψει κἀνταῦθα διαλαβεῖν εἰς προδιοίκησιν τοῦ ἀναγνώστου».

« 'Εγεννήθη τοίνυν ὁ ὅσιος ἔν τινι κώμῃ τῆς κατὰ Βιθυνίαν Νικαίας περὶ τὴν δευτέραν δεκάδα τῆς ΙΑ' ἑκατονταετηρίδος. 'Εν ἡλικίᾳ δὲ κομιδῇ νεαρᾷ φοιτήσας εἰς τὰ κατὰ τὸν Μύσιον Ὄλυμπον ἡσυχαστήρια ἐξεπαιδεύθη αὐτόθι τήν τε θείαν καὶ τὴν κατὰ κόσμον παίδευσιν. Οὐ πολλῷ δ' ὕστερον τοὺς ἀσκητικοὺς διανύσας διαύλους κατά τε τὴν ἔρημον τῆς Παλαιστίνης καὶ τὰ ὄρη Λάτμον τῆς Μιλησίας, Στρόβηλον *(Τέρμερον)* τῆς Καρίας, καὶ Πηλεῖον τῆς ἀντιπόρθμου ταύτῃ Κῷ, ἀπῆλθε τέλος εἰς Πάτμον, δῶρον τὴν νῆσον λαβὼν παρὰ τοῦ αὐτοκράτορος 'Αλεξίου τοῦ Α' τῶν Κομνηνῶν, ἔνθα ἀνήγειρεν ἐκ βάθρων τὴν περιώνυμον μονὴν τοῦ ἁγίου 'Ιωάννου τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου. Ἔτη δὲ τρία καὶ μῆνας ὀκτὼ καταμείνας αὐτόθι (1), ἀναγκάζεται ὑπὸ τῶν προσπε-

(1) Κατ' 'Αθανάσιον, πέντε περίπου ἐνιαυτοὺς διήνυσεν ἐν Πάτμῳ ὁ ὅσιος πατὴρ [ὅρα ἔμπροσθεν **'Εγκώμιον εἰς τὴν 'Ανακομ.** § ΙΘ', σελ. 149], ἐν Εὐβοίᾳ δὲ μῆνας ἕνδεκα [αὐτόθ. §. ΚΖ', σελ. 155]. 'Αλλ' ἐκ τοῦ ἡμετέρου συμψηφισμοῦ προκύπτει ὁ ἀνωτέρω δηλωθεὶς χρόνος. Συνεψηφίσαμεν δὲ ὧδέ πως: 'Ο ὅσιος κατῆρεν εἰς Πάτ-

λασάντων Τούρκων μεταναστεῦσαι εἰς Εὔβοιαν, *τόπον διδοὺς τῇ ὀργῇ*, κατὰ τὸ λόγιον. Ἐνταῦθα δὲ ἐνδεκάμηνον διατρίψας χρόνον, καὶ ἡλικίας πόῤῥω ἥκων ἤδη, τοῦ μακαρίου ἔλαχε τέλους τῇ 16 Μαρτίου τοῦ 1093 ἔτους, παραδοὺς τὴν ἁγίαν αὐτοῦ ψυχὴν πρὸς ὃν ἠγάπησεν ἐκ νεότητος Κύριον (1) ».

« Μνημονεύεται δὲ παρὰ τῷ Ῥόδου Ἰωάννῃ συγγεγραφὼς ὁ μακάριος : « *Ὅρον τοῦ κατὰ Θεὸν πολιτεύεσθαι* » πρὸς τοὺς ἐν Κελλίοις καὶ Ζαγορᾷ ἀσκουμένους μοναχοὺς (2), τῆς τοῦ θείου Πνεύματος σοφίας καὶ χάριτος πλήρη ἀνομολογούμενόν τε καὶ θαυμαζόμενον, ὥς φησιν ὁ Ἀντιοχείας Ἀθανάσιος (3)· ἐξίτηλος μέντοι τῷ χρόνῳ ἡ τοιαύτη ἐγένετο συγγραφή. Μόνην δ᾿ ἔχομεν νῦν ἐξ αὐτοῦ τὴν παροῦσαν *Ὑποτύπωσιν*, ἧς τὸ ἀρχέτυπον τὸ τῇ ἰδιοχείρῳ ὑποσημασίᾳ αὐτοῦ πεπιστωμένον οὐ διεσώθη. Τὸ δὲ φερόμενον ἐν τῷ ΣΞΖ′ τεύχει ἀντίγραφον γέγραπται κατὰ τὴν ἐφεξῆς ἑκατονταετηρίδα, καὶ ἴσως περὶ τὰς ἀρχὰς αὐτῆς, ὡς ἐκ τοῦ τῆς γραφῆς χαρακτῆρος συμβαλεῖν ἐστιν, οὐ μὴν ἀλλὰ καὶ ἔκ τινος παραδρομῆς τοῦ ἀντιγραφέως· ἐκπεράνας γὰρ οὗτος τὴν ἀντιγραφήν, καὶ τὸν ἐν τῷ ἀρχετύπῳ φερόμενον χρόνον ὑποσημῆναι μέλλων, ἔλαθε χαράξας τὴν ἑκατοντάδα τῆς κατ᾿ αὐτὸν ἡλικίας, ἤτοι ἀντὶ ,σφϟθ′ ἔγραψεν ,σχ.., (οἷα τοῖς γραφεῦσι πολλάκις συμβαίνειν φιλεῖ)· εἶτ᾿ εὐθὺς συνιδὼν τὸ παρόραμα, ἀπήλειψε μὲν τοὺς προτέρους χαρακτῆρας ἀντικαταστήσας τὸ τῆς Ὑποτυπώσεως ἔτος, ἀλλ᾿ οὐχ ὁλοσχερῶς ἐγένοντο ἐξίτηλοι οἱ τύποι αὐτῶν ».

μον κατ᾿ Αὔγουστον τοῦ ,σφϟϛ′ ἔτους († 1088), ὡς ἐξάγεται ἀπὸ τοῦ **Πρακτικοῦ** τοῦ τὴν νῆσον παραδόντος αὐτῷ ἀναγραφέως τῶν Κυκλάδων νήσων Νικολάου τοῦ Τζάνζη [ὅρα τοῦτο ἔμπροσθεν ἐν τέλει τοῦ Προλόγου]· ἀνεπαύθη δ᾿ ἐν Κυρίῳ κατὰ Μάρτιον μεσοῦντα τοῦ ,σχά († 1093). Ὁ μεταξὺ ἄρα χρόνος, ὃν ἔζησε, συγκεφαλαιοῦται εἰς πεντήκοντα καὶ πέντε μῆνας. Ὑφελὼν οὖν ἐξ αὐτῶν τοὺς ἕνδεκα, οὓς ἐν Εὐβοίᾳ διήνυσεν, ὡς ἀνωτέρω εἴρηται, ἕξεις ὑπολοίπους τεσσαράκοντα καὶ τέσσαρας μῆνας, ἤτοι ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ὀκτώ.

(1) Καθ᾿ ἃ διηκριβωσάμεθα παρ᾿ ἀνδρῶν Εὐβοέων, ὁ τόπος ἔνθα ὁ ὅσιος ἐτελεύτησε κεῖται περὶ τὴν κωμόπολιν **Λίμνην**, ἤτοι ἐν τῷ τόπῳ, ᾧ κλῆσις **Γλίστριον** ἢ **Μονόπετρα.** Αὐτόθι γάρ, πρὸς δυσμὰς τῆς κωμοπόλεως καὶ ἐπὶ τοῦ αἰγιαλοῦ, δείκνυται σπήλαιον μικρῷ ὑπὲρ τὴν ἐπιφάνειαν τῆς γῆς ὑψούμενον καὶ καθιερωμένον ἐπ᾿ ὀνόματι τοῦ ὁσίου Χριστοδούλου, ἐν ᾧ, κατὰ τὴν ἐγχώριον παράδοσιν, τέθαπται ὁ μακάριος.

(2) Ὅρα ἔμπρ. **Βίον** κτλ. §. ΙΒ′, σελ. 124. — Πρβλ. καὶ **Ὑποτύπ.** §. Θ′, σελ. 76, καὶ τὰ αὐτόθι σεσημειωμένα μοι.

(3) Ὅρα ὡσαύτως **Ἐγκώμιον εἰς τὴν Ἀνακομ.** κτλ. §. ΙΓ′, σελ. 144.

« Τετύπωται δὲ τὸ πρῶτον ἡ Ὑποτύπωσις αὕτη ἐν τῷ βιβλιδαρίῳ, ᾧ ἐπιγραφή : « *Βίβλος περιέχουσα Κανόνας μερικῶν τινων ἁγίων, ἐν ᾗ προσετέθη Εὐχή τις τοῦ Συμεῶνος διὰ στίχων εἰς τὴν παναγίαν Τριάδα, καὶ ἑτέρα μικρὰ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ οἱ κδ΄ Οἶκοι τοῦ παναγίου Σταυροῦ· μετὰ καὶ προτροπῆς τινος πρὸς τοὺς ἐν Κύκκῳ πατέρας πολιτεύεσθαι κατὰ τὴν ῥηθεῖσαν Ὑποτύπωσιν· ἔτι καί τινα Τροπάρια κατανυκτικὰ, μετὰ τριῶν παρακλητικῶν Κανόνων. Ἐνετίῃσιν ͵αψνς΄. Παρὰ Ἀντωνίῳ τῷ Βόρτολι. 1756*· » ὑπὸ Ἐφραὶμ μοναχοῦ τοῦ ἐξ Ἀθηνῶν, τροφίμου χρηματίσαντος τῆς Πατμιάδος σχολῆς ὑπὸ καθηγηταῖς Μακαρίῳ καὶ Γερασίμῳ τοῖς μεγακλεέσιν· ὅς μεθύστερον καὶ Ἱεροσολύμων πατριάρχης ἀνηγορεύθη (τῷ 1766). Ὡρμήθη δὲ εἰς τύπωσιν αὐτῆς, ὥςπερ ἐν τῷ προλόγῳ φησίν, ἵν᾿ ἔχοιεν ταύτην οἱ ἐν τῇ κατὰ τὴν Κύπρον μονῇ τοῦ Κύκκου ἀσκούμενοι πατέρες ὡς ἀκριβῆ κανόνα τοῦ κατὰ Θεὸν πολιτεύεσθαι. Ἀλλ᾿ ἀμαθείᾳ εἴτε ἀβλεψίᾳ τοῦ ἀντιγραφέως, εἴτε καὶ ἀμελείᾳ τοῦ τυπογράφου, τοιαύτην ἔπαθε πολλαχοῦ ἀλλοίωσιν τὸ κείμενον ἐκ τοῦ φορυτοῦ τῶν παραφθορῶν, διαστροφῶν, παραδρομῶν, καὶ τῶν ἀπείρων περὶ τὴν ὀρθογραφίαν πταισμάτων, ὥςτε ἀδιανόητον εἶναι ἐν τοῖς πλείστοις τὴν ἀνάγνωσιν αὐτοῦ. Ἐπεὶ δ᾿ ἡμεῖς, προτροπαῖς ὑπείκοντες τῶν ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ Θεολόγου ἀσκουμένων πατέρων, ἔκδοσιν διωρθωμένην τε καὶ πεφροντισμένην ἀνεδεξάμεθα ἐκπονῆσαι, πρῶτον μὲν προσέσχομεν τὸν νοῦν εἰς τὴν ἀκριβῆ τοῦ χειρογράφου ἀντιγραφήν, εἶτα δὲ καὶ σημειώσεσιν ἱστορικαῖς τοπογραφικαῖς τε καὶ φιλολογικαῖς, τόγε εἰς ἡμᾶς ἧκον, προὐθυμήθημεν πλουτίσαι αὐτὴν, κατὰ παραγράφους διελόντες καὶ τὸ τοῦ κειμένου συνεχὲς, ὅπως ἂν ἀνετώτερον ἀναγινώσκηται ».

« Ἰωάννης δὲ ὁ Ῥόδου μητροπολίτης ποδαπὸς μὲν ἦν καὶ εἰ καί τινα ἄλλα συνέγραψεν,ἄδηλον· οὐδὲ γὰρ ἔχομεν ἄλλοθέν ποθεν εἴδησίν τινα περὶ αὐτοῦ. Ἤνθει δὲ ἐπὶ τῆς βασιλείας Ἰωάννου τοῦ Κομνηνοῦ, καθά που αὐτὸς οὗτος φησίν : « *Ὁ γὰρ νῦν τὴν βασίλειον ἰθύνων ἀρχὴν, ὁ τῆς πορφύρας ὡραῖος βλαστός, παῖς ἐκείνου* [τοῦ Ἀλεξίου] *καὶ λίαν ποθούμενος*, κτλ. » (1)· ἀλλὰ καὶ ἐξ ὧν ἀφηγεῖται προσωτέρω, εἰκάζεται ὅτι καὶ τῷ ὁσίῳ πατρὶ συνεχρόνει νεώτερος

(1) Ὅρα ἔμπρ. **Βίον** κτλ. §. Ι΄, σελ. 122.

γεραιτέρῳ (1). Τοῦτον ὁ Ἀντιοχείας Ἀθανάσιος *σοφὸν* καλεῖ, καὶ κρίσιν εὐφήμως ἐκφέρει περὶ τοῦ συγγραφέντος αὐτῷ *Βίου κτλ.* (2). Οὐ μέντοι γε στοιχοῦμεν ἡμεῖς τῇ παρὰ τοῖς πατράσι τῆς ἱερᾶς μονῆς ἐπικρατούσῃ δόξῃ, ὅτι αὐτὸς οὗτος ὁ Ῥόδου μητροπολίτης ἐστὶν ὁ καὶ τὴν ὅλην ᾀσματικὴν Ἀκολουθίαν ποιήσας· τὴν γὰρ φράσιν αὐτῆς ὡς πορρωτάτω ὁρῶμεν ἀπεσχοινισμένην τῆς τοῦ λόγου ὑφῆς τοῦ ἱεράρχου τούτου. Μαρτυρεῖ δὲ τῷ λόγῳ ἡμῶν καὶ ὁ ἐν τῷ ΤΟΒ΄ χειρογράφῳ τεύχει κείμενος ἕτερος Κανὼν τοῦ ὁσίου, ποίημα ὢν ἀναμφιλέκτως τοῦ Ἰωάννου τούτου, ὡς δῆλον ποιεῖ τὸ ἐν ἀκροστιχίδι τῶν θεοτοκίων φερόμενον ὄνομα: *ὁ Ἰωάννης*. Ὥςπερ τοίνυν ὑπολαμβάνομεν, πεποίηται αὕτη ὑπ᾽ ἄλλου τινὸς πεζοτέρου, μικρῷ μετὰ τὴν τοῦ ὁσίου πατρὸς εἰς τὴν ἀγήρω μακαριότητα μεταχώρησιν ».

« Ὁ δ᾽ Ἀντιοχείας Ἀθανάσιος, οὗ ἡ πατρὶς ἄγνωστος, ἐπὶ Μανουὴλ ἤκμαζε τοῦ Κομνηνοῦ, Β΄ τῷ ὀνόματι τασσόμενος ἐν τοῖς τῆς ἐκκλησίας τῆςδε πατριάρχαις, ΡΕ΄ δὲ τῇ ἀπὸ τοῦ ἀποστόλου Πέτρου διαδοχῇ, κατὰ Λεκυιῆνον (3). Ἀνηγόρευτο δὲ μετὰ τὴν ἐπὶ συνόδου, τῷ 1156 ἔτει συστάσης ἐν Κωνσταντινουπόλει, καταψηφισθεῖσαν καθαίρεσιν τοῦ τέως ὑποψηφίου τοῦ θρόνου τούτου Σωτηρίχου Παντευγένου τοῦ διακόνου (4). Ἦν μὲν οὖν ἐνδημῶν ὁ Ἀθανάσιος ἐν τῇ βασιλίδι τῶν πόλεων διὰ τὸ τηνικαῦτα τὴν Ἀντιόχειαν τῷ κράτει τῶν σταυροφθόρων Λατίνων ὑποτετάχθαι. Εἰ γὰρ καὶ ὁ τῆς πόλεως ταύτης ἡγεμὼν Βοημοῦνδος, ὁ τοῦ λῃστοῦ καὶ ἅρπαγος Ῥοβέρτου Γυϊσκάρδου υἱὸς καὶ διάδοχος, Ἀλεξίῳ ἐκείνῳ τῷ Α΄ τῶν Κομνηνῶν ἐνόρκως ἤδη συνετέθειτο μηδένα δέχεσθαι ἐν τῇ πόλει πατριάρχην Λατῖνον, ὅτι μὴ μόνον ὃν ἂν ὁ αὐτοκράτωρ προβάλοιτο, θρέμμα τυγχάνοντα τῆς ἐν Κωνσταντινουπόλει μεγάλης Ἐκκλη-

(1) Αὐτόθι §. ΙΒ΄, σελ. 124.

(2) Ὅρα **Ἐγκώμιον εἰς τὴν Ἀνακομ.** κτλ. §. Α΄, σελ. 135.

(3) Le Quien Oriens Christian. τόμ. Β΄, σελ. 759. Κατὰ δὲ τὸν ἀείμνηστον Κωνστάντιον τὸν ἀπὸ Σιναίου, ΡΙΑ΄ ἦν τῇ διαδοχῇ [**Συγγρ. Ἐλάσ.** σελ. 132].

(4) Ὅρα τὰ παρὰ Νικήτᾳ Χωνιάτῃ περὶ τοῦ πράγματος ἱστορούμενα [Εἰς **Μαν. Κομν.** Ζ΄, σελ. 275. Bonn.]. Τῆς δὲ συνόδου τὰ **Πρακτικὰ** ἐκδέδονται ὑπὸ τοῦ σοφοῦ καρδινάλεως Ἀγγέλου Μαΐου ἐν τῇ αὐτοῦ **Ῥωμαϊκῇ Σταχυολογίᾳ** (Spicileg. Roman. τόμ. Ι΄, σελ. 1-93. Rom. 1844). Ὁ δὲ **συνοδικὸς Τόμος,** ὃν κατὰ Σωτηρίχου ἐξέθετο ἡ σύνοδος, καὶ ὁ **Ἀπολογητικὸς** αὐτοῦ τούτου, φέρονται ἐν τῷ ΤΞϚ΄ τεύχει, ἔνθα βλέπε τὰ σημειωθέντα μοι.

σίας (1), ἀλλ᾽ οἱ μετ᾽ αὐτὸν ἄρξαντες, τὸ ὅρκια λύσαντες, Λατίνους ἀνηγόρευον πατριάρχας ἐπὶ τὸν τῆς Ἀντιοχείας θρόνον. Σεβαστὴν μέντοι ἀπέδειξεν εἰς τὸ μετέπειτα ὁ ἡρωϊκὸς Μανουὴλ τὴν παππῴαν συνθήκην (2). Καὶ ἦν λοιπὸν ἐπὶ τοῦ Ἀθανασίου τούτου ἄνομος ἔκφυλός τε καὶ ἐν χρῷ ἀποκεκαρμένος ἐπιβάτης τοῦ Ἀντιοχικοῦ θρόνου, ὑπὸ τοῦ τῆς χώρας κρατοῦντος Ῥενάλδου ἀνηγορευμένος, δυσώνυμός τις Αἰμέρικος ἢ Αὐμέρικος (3). Παρῆν δὲ ὁ Ἀθανάσιος κἀν τῇ συστάσῃ τῷ 1166 ἔτει ἐν Κωνσταντινουπόλει συνόδῳ περὶ τοῦ ῥητοῦ: «*Ὅτι ὁ πατήρ μου μείζων μου ἐστίν*», ὡς βλέπομεν ἐν τοῖς Πρακτικοῖς αὐτῆς τοῖς ὑπὸ τοῦ αὐτοῦ Μαΐου ἐκδεδομένοις ἐν τῇ αὐτοῦ *Νέᾳ συλλογῇ ἀρχαίων συγγραφέων* (4). Ὁ δ᾽ αὐτὸς μετὰ καὶ τῶν Κωνσταντινουπόλεως καὶ Ἀλεξανδρείας πατριαρχῶν ηὐλόγησε τὸν δεύτερον γάμον τοῦ αὐτοκράτορος Μανουὴλ μετὰ Μαρίας θυγατρὸς Ῥαϋμούνδου τοῦ τῆς Ἀντιοχείας ἡγεμονεύοντος, καθὰ Κίνναμος ἱστορεῖ ἐν τούτοις: «*Πέμπτην τοίνυν καὶ εἰκοστὴν μηνὸς ἄγοντος Ἀπελλαίου, ὃν Δεκέμβριον ῥωμαΐζοντες ὀνομάζουσιν ἄνθρωποι, εἰς τὸν περιώνυμον τῆς τοῦ Θεοῦ Σοφίας οἶκον λαμπρῶς καταχθεὶς* [ὁ βασιλεύς], *ἐνταῦθα ταύτην ἁρμόζεται, Λουκᾶ τοῦ τὴν ἐν*

(1) Ὅρα Ἀν. Κομν. **Ἀλεξιάδ.** ΙΓ′, σελ. 413. Paris.

(2) Κίνναμ. Δ′, ιή καὶ κά. Venet.

(3) Le Quien, ἔνθα ἀνωτ. τόμ. Β′, σελ. 759 καὶ Γ′, σελ. 1156. Οἵαν δὲ ἀπεχθήμονα αἴσθησιν παρεῖχε τοῖς ἡμετέροις ἡ θέα τῶν ἀπὸ Ῥώμης εἰς τὴν ἑλληνικὴν χώραν ἀποστελλομένων ἐπισκόπων καὶ λοιπῶν κληρικῶν, διά τε τὸ τῆς ἀμπεχόνης ξένον καὶ ἄηθες καὶ τὴν ἄσεμνον ἐν χρῷ κουράν, μάρτυς παρίτω φερέγγυος ὁ ἱστοριογράφος Νικήτας Χωνιάτης· ὃς περὶ Θωμᾶ τοῦ Ἑνετοῦ, τοῦ μετὰ τὴν ὑπὸ τῶν Λατίνων ἅλωσιν τῆς Κωνσταντινουπόλεως πρώτου αὐτῆς ψευδοπατριάρχου τὸν λόγον ποιούμενος, τοιαῦτά φησιν: «**Ἦν δὲ οὗτος ἐσθῆτά τε τὴν πάτριον περικείμενος, συνυφασμένην μικροῦ τῷ σώματι καὶ ῥαφιδουμένην ἑκάστης τὰ εἰς καρπούς, καὶ τὸ στῆθος ἀφιεῖσαν ἄνετον, καὶ τὸ γένειον ξυρώμενος δρώπακος ἀκριβέστερον, ὡς εἶναι τὸ τῶν παρειῶν ἐδάφιον μηδ᾽ ὑποφαιούμενον ὅλως ταῖς πρώταις ἀνατολαῖς τῶν τριχῶν, ἀλλ᾽ ὡς ληϊστὸν παντάπασιν ἄχλοον**»· καὶ πάλιν περὶ τοῦ αὐτοῦ, ὅτι ἦν: «**τὴν μὲν ἡλικίαν μέσος, τὴν δὲ σωματικὴν πλάσιν λακκευτοῦ συὸς εὐτραφέστερος· ἦν δὲ καὶ λεῖος, ξυρῷ τὸ τοῦ προσώπου ἔδαφος, ὡς οἱ λοιποὶ τῶν ἐκ τοῦ γένους ἐκείνου, καὶ τὰς ἐπιστηθίους παρατετιλμένος τρίχας ἀκριβέστερον δρώπακος . . . . δακτύλιόν τε τῇ χειρὶ περιστρέφων· ἐνίοτε δὲ καὶ τὰ ἐκ δέρρεων εἰς δακτύλους διεσχισμένα τῶν χειρῶν φυλακτήρια περικείμενος·** κτλ.» [**Τὰ μετὰ τὴν ἅλωσ.** ιϐ′, σελ. 825, καὶ **Περὶ Κωνσταντινουπόλ.** ά, σελ. 855].

(4) Scriptor. veter. Nova Collect. τόμ. Θ′, σελ. 611-18. Rom. 1837.—Πρβλ. καὶ τὰ Νικ. τῷ Χωνιάτῃ περὶ αὐτῆς ἱστορούμενα [Εἰς **Μαν. Κομν.** Ζ′, σελ. 276].

*Κωνσταντινουπόλει Ἐκκλησίαν τηνικαῦτα λαχόντος, Σωφρονίου Ἀλεξανδρείας, καὶ τοῦ Θεουπόλεως Ἀθανασίου, ᾗ χριστιανοῖς ἔθος ἐστὶ, τὰς χεῖρας αὐτοῖς ἐπιθέντων* (1) ». Ὅτι δὲ πρὸ τοῦ ἀναδειχθῆναι αὐτὸν πατριάρχην, ἐν Πάτμῳ μετήει τοὺς ἀσκητικοὺς ἀγῶνας, τοῦτο συνάγεται καὶ ἐξ ὧν ὡς αὐτόπτης περιγράφει (2), ἀλλὰ δὴ καὶ ἐξ ὧν παρῃνίξατο ἐν τούτοις: « *Σάββας οὗτος ἦν ὁ ἀοίδιμος, ὁ καὶ τῆσδε τῆς καθ' ἡμᾶς μονῆς προστατεύσας ἐμπειρικώτατα* (3) »· καί: « *μὴ διαλίποις τοὺς σοὺς ἐποπτεύων ἡμᾶς· σοὶ γάρ ἐσμεν ἀληθῶς, κἂν ἤδη τῶν σῶν, οὕτω δόξαν τοῖς ἐνθάδε σοῖς, ἀποικιζόμεθα πόῤῥωθεν* (4) ». Ἐκ δὲ τοῦ τελευταίου τούτου γίνεται δῆλον, ὅτι μακρὰν τῆς Πάτμου διατρίβων συνέγραψε τὸν Λόγον τοῦτον, καὶ πιθανῶς ἐν Κωνσταντινουπόλει. Δοκεῖ δὲ καὶ τῷ Ῥόδου Ἰωάννῃ συγχρονῆσαι νεώτερος γεραιτέρῳ, ἐξ ὧν περὶ αὐτοῦ λέγει: *Ἰωάννην φημὶ τὸν τῆς εὐκλεεστάτης νήσου Ῥόδου τοὺς ἐκκλησιαστικοὺς ἰθύνοντα οἴακας* (5) ». Ἔοικε δ' ὁ ἀνὴρ πρὸ τοῦ 1178 ἤδη ἔτους πρὸς Κύριον ἐκδημῆσαι· περὶ τοῦτον γὰρ τὸν χρόνον ἀναγράφεται πατριάρχης Ἀντιοχείας Συμεὼν ὁ Β΄ (6). Ταῦτα καὶ περὶ τούτου ».

« Περὶ δὲ Θεοδοσίου μοναχοῦ τοῦ Βυζαντίου οὐδέν τι πλέον γινώσκομεν ἢ ὅτι ἤκμαζεν ἐπὶ τῆς βασιλείας Ἰσαακίου τοῦ Ἀγγέλου, τουτέστι περὶ φθίνουσαν ἤδη τὴν ΙΒ΄ ἑκατονταετηρίδα, ὡς συνάγεται ἐξ ὧν αὐτὸς ἀφηγεῖται ἐν τῷ κατ' αὐτὸν Ἐγκωμίῳ (7), εἷς ὢν τῆς ἐν Πάτμῳ εὐαγοῦς ποίμνης. Πλὴν ἀλλ' ὑπερκορής τις καθέστηκεν ἐν τῷ κατ' αὐτὸν Ἐγκωμίῳ καὶ φορτικὸς τῇ τε μακρηγορίᾳ καὶ τῷ ἐπιτετηδευμένῳ καὶ διθυραμβώδει τοῦ ὕφους. Ἔστι δὲ πιθανώτατα ὁ αὐτὸς καὶ ὁ τὸν *Βίον καὶ πολιτείαν τοῦ ὁσίου πατρὸς ἡμῶν Λεοντίου πατριάρχου Ἱεροσολύμων* συγγράψας Θεοδόσιος μοναχὸς

(1) Βιβλ. Ε΄, ζ΄.

(2) Ὅρα ἔμπροσθεν σελ. 159 ἐφ.

(3) Ὅρα ὡςαύτως σελ. 154.

(4) Ὡςαύτως σελ. 161.

(5) Ὡςαύτως σελ. 135.

(6) Le Quien ἔνθα ἀνωτ. τόμ. Β΄, σελ. 759. Ὅ γε μὴν Κωνστάντιος ὁ ἀπὸ Σιναίου τίθησι τὴν τούτου πατριαρχίαν τῷ 1245-1260 [**Συγγρ. Ἐλάσ.** σελ. 134].

(7) §. ΙΑ΄, σελ. 176 καὶ ἐφ.

ὁ Κωνσταντινουπολίτης (1). Ὁ δὲ Λεόντιος οὗτος ἦν πρότερον ἐν Πάτμῳ ποιούμενος τὰς κατὰ Θεὸν διατριβάς, ὃς καὶ τῆς ἱερᾶς μονῆς τοῦ Θεολόγου καθηγήσατο, τέταρτος αὐτὸς ἀπὸ τοῦ ὁσίου Χριστοδούλου διάδοχος, ὅτε καὶ εἰς μαθητὴν τελῶν ἦν αὐτῷ ὁ Θεοδόσιος, ὥςπερ φησὶν ὁ αὐτός (2). Ὁ δὲ ῥηθεὶς *Βίος κτλ.*, μετὰ καὶ τῶν συγγραφέντων τῷ μακαρίῳ Λεοντίῳ: *Κεφαλαίων περὶ τῆς ἁγίας Τριάδος*, καί: *Περὶ διαφορᾶς ἔρωτος*, συνεκδέδοται τοῖς *Μακαρίου Φιλαδελφείας τοῦ Χρυσοκεφάλου Λόγοις*, *ἐν Κοσμοπόλει* [Βιέννῃ] ͵αψξγ', σελ. 330, ἀπὸ τοῦ ΡΟΖ' Πατμιακοῦ χειρογράφου τεύχους ληφθέντα».

« Ὡςαύτως δὲ καὶ περὶ τοῦ Ἀνωνύμου τοῦτο δὴ καὶ μόνον μανθάνομεν ἐκ τῆς αὐτοῦ *Διηγήσεως*, ὅτι περὶ τελευτῶσαν ἤκμαζε τὴν ΙΓ' ἑκατονταετηρίδα· φησὶ γὰρ ἐν προοιμίοις: «*διηγητέον εἶναι φημὶ καὶ προθετέον εἰς μέσους, τοῦ τῶν ἀκουόντων ἕνεκα μάλιστα κέρδους, ὅπερ χρόνῳ μικρῷ πρότερον παρὰ τῆς δαψιλεστάτης αὐτοῦ χάριτος ἐφ' ἡμῶν ἐξαισίως ἄγαν τεθαυματούργηται καὶ τετέλεσται* (3)»· εἶτα δὲ προϊὼν ὁρίζει καὶ τοῦ θαύματος τὸν χρόνον, ἤτοι τὸ ͵ςψπη' († 1280) (4)».

« Ἀπὸ μὲν οὖν τῶν συγγραφῶν τοῦ Ῥόδου Ἰωάννου καὶ τοῦ Ἀντιοχείας Ἀθανασίου ἐρανισάμενος Ἀγάπιος μοναχὸς ὁ Κρὴς μετέφρασε συνοπτικῶς εἰς τὸ κοινὸν ἰδίωμα τὸν *Βίον* τοῦ ὁσίου πατρός, ἐκδοθέντα ἐν τῷ βιβλίῳ τῷ ἐπιγεγραμμένῳ: « *Ἀκολουθία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Χριστοδούλου τοῦ θαυματουργοῦ τοῦ ἐν τῇ νήσῳ Πάτμῳ ἀσκήσαντος· νῦν πρῶτον τυπωθεῖσα, σπουδῇ μὲν καὶ δαπάνῃ τοῦ σοφολογιωτάτου διδασκάλου κυρίου Ἰακώβου τοῦ Πατμίου τοὐπίκλην Ἀναστασίου, προτροπῇ δὲ τοῦ ἐν ἱεροδιδασκάλοις κυρίου Ἐφραὶμ τοῦ ἐξ Ἀθηνῶν, ὅπως διανέμωνται δωρεὰν παρὰ τῶν ἐν τῇ Μονῇ οἰκούντων πατέρων. Ἐνετίῃσι ͵αψνέ* ». Ἀπὸ δὲ τῶν αὐτῶν πάλιν καὶ τῆς Θεοδοσίου τοῦ μοναχοῦ ἐπιπλέον, ἑτέραν συνοπτικὴν μετάφρασιν, πονηθεῖσαν τῷ μακαρίτῃ Ἰωάννῃ Καληγᾷ, ἐξέδωκαν καθ' ἡμᾶς οἱ υἱοὶ αὐτοῦ Παναγιώτης καὶ Μιχαῆλος

(1) Ὅρα §. ΙΗ', σελ. 183.
(2) Ὡς. αὐτόθ.
(3) §. Β', σελ. 210.
(4) §. Γ'. σελ. 211.

ἐν τῇ ἀνωτέρω *Ἀκολουθίᾳ κτλ.*, τῇ παρ' αὐτῶν ἀνατυπωθείσῃ ἐν Ἑρμουπόλει τῷ 1843. Οὐδεὶς μέντοι γε ἐπελάβετο ἕως τοῦδε καὶ τῆς τῶν πρωτοτύπων ἐκδόσεως. Τούτου δὴ χάριν, καὶ ἵνα ἐν πάσῃ λεπτομερείᾳ τε καὶ ἐκτάσει γνωστὰ γένωνται ἅπασι τοῖς εὐσεβέσι χριστιανοῖς τὰ κατὰ τὸν μακάριον καὶ θαυμάσιον ἐκεῖνον ἄνδρα, μετ' ἐνδελεχοῦς προσοχῆς ἀντιγράψαντες τὰς εἰρημένας συγγραφάς, ἤτοι τὰς μὲν Β', Γ', καὶ Δ', ἀπὸ τοῦ ΡΟΘ' τεύχους (1), τὴν δὲ Ε' ἀπὸ τοῦ ΤΟΒ', ἐκδίδομεν συνημμένως τῇ *Ὑποτυπώσει*, μετὰ καὶ τῶν παρὰ τοῦ περισπουδάστου φίλου Ἱεροθέου πονηθεισῶν εἰς τὰ ὑπὸ στοιχ. Β', Γ', καὶ Δ', σημειώσεων· ἔστιν οὗ δὲ καὶ ὀλίγας τινὰς ἡμετέρας συμπληρωτικῶς πως προσεθήκαμεν, τοῖς χαρακτῆρσι Ι. Σ. διακρίναντες».

«Εὐμενεῖ δὴ τῇ διαθέσει, σεβάσμιοι τῆς εὐαγοῦς μονῆς πατέρες, τὸ ἔργον ἡμῶν ἀποδεξάμενοι τοῦτο, *Θεῷ μὲν τῷ τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ θαυμαστοῦντι* ἀπαύστως τοὺς δὲ ἀσθενεῖς ἐνδυναμοῦντι τὴν χάριν ἀναγράφετε, ἡμῖν δὲ τοῖς οὐ μικρὸν χάριν ὑμῶν πονήσασιν εὔχεσθε τὰ σωτήρια. Εἰ δὲ καί τισιν ἐντύχοιτε ἡμαρτημένως ἴσως εἰρημένοις, εἴτε καὶ ἐλλιπῶς ἔχουσι, συγγνώμης ἡμᾶς ἀξιώσατε, ἐκεῖνο εἰδότες, ὅτι: «*οὐδεμία αὐτάρκης ἀνθρώπου φύσις, οὔτ' ἐν λόγοις, οὔτ' ἐν ἔργοις, ἀναμάρτητος εἶναι· κρατίστη δὲ, ἡ πλεῖστα μὲν ἐπιτυγχάνουσα, ἐλάχιστα δὲ ἀστοχοῦσα* (2)».

«Ἐρρωμένοι μοι εἴητε ἐν Κυρίῳ κατ' ἄμφω».

Ι. ΣΑΚΚΕΛΙΩΝ.

(1) Καὶ ἕτερον ἀντίγραφον τούτων διατηρεῖται ἐν τῷ τῆς ἱερᾶς μονῆς σκευοφυλακίῳ ἄριστα κεκαλλιγραφημένον ἰδιοχείρως ὑπὸ τοῦ τῆς ὁσίας λήξεως Μακαρίου ἀρχιεπισκόπου πρώην Κορίνθου τοῦ ἐκ τοῦ τῶν Νοταράδων ἐπιφανοῦς γένους· ἦν γὰρ ἐν Πάτμῳ κατὰ φθίνουσαν τὴν παρελθοῦσαν ἑκατονταετηρίδα τοὺς ἀσκητικοὺς διανύων διαύλους, κατὰ τὸ ἐν τῇ οὑτωσὶ καλουμένῃ **Κουμάνᾳ** ὑπ' αὐτοῦ δομηθὲν ἡσυχαστήριον τῶν ἁγίων Πάντων. Πρώην δὲ καὶ ἐν τῇ πλησιοχώρῳ νησῖδι Ληψίᾳ διήγαγε χρόνον τινὰ ἐν τῷ κατὰ τὴν τοποθεσίαν **"Αγριον νερὸν** ἡσυχαστηρίῳ, τῷ εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου καθιερωμένῳ, ὅπερ εἶχε πρῶτος πηξάμενος Νήφων ὁ Χῖος. Φέρει δ' ἐν τέλει τὸ εἰρημένον ἀντίγραφον τὴν ἑξῆς σημείωσιν: «**Γέγραπται τὸ παρὸν διὰ χειρὸς Μακαρίου καὶ ἐν ἐλαχίστοις ἀρχιερέως Κορίνθου, καὶ ἀφιέρωται τῇ ἱερᾷ μονῇ τοῦ Θεολόγου, καὶ οἱ ἐντυγχάνοντες εὔχεσθε ὑπὲρ ἐμοῦ.** αψϛγ'. **Μαρτίου ιέ**». Μετέφρασε δὲ καὶ οὗτος καθαρευούσῃ φράσει τὸν τοῦ ὁσίου **Βίον** ἐκδοθέντα ἐν τῷ **Νέῳ Λειμωναρίῳ**.

(2) Διονύσ. Ἁλικαρν. **Περὶ τοῦ Θουκυδ. χαρακτ. δ'.**

Καὶ ταῦτα μὲν ὁ σεβαστός μοι διδάσκαλος. Ἐπὶ τῇ αἰτήσει μου δὲ ἐχορήγησέ μοι ἐπιπλέον καὶ ἀντίγραφον τοῦ ἐν τῷ τῆς μονῆς ἀρχείῳ διατηρουμένου ὑπ᾽ ἀριθ. 7 Χρυσοβούλλου τοῦ αὐτοκράτορος Ἀλεξίου τοῦ Κομνηνοῦ, δι᾽ οὗ ἐδωρήθη ἡ Πάτμος ἐξ ὁλοκλήρου τῷ ὁσίῳ ἡμῶν πατρί, πρὸς δὲ καὶ ἕτερον ἀντίγραφον τοῦ ὑπ᾽ ἀριθ. 50 Πρακτικοῦ τῆς ἀναμετρήσεως καὶ παραδόσεως τῆς νήσου πρὸς τὸν ὅσιον, μετὰ καὶ τῶν εἰς αὐτὰ σημειώσεών του. Ἀμφότερα δὲ τὰ ἔγγραφα ταῦτα βλέπει ὁ ἀναγνώστης ἐφεξῆς.

Ἔῤῥωσθε.

ΚΥΡΙΛΛΟΣ ΙΕΡΟΔΙΑΚΟΝΟΣ ΒΟΪΝΗΣ
*ὁ ἐκ τῆς αὐτῆς ἱερᾶς μονῆς.*

Ἐν Πάτμῳ τῇ 18 Μαΐου 1884.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## ΑΛΕΞΙΟΥ Α΄ ΤΟΥ ΚΟΜΝΗΝΟΥ

### ΧΡΥΣΟΒΟΥΛΛΟΣ ΛΟΓΟΣ.

---

**† Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος Ἀλέξιος πιστὸς ὀρθόδοξος βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Κομνηνὸς †**

**† πᾶσιν οἷς τὸ παρὸν ἡμῶν εὐσεβὲς ἐπιδείκνυται σιγίλλιον †**

Καὶ πᾶσι μὲν ὑπέχειν τὰς ἀκοὰς τοῖς εὐλόγως τὰς αἰτήσεις ποιουμένοις δίκαιόν τε ὁμοῦ καὶ θεοφιλὲς καὶ τῆς θείας ἐχόμενον ἐντολῆς (1)· τοῖς δὲ κατ᾽ ἀρετὴν διαφέρουσι καὶ ὅλοις διὰ βίου ἀνακει-

(1) Τὸ χρυσόβουλλον τοῦτο πλημμελῶς ἀναγνοὺς ὁ ἐν τῷ ἐθνικῷ πανεπιστημίῳ μακαρίτης καθηγητὴς τῆς ἀρχαιολογίας Λουδοβῖκος Ῥόσσιος ἐξέδωκε πρῶτος αὐτὸς τῷ 1843 ἔτει ἐν ταῖς: Reisen auf den Griechisch. Inseln κτλ. II, σελ. 179, ἀφ᾽ οὗ μετείληφεν αὐτὸ καὶ Ζαχαρίας ὁ Lingenthal ἐν τῷ Jus Graeco-Roman. Pars III, σελ. 370. Ἀλλὰ καὶ ἐκ τῶν ἡμετέρων οἱ μακαρῖται αὐτάδελφοι Παν. καὶ Μιχ. Καληγάδαι ἐτύπωσαν αὐτὸ συγχρόνως τῷ Ῥοσσίῳ ἐν τῇ πρόσθεν μνημονευθείσῃ δευτέρᾳ ἐκδόσει τῆς παρούσης **Ἀκολουθίας,** ἐξ ἀντιγράφου μέντοι πλημμελεστάτου, περὶ οὗ ἐποιησάμην ἄλλοτε λόγον ἐν τῷ περιοδικῷ συγγράμματι **Πανδώρᾳ** [τόμ. ΙΔ΄, σελ. 365 καὶ 366]. Ἔγωγε τοίνυν, μετὰ μακρὰν ἐπίμονόν τε καὶ προστετηκυῖαν σπουδὴν τοῦ ἀρχετύπου, ἐξενίκησα ἐπὶ τέλους (καὶ ἀπέστω πᾶσα καυχήσεως ὑπόνοια) πᾶν τὸ πρὸς ὀρθὴν καὶ ἄπταιστον ἀνάγνωσιν αὐτοῦ προςιστάμενον. Πολλῶν δὲ φίλων ἀξιώσεσιν εἴκων, καὶ ἔξοχα πάντων, τῶν περισπουδάστων ἐμοί, τῶν ἀειμνήστων λέγω Σοφοκλέους Κ. τοῦ ἐξ Οἰκονόμων καὶ Νικολάου Δραγούμη, ἐξέδωκα αὐτὸ ἐν τῷ μνημονευθέντι περιοδικῷ μετὰ μακρῶν ἐξηγητικῶν, ἱστορικῶν κλπ. σημειώσεων, ἀπὸ πλειόνων ἢ ἑκατὸν ποιητῶν καὶ συγγραφέων συνερανισθεισῶν, ὑποδείξας ἐν τῇ πέζῃ καὶ τὰ ὑπὸ τῶν προεκδόντων πλημμελῶς ἀνεγνωσμένα, προςθεὶς δὲ καὶ τεμάχιον αὐτοῦ πανομοιότυπον σὺν τῇ τοῦ αὐτοκράτορος ὑπογραφῇ [ὅρα τόμ. ΙΕ΄, σελ. 546, καὶ Ιϛ΄, σελ. 47, 83, 116 καὶ 136]. Ἐξ ἁπλῆς γοῦν ἀντιπαραθέσεως τοῦ τῆς ἐμῆς ἐκδόσεως κειμένου καὶ τῶν εἰρημένων ἀμφοτέρων, καὶ μάλιστα τοῦ ἐνταλτικοῦ μέρους αὐτοῦ, καθορᾷ ὁ ἀναγνώστης τὰς οὐ σμικρὰς οὐδ᾽ ἀσημάντους διαφοράς. Ι. Σακκελιων.

μένοις Θεῷ, πολλῷ μᾶλλον δικαιότερον καὶ κρείττονος λόγου ἐπάξιον. Τὸ γὰρ συναίρεσθαι τούτοις καὶ χεῖρα ὀρέγειν βοηθείας ἐν οἷς ἄρα καὶ δέοιντο, Θεοῦ ἄντικρυς συνέργεια, κατὰ τὸν μέγαν καὶ θεῖον Ἀπόστολον, καὶ τῆς ἐναρέτου πολιτείας καὶ διαγωγῆς συντήρησις. Διά τοι τοῦτο καὶ ἡ βασιλεία μου, καὶ πᾶσι μὲν τοῖς ἄλλοις δίκαιον ἡγεῖται συμπαθέστερον ἐπικλύεσθαι καὶ τὰς τοῦ ἐλέους ἐποχετεύειν πηγὰς δαψιλῶς, μάλιστα δὲ τῶν ἁπάντων, οἷς κατὰ μόνας ὁ βίος ἐστὶ καὶ τῆς κοσμικῆς ἀποδιῃρημένος περιφορᾶς καὶ συγχύσεως.

Ἔνθεν τοι καὶ τῷ εὐλαβεστάτῳ μοναχῷ Χριστοδούλῳ καὶ ἡσυχαστῇ, τῷ πρὶν ἐν τῷ ὄρει τοῦ Λάτρους τὰς κατὰ Θεὸν ποιουμένῳ διατριβὰς καὶ τὸν ἀσκητικὸν διανύοντι δίαυλον, ἡσυχίας τυγχάνοντι διαπύρῳ ἐραστῇ, καὶ ἔργον τιθεμένῳ διηνεκὲς ἐν τοῖς τοῦ Θεοῦ δικαιώμασι κατὰ μόνας ἀδολεσχεῖν, αἴτησιν προτειναμένῳ μάλα θεάρεστόν τε καὶ εὔλογον, ὑπέσχε τὰς ἀκοὰς ἡ γαληνότης ἡμῶν συμπαθῶς καὶ τὴν αἴτησιν ἐξεπλήρωσεν εὐχερῶς. Ἐπεὶ γὰρ ὁ θεοφιλὴς οὗτος ἀνήρ, δι' ἔρωτα ἡσυχίας καὶ πόθον βίου ἐρημικοῦ, καταγώγιόν τι ἐπεζήτει εὑρεῖν τῷ οἰκείῳ τρόπῳ καὶ βίῳ κατάλληλον, διέγνω δὲ τὴν Πάτμον νῆσον, ἄλλως τε μὲν οὖσαν τραχεῖάν τε καὶ λυπράν, πίειραν δὲ καὶ πρὸς καρπῶν πνευματικῶν ἐπιτηδειοτάτην φοράν, εἴ τις ἐν αὐτῇ καταβαλεῖν ἐθέλοι τὰ θεοφιλῆ τῶν ἀρετῶν σπέρματα, καὶ ἀρετῆς, ὡς εἰπεῖν, ὑπάρχουσαν ἐργαστήριον (πρώτως γάρ, διὰ τὸ καθάπερ τινὰ κλῆρον εἰληφέναι τὰς ἐν αὐτῇ τοῦ τῆς βροντῆς υἱοῦ καὶ τῷ Χριστῷ διαφερόντως ἠγαπημένου διατριβάς· ἔπειτα δὲ καὶ τὸ τῆς θέσεως τοῦ τόπου ἐρημικὸν καὶ μονώτατον, καὶ μή τινας ἔχειν τοὺς ἐκεῖ παραβάλλοντας, διὰ τὸ τῆς ἠπείρου ἀποκεῖσθαι μακράν), προσῆλθε τῇ βασιλείᾳ μου ἐκλιπαρῶν μάλα περιπαθῶς συλλήπτορα ταύτην ἐφευρεῖν πρὸς τὴν τοῦ οἰκείου ἐκπλήρωσιν ἐφετοῦ, καὶ ἐξαιτούμενος ἀφορισθῆναι μὲν ἀπ' ἐντεῦθεν τῷ δημοσίῳ τὰ ἐν τῇ νήσῳ Κῷ ὁθενδήποτε αὐτῷ προσκτηθέντα, ὅσα καὶ οἷά εἰσιν, ἀντιλαβεῖν δὲ τὴν εἰρημένην ἅπασαν νῆσον δῶρον ἀναφαίρετον, καὶ ἐκκοπῆναι τὰ ἐπικείμενα ταύτῃ δημόσια τέλη, ὅσα καὶ οἷά εἰσιν, ἐλευθέραν δὲ τὴν τοιαύτην νῆσον δωρηθῆναι αὐτῷ καὶ πάσης ἀπηλλαγμένην σεκρετικῆς συζητήσεως, ὡς ἂν φροντιστήριόν τε ἐν αὐτῇ ἀνεγείροι, τοὺς οἰκείους τε μαθητὰς ἐπὶ τὸ αὐτὸ συναγάγοι, καὶ οὕτως ἀπε-

ρισπάστως προσομιλοίη Θεῷ καὶ τὰς ὑπὲρ τοῦ κράτους ἡμῶν θερμοτέρας ποιοῖτο εὐχάς.

Ὅθεν καὶ διορίζεται διὰ τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλλου **λόγου** προσαφορισθῆναι μὲν τῷ δημοσίῳ, κατὰ τὴν αἴτησιν τοῦ εὐλαβεστάτου γέροντος, ὅσα καὶ οἷα ἐν τῇ νήσῳ Κῷ ὁθενδήποτε αὐτῷ προσεκτήθησαν, δωρεῖται δὲ αὐτῷ τὴν δηλωθεῖσαν νῆσον μετὰ πάσης αὐτῆς περιοχῆς καὶ διακρατήσεως, οὐ καιρικῶς οὐδὲ χρόνοις ἀριθμητοῖς, ἀλλ' ἐπ' ἀναφαιρέτῳ καὶ διηνεκεῖ δεσποτείᾳ καὶ κυριότητι, καὶ ἄχρις ἂν ὁ παρὼν διαρκοίη αἰών· διορισαμένη ἐκκοπῆναι μὲν καὶ λογισθῆναι καὶ τὰ ταύτης ἅπαντα δημόσια τέλη καὶ βάρη, οἷα καὶ ὅσα τυγχάνουσι, τῆς προγραφῆς τοῦ λογιστικοῦ, γινομένης ἐν τοῖς σεκρετικοῖς χαρτίοις διὰ κινναβάρεως, χειρὶ τοῦ πρωτοπροέδρου Κωνσταντινουπόλεως καὶ ἐπὶ τῶν δεήσεων, τοῦ Χοιροσφάκτου, τοῦ οἰκείου ἀνθρώπου τῆς βασιλείας μου· ὡς γὰρ ἐξαίρετόν τι ἀνάθημα καὶ καλλιέρημα μέγιστον διὰ μέσου τοῦ τὴν αἴτησιν ἀνενεγκόντος εὐλαβοῦς μοναχοῦ, τὴν τοιαύτην νῆσον ἡ βασιλεία μου ἀφιεροῖ τῷ Θεῷ· καὶ ἔσται ἀπό γε τῆς σήμερον καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους ἀπεσπασμένη μὲν τῶν βασιλικῶν δικαίων, ἀπηλλαγμένη δὲ καὶ τῶν σεκρετικῶν ἀρκύων, μόνῳ δὲ ἀνατεθειμένη Θεῷ καὶ τοῖς ἐν αὐτῇ μοναχοῖς· οἱ καὶ μόνοι ἐν αὐτῇ αὐλισθήσονται, μὴ συγχωροῦντές τισι τῶν λαϊκῶν λόγῳ παροικίας ἐγκατοίκους ταύτῃ γίνεσθαι, ἐμπορίαν ἴσως ἢ ἄλλο τι ἐπιτήδευμα βίου μετερχομένους· μόνοι γὰρ ἐν κοσμικῷ σχήματι τῇ νήσῳ ἐγκατοικήσουσιν οἱ μισθαρνοῦντες τοῖς μοναχοῖς, καὶ οὗτοι ἄζυγες, καὶ μήτε γυναιξὶ συνοικοῦντες, μήτε μὴν παῖδας ἔχοντες· πᾶσαν γὰρ ὁδὸν πονηρᾶς μεθόδου ἀποκλείει τῷ σατανᾷ ἡ βασιλεία ἡμῶν. Καὶ διὰ τοῦτο τοῖς λείοις τε καὶ βλαπτικοῖς προσώποις, γυναιξί τε καὶ παισὶ καὶ εὐνούχοις, ἀφ' ὧν ὡς τὰ πολλὰ κατὰ τῆς ψυχῆς ἀναῤῥιπίζονται πόλεμοι, ἄβατον εἶναι τὴν νῆσον ταύτην παντάπασι διορίζεται, καθὰ δηλονότι καὶ ὁ εὐλαβέστατος οὗτος ἀνὴρ τὴν βασιλείαν μου ᾐτήσατο· πάρεξ μέν τοι, ὡς εἴρηται, τῶν μισθίων, ὅσων χρῄζουσιν οἱ μοναχοὶ εἰς δουλείαν τῆς νήσου, καὶ τούτων ἄζυγα βίον ἐχόντων, καὶ ἐγγὺς τἆλλα τῆς μοναχικῆς πολιτείας τυγχανόντων, κἂν μόνῳ τῷ σχήματι διαλλάττοιεν.

Καθέξει οὖν τὴν τοιαύτην νῆσον αὐτός τε ὁ πολλάκις μνημονευθεὶς εὐλαβέστατος ἀνὴρ μετὰ τῶν ὑπ' αὐτὸν μοναχῶν τῶν τε νῦν ὄντων

καὶ τῶν ἐσύστερον ἐσομένων, καὶ σὺν τούτοις ἡ παρὰ τούτου ἀνεγερθησομένη ἐν τῇ νήσῳ Πάτμῳ ἱερὰ μονή, ἀτελῶς, ἀβαρῶς, κυρίως καὶ αὐθεντῶς, ἀναφαιρέτως τε καὶ αἰωνίως· καὶ καθὼς ἂν συνεργοίη τούτῳ Θεός, κατὰ τὸ αὐτῷ βουλητὸν ταύτην διαθήσοιεν· κἂν εἰς εὐφορωτάτην τε καὶ εὐπρόσοδον τῇ οἰκείᾳ μεταγάγοι σπουδῇ, εἰς ἴδιον κέρδος τὰς ἐντεῦθεν προσόδους λογίσεται σὺν ἅμα τοῖς ὑπ᾽ αὐτὸν μοναχοῖς, μὴ παρά τινος τὸ σύνολον λογοπραγούμενος ἢ ἀνακρινόμενος.

Ἀποχρῶσα μέντοι ἔσται τούτῳ ἡ ἐπὶ τῇ τοιαύτῃ νήσῳ διαιωνίζουσα δωρεὰ τῆς βασιλείας μου, καὶ οὐκ ἔξω τῶν ὁρίων ταύτης καθ᾽ ἑτέραν νῆσον ἐπικτήσεταί τι τὸ σύνολον· καὶ αὐτὰ γάρ, ὅσα ἐν τῇ νήσῳ Κῷ ὁθενδήποτε αὐτῷ προσεκτήθησαν μέχρι τοῦ νῦν, τῷ δημοσίῳ ἀπ᾽ ἐντεῦθεν προσαφορισθήσονται, καὶ ὡς μηδέποτε τῇ κατ᾽ αὐτὸν μονῇ προσαρμόσαντα λογισθήσονται· πάρεξ μέν τοι τοῦ ὁλοκλήρου νησιδίου τῆς Λειψώ, καὶ τῶν ἐν τῇ νήσῳ Λέρῳ δεσποζομένων παρ᾽ αὐτοῦ μέχρι τοῦ νῦν· τῶν γὰρ τοιούτων δεσπόσει κατὰ τὴν τῆς προγεγονυίας αὐτῷ παρὰ τῆς ἡμῶν γαληνότητος ἐπὶ τούτοις χρυσοβούλλου **γραφῆς** περίληψίν τε καὶ δύναμιν, καὶ καθὼς ἄχρι τῆς δεῦρο δεσπόζων τούτων ἐτύγχανεν· ἕτερον δέ τι κατ᾽ οὐδένα τρόπον ἐν οἱᾳδήτινι νήσῳ οὐδαμῶς ἐπικτήσεται, αὐτῶν δὲ τούτων μόνων καὶ τῆς ὅλης νήσου Πάτμου ὅ τε ἱερὸς οὗτος ἀνὴρ καὶ οἱ ὑπ᾽ αὐτὸν σύμπαντες δεσπόσουσι μοναχοὶ οἵ τε νῦν ὄντες καὶ οἱ μετὰ ταῦτα ἐσόμενοι, ἔτι δὲ καὶ ἡ ἐν τῇ νήσῳ τῇ Πάτμῳ, ὡς εἴρηται, ἐκ καινῆς ἀνεγερθησομένη σεβασμία μονὴ ἔσται κυριαρχοῦσα τούτων ἀπαρασπάστως τε καὶ ἀνυπεξαιρέτως, ὡς πάσης σεκρετικῆς εὑρεσιλογίας, μᾶλλον δὲ γλωσσαλγίας, ὑπερτεροῦσα, καὶ ἀδιάσειστον καὶ ἀπερίτρεπτον τὴν ἐπ᾽ αὐτῆς δεσποτείαν ἔχειν ὀφείλουσα εἰς τὸν αἰῶνα τὸν ἅπαντα. Ἥτις καὶ αὐτοδέσποτος καὶ αὐτεξούσιος μετὰ τῆς ὅλης νήσου διαμενεῖ ἐσαεί, καθ᾽ ἑαυτὴν ἀγομένη καὶ διευθυνομένη κατὰ τὸ μέλλον ἐπὶ ταύτῃ γενέσθαι Τυπικὸν καὶ τὴν Διάταξιν παρὰ τοῦ δηλωθέντος εὐλαβοῦς μοναχοῦ Χριστοδούλου καὶ κτήτορος· καὶ οὔτε αὐτή, οὔτε τὰ ὑπ᾽ αὐτήν, ὡς ἄνωθεν εἴρηται, οὔθ᾽ ἡ νῆσος αὐτή, ὑπὸ βασιλικά, ἢ πατριαρχικά, ἢ μητροπολιτικά, ἢ ἐπισκοπικά, ἢ ἐκκλησιαστικά, ἢ ὑπό τινα ἰδιωτικὰ ὑπαχθήσεται ὅλως πρόσωπα, οὔτε μὴν ἐξόριστός τις πεμφθήσεται πώποτε ἐν αὐτοῖς, ἀλλ᾽ ἐλευθεριάσουσι καθαρῶς

ἄχρι παντὸς αἰῶνος καὶ πλουτήσουσι διὰ τῆσδε τῆς εὐσεβοῦς χρυσοβούλλου **γραφῆς** τὸ αὐτοδέσποτόν τε καὶ ἐλευθέριον.

Ἐξκουσσευθήσεται μέντοι ἥ τε ῥηθεῖσα ἅπασα νῆσος καὶ αὐτὴ ἡ μονὴ μετὰ τῶν ὑπ᾽ αὐτὴν πάντων ἀπό τε μιτάτων ἀρχόντων ταγματικῶν καὶ θεματικῶν, ῥωμαϊκῶν τε παραταγῶν καὶ ἐθνικῶν· ἔτι τε Ῥώσων, Βαράγγων, Κουλπίγγων, Ἰγγλίνων, Φράγγων, Νεμίτσων, Βουλγάρων, Σαρακηνῶν, Ἀλανῶν, Ἀβασγῶν, ἀθανάτων καὶ λοιπῶν ἁπάντων Ῥωμαίων τε καὶ ἐθνικῶν· ἀντιμιτατατικίων, φραγγιατῶν, ἀπομιτάτων· ἀπλήκτων ἢ μεσαπλήκτων κριτῶν, στρατηγῶν, ἀπαιτητῶν, καὶ τῆς ὑπὲρ τῶν ἀπλήκτων χορηγίας χρειῶν· ἐπιθέσεως μονοπροσώπων· δόσεως κανισκίων ἢ ἀντικανίσκων· σιταρκήσεως κάστρων· ἀγορᾶς μουλαρίων, μεσομουλαρίων, βορδωνίων, μεσοβορδωνίων, ἵππων, παριππίων, κηλωνίων, ὀνοκηλωνίων, ὀνοθηλειῶν, φορβάδων, βοῶν ἐργατικῶν καὶ ἀγελαίων, χοίρων, προβάτων, αἰγῶν, ἀγελάδων, βουβαλίων, λαγωῶν, ἐλάφων, κυνῶν λακωνικῶν ἢ ποιμενικῶν καὶ λοιπῶν τετραπόδων ζώων, χηνῶν, νηττῶν, περδίκων, ταώνων, γεράνων, κύκνων, φασιανῶν, ὀρνίθων ἀγρίων ἢ χειροήθων, περιστερῶν καὶ λοιπῶν πτηνῶν, καὶ τῶν ἐξ αὐτῶν πάντων ὠῶν· παροχῆς γεννήματος ἐξ ἀγορασίας γεγεννημένου· δόσεως πάκτου ἢ χωροπάκτου· χρείας κριτῶν ἢ πρωτονοταρίων ἢ ἑτέρων πρακτόρων ἢ ἀρχόντων· οἰκομόδου· προσόδου ἀερικοῦ, καπνικῶν, ἀερικοπρατῶν· κωμοδρομικοῦ· συνωνῆς· καστροκτισίας ὁδοστρωσίας· γεφυρῶν· παροικιατικοῦ· ἐννομίου· φραγγομιτάτου· φραγετικοῦ· σιδήρου ἢ καρφοπετάλων καὶ μαζίου· ἐκβολῆς χρειῶν τῶν χορηγουμένων δικασταῖς ἢ πράκτορσιν ἢ ἑτέροις ἄρχουσι, δουξί, κατεπάνοις, στρατηγοῖς, ἀπαιτηταῖς καὶ λοιποῖς, πρέσβευσιν ἐθνῶν διερχομένοις ἢ καὶ στρατιᾷ τινι· δόσεως προςκυνητικίου· ἐκβολῆς χορτασμάτων· διατροφῆς πρωτοκεντάρχων, προελευσιμαίων, βεστιαριτῶν, μανδατόρων τοῦ δρόμου πρέσβεις ἀγόντων ἢ ἐξορίστους, ἢ κατά τινα ἄλλην χρείαν διερχομένων, βασιλικῶν ἀνθρώπων ἐπί τινας ἀποστελλομένων δουλείας τοῦ δημοσίου· ἐκδανεισμοῦ γεννήματος, οἴνου, κρεῶν, τυρίων καὶ ἑτέρων παντοίων εἰδῶν· ἐξοπλίσεως πλωΐμων, τοξοτῶν, ἱπποτοξοτῶν, ματζουκάτων, κονταράτων καὶ ἑτέρων στρατιωτῶν· ἐξωνήσεως ζευγαρίων, σίτου, κριθῆς, βρώμου, ἐλαίου, ὀσπρίων παντοίων καὶ κέγχρου, λιναρίου καὶ τοῦ τούτου σπέρματος, καννάβεως καὶ τῶν

ἄλλων σπερμάτων· κηρίου ἢ μέλιτος παροχῆς· κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς ἢ μετακομιδῆς ἑτέρου εἴδους· κτίσεως χελανδίων, ἀγραρίων, ζερμώνων πολεμικῶν, χαρβιῶν, καὶ λοιπῶν ἄλλων· πρίσεως σανίδων· φοσσάτου διατροφῆς καὶ ἀπλήκτου ἐπὶ πόλεμον ἀπιόντος ἢ καὶ ὑποστρέφοντος· καθίσματος καὶ ὑποδοχῆς τῶν ἐν ὑπεροχαῖς ἀρχόντων, δομεστίκων τῶν σχολῶν, δουκῶν, κατεπάνω, στρατηγῶν, κριτῶν καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς, ἐποπτῶν, στρατευτῶν, ὀρθωτῶν, ἀναγραφέων, ἐξισωτῶν, δικαιοφυλάκων, συνωναρίων, ὡρειαρίων, τοποτηρητῶν, ταξιαρχῶν, τουρμαρχῶν, μεραρχῶν, χαρτουλαρίων τοῦ τε δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν θεμάτων, δρουγγαροκομήτων, παραφυλάκων καὶ παντὸς ἑτέρου δουλείαν τοῦ δημοσίου μεταχειριζομένου· ἀγγαρείας, παραγγαρείας, ψωμοζημίας καὶ λοιπῆς ἁπάσης ἐπηρείας τε καὶ κακώσεως νῦν τε οὔσης καὶ ἐσύστερον ἐπινοηθησομένης, καθὼς ἂν ὁ καιρὸς καὶ τὰ πράγματα ἐπιζητοῖεν γίνεσθαι.

Διὸ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα ἀπό τε τῶν κατὰ καιροὺς σακελλαρίων, γενικῶν καὶ στρατιωτικῶν λογοθετῶν, τῶν ἐπὶ τῆς ἡμετέρας σακέλλης καὶ τοῦ βεστιαρίου, οἰκονόμων τῶν εὐαγῶν οἴκων, τῶν ἐπὶ τῶν οἰκειακῶν καὶ τῶν ἐφόρων τῶν βασιλικῶν κουρατορίων, εἰδικῶν, γηροτρόφων, ὀρφανοτρόφων, τῶν ἐπὶ τοῦ θείου ἡμῶν ταμείου τοῦ Φύλακος, κουρατόρων τοῦ οἴκου τῶν Ἐλευθερίου καὶ τῶν Μαγγάνων, οἰκιστικῶν, καὶ τῶν ὑπ᾽ αὐτοὺς πρωτονοταρίων, λογαριαστῶν, χαρτουλαρίων, βασιλικῶν νοταρίων καὶ νοταρίων, τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ᾽ οἱονδήτινα τρόπον ἐπ᾽ ἀδείας ἔχειν ἀθετεῖν μερικῶς ἢ καθ᾽ ὁλόκληρον τὸν παρόντα εὐσεβῆ χρυσόβουλλον **λόγον** τῆς βασιλείας μου γεγεννημένον κατὰ τὸν **Ἀπρίλλιον** μῆνα τῆς **ἑνδεκάτης** ἰνδικτιῶνος τοῦ ,ςφϟς´ ἔκτου ἔτους (+ 1088), ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

**† Ἀλέξιος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Κομνηνός †**

# ΠΡΑΚΤΙΚΟΝ

## ΤΟΥ ΤΩΝ ΚΥΚΛΑΔΩΝ ΝΗΣΩΝ ΑΝΑΓΡΑΦΕΩΣ (1).

† Κατὰ τὸν Ἰούλιον μῆνα τῆς ἐνισταμένης ἑνδεκάτης ἰνδικτιῶνος τοῦ ,ςφϛς´ ἔτους († 1083), ἔνταλμα ἐνεχειρίσθη ἐμοὶ Γεωργίῳ διακόνῳ τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας καὶ πρωτοσυγκέλλῳ τῷ Γρανάτῳ παρὰ Νικολάου μαγίστρου κριτοῦ καὶ ἀναγραφέως τῶν Κυκλάδων νήσων τοῦ Τζάνζη, περιέχον πρὸς τοῖς ἄλλοις καὶ τὴν πεμφθεῖσαν αὐτῷ θείαν καὶ ἀνακτορικὴν ἔγγραφον πρόσταξιν περὶ τῆς ἀναμετρήσεως τῆς νήσου Πάτμου καὶ τῆς πρὸς τὸν τιμιώτατον μοναχὸν κυρὸν Χριστόδουλον καὶ ἡσυχαστὴν καὶ τὸ μέρος αὐτοῦ παραδόσεως αὐτῆς. Ἐπεὶ θείαν καὶ βασιλικὴν πρόσταξιν ἐδεξάμην διακελευομένην αὐτοῖς ῥήμασιν οὕτως:

† «*Ἡ βασιλεία μου, αἰτησαμένου τοῦ εὐλαβεστάτου μοναχοῦ καὶ » ἡσυχαστοῦ κυροῦ* ***Χριστοδούλου*** *τοῦ* ***Λατρηνοῦ****, ὥςτε τὰ μὲν ἐν » τῇ νήσῳ* ***Κῷ*** *αὐτῷ διαφέροντα, ὅσα δὴ καὶ οἷα ὁθενδήποτε αὐτῷ » προςαρμόζουσιν, ἀφορισθῆναι τῷ δημοσίῳ, δωρηθῆναι δὲ αὐτῷ » τὴν ὅλην νῆσον* ***Πάτμον*** *κατὰ ἀναφαίρετον δεσποτείαν, ἐπήκουσε » τῆς αἰτήσεως αὐτοῦ καὶ ἐδωρήσατο τῷ τοιούτῳ διὰ χρυσοβούλλου » λόγου τὴν δηλωθεῖσαν νῆσον, καθὰ δὴ καὶ ᾐτήσατο. Ὅθεν καὶ διο- » ρίζεταί σοι τὴν παροῦσαν δεχομένῳ πρόςταξιν, τὴν τῆς εἰρημέ-*

(1) Ἀπορία τις ἐπιφύεται ἐνταῦθα· τὸ μὲν γὰρ προοίμιον τοῦ πρακτικοῦ ὡς ἐξ ἄλλου προσώπου, τοῦ Γρανάτου, γέγραπται, αὐτὸ δὲ τὸ πρακτικὸν ὑπὸ τοῦ τῶν Κυκλάδων ἀναγραφέως, οἷα εἰκός, ἐκτέθειται. Ἔγωγε οὖν οὐκ ἔχω ὅπως συμβιβάσω τὸ πρᾶγμα· πλὴν εἰ μή τις εἴποι, ὅτι ὁ Γρανάτος μὲν ἐστὶν ὁ ἐκ προσώπου τοῦ Τζάντζη ἀποσταλεὶς καὶ τὴν ἀναμέτρησιν τῆς νήσου καὶ παράδοσιν ποιησάμενος, οὗτος δ᾽ αὖ ὁ τὸ πρακτικὸν ἐκθέμενος, ἅτε δὴ ἐπὶ τούτῳ παρὰ τοῦ αὐτοκράτορος προσταχθείς. Οὕτω δ᾽ ὑποτεθέντος τούτου, φαίη ἂν καὶ τὸ τῇ βασιλικῇ προστάξει συνημμένον ἔνταλμα τοῦ Τζάνζη εἶναι.

*» νης ὅλης νήσου ποιήσασθαι πρὸς αὐτὸν παράδοσιν, πρακτικά τε
» ἐκθέσθαι ἠκριβωμένα δύο δηλοῦντα ἐν λεπτῷ τὴν περιοχὴν αὐ-
» τῆς καὶ διακράτησιν, ὅση τε καὶ οἵα ἡ ἐν αὐτῇ γῆ καὶ τὰ ἐν ταύ-
» τῃ εὑρεθησόμενα οἰκήματα καὶ λοιπὰ πάντα, καὶ ὑπογράψαι καὶ
» συνήθως πιστώσασθαι ταῦτα· καὶ τὸ μὲν ἓν ἐξαποστεῖλαι πρὸς
» τὴν βασιλείαν μου, τὸ δὲ ἕτερον ἐπιδοῦναι τῷ προδιαληφθέντι
» εὐλαβεστάτῳ μοναχῷ καὶ τῷ μέρει αὐτοῦ εἰς οἰκείαν ἀσφάλειαν.
» **Μηνὶ Ἀπριλλίῳ ἰνδικτιῶνος ια´** »* [†*1088*] (*διὰ κινναβάρεως,
καὶ ἡ διὰ κηροῦ σφραγὶς τοῦ κραταιοτάτου καὶ ἁγίου ἡμῶν βα-
σιλέως*).

« Κατὰ ταύτην γοῦν τὴν θείαν καὶ βασιλικὴν γραφὴν ἀπεστάλης
» σὺ ὁ προδηλωθεὶς τοῦ ποιήσασθαι τὴν παράδοσιν τῆς τοιαύτης ὅλης
» νήσου Πάτμου· πρὸς ἣν καὶ κατὰ τάχος παραγενόμενος σπουδά-
» σεις ἐνεργῆσαι ταύτην. Δέον σε τὴν ὅλην νῆσον ἐξ ὁλοκλήρου πα-
» ραδοῦναι περιορίσαντα ταύτην καὶ ἀναμετρήσαντα, καὶ διὰ τῆς
» ἀναμετρήσεως δηλοποιήσοντα ὅση τε καὶ οἵα ἐστί, καθὼς καὶ ἡ
» σεβασμία γραφὴ παρακελεύεται· καὶ ὅσον μὲν τῆς τοιαύτης νήσου
» ὑπάρχει σπόριμόν τε καὶ ἀρόσιμον, ὅσον δὲ νομαδιαῖον, καὶ ὅσον
» τραχεινὸν καὶ τῆς ἀχρήστου ποιότητος δέον σε ἐν δυσὶ πρακτικοῖς,
» κατὰ τὸν θεῖον διορισμόν, ἐν λεπτῷ ταῦτα διαλαβεῖν καὶ σαφῶς ἐκ-
» θέσθαι, καὶ τὰ τοιαῦτα πρακτικὰ πρὸς ἡμᾶς ἀποκομίσαι, ὥστε τὴν
» συνήθη παρ' ἡμῶν δέξασθαι ταῦτα βεβαίωσιν· καὶ τὸ μὲν ἓν τῷ
» κραταιοτάτῳ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ ἀποκομισθῆναι, τὸ δὲ ἕτερον
» τῷ τιμιωτάτῳ μοναχῷ καὶ τῷ μέρει αὐτοῦ παρασχεθῆναι εἰς ἀσ-
» φάλειαν. Δέον σε μὴ μόνον τὴν τῆς γῆς περίμετρον καὶ τὴν ταύ-
» της ποιότητα ἐν τῷ γενησομένῳ παρὰ σοῦ πρακτικῷ διαλαβεῖν,
» ἀλλὰ καὶ τὰ οἰκήματα, καὶ τὰ δένδρα, καὶ ἁπλῶς ἅπαντα τὰ ἐν
» τῇ τοιαύτῃ νήσῳ εὑρεθησόμενα. Ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν
» ἔνταλμα ».

Κατὰ γοῦν τὴν θείαν ταύτην καὶ βασιλικὴν ἔγγραφον πρόσταξιν, πρὸς δὲ καὶ τὸν ἐνταλματικῶς δοθέντα μοι διορισμόν, παρεγενόμην ἅμα τῷ σεβασμιωτάτῳ μοναχῷ κυρῷ Χριστοδούλῳ καὶ τῷ μέρει αὐτοῦ πρὸς τὴν νῆσον Πάτμον· ἣν καὶ περιπολήσας εὗρον ἔρημον ὅλην καὶ κεχερσωμένην, καὶ ὑπὸ τῶν ἀκανθῶν καὶ τῶν ἄλλων συρφετῶν συνεσκιασμένην καὶ ἄβατον, καὶ διὰ τὸ τοῦ τόπου ἄνυδρον παντά-

πασιν ἄνικμον· οὐδέ που γὰρ ἀνὰ πᾶσαν τὴν νῆσον περιπατητικὸν ὕδωρ ἢ καταῤῥέον εὑρεθήσεται, εἰμὴ ὀλίγιστά τινα φρέατα, κἀκεῖνα τοῦ ἀφθόνου ὕδατος κατὰ πολὺ ἐλλειπόμενα· ἢ βίᾳ καὶ πολλῷ τῷ κόπῳ διὰ τὸ ἐν ταύτῃ δύςβατον μετρηθεῖσα ἀνεβιβάσθη ὅλη διόλου μοδίων τριςχιλίων ὀκτακοσίων ἑξήκοντα. Ἐκ ταύτης οὖν ἡ κατὰ βίαν σπόριμος, μοδίων ἑξακοσίων εἰκοσιεπτά, καὶ αὕτη ὑπὸ τῶν πολλῶν καὶ συνεχῶν βουνῶν συμπεπνιγμένη καὶ τεθλιμμένη· τὸ δὲ λοιπὸν τῆς νήσου ὀρεινόν, καὶ τραχεινόν, καὶ ἄβατον. Ἀλλὰ καὶ αὐτῆς τῆς ὡς δῆθεν σπορίμου μόλις τὸ διὰ ζευγαρίου ποσοῦται καμνόμενον εἰς ἑκατὸν μοδίους καὶ ἑξήκοντα· τὸ δὲ λοιπὸν ἱδρῶτι καὶ αἵματι διὰ σκαπάνης καὶ δικέλλης, ἐκ τοῦ ὑπὸ τῶν πετρῶν, ὡς εἴρηται, συνέχεσθαι καὶ ὅλως κρημνῶδες τυγχάνειν καὶ ὀρεινόν. Δένδρου δὲ τοῦ οἱουδήποτε οὐδὲ μικρόν τι λείψανον ἐν αὐτῇ εἴδομεν, οὔτε ἡμέρου, οὔτε μὴν ἀγρίου, εἰμὴ μόνον ξηροαχλάδας εἴκοσιν (1). Ὡςαύτως οὐδὲ μίαν καὶ μόνην οἰκίαν συνισταμένην τὸ σύνολον, ἢ μόνον εὐκτήριον πενιχρὸν ἐπ᾽ ὀνόματι τοῦ τιμίου ἐκτισμένον Θεολόγου, ἔσωθεν τῆς περιοχῆς τοῦ ποτέ, ὡς τὰ ἴχνη δεικνύουσιν, ᾠκοδομημένου μεγίστου ναοῦ ἐν τῷ πάντων τῶν βουνῶν εἰς ὕψος ὑπερανεστηκότι (2), ἔνθα

(1) Ἐν ταύτῃ καὶ μόνῃ τῇ περιόδῳ οὐκ ἔχει τὸ πιστὸν ἡ ἀναγραφή. Εἰ γὰρ καὶ νῦν ἔτι ἀγρίων δένδρων αὐτοφυῶν ἡ νῆσος οὐκ ἔστι στεῖρα, οἷον ἀγριελαίων, κομάρων, ἀχράδων, τερεβίνθων, κερατεῶν καὶ ἄλλων, καὶ μάλιστα τοῦ παρὰ τὸν κῆπον τοῦ ὁσίου πατρὸς αὐτομάτου καὶ συνηρεφοῦς δάσους παντοίων δένδρων, εἰκὸς πολλῷ πλεῖον δρυμώδη εἶναι αὐτὴν κατ᾽ ἐκεῖνο τοῦ χρόνου, διὰ τὸ πρὸ πολλῶν αἰώνων μὴ κατῳκεῖσθαι. Ἐμοὶ γοῦν ὑπονοεῖν ἔπεισι τὸν ἀναγραφέα μὴ περιπολῆσαι τὴν νῆσον ἅπασαν, ἢ καὶ περιπολήσαντα τὴν ἀλήθειαν ἀποκρύψαι, ὡς ἂν μὴ δόξειεν ἡ βασιλικὴ δωρεὰ ἀλλοία τις οὖσα ἢ ὅπως, ἐξ ὑποβολῆς πάντως τοῦ ὁσίου Χριστοδούλου, διεγέγραπτο ἐν τῷ **χρυσοβούλλῳ** ἡ νῆσος, τραχεῖα δηλονότι καὶ λυπρά. Ἀλλὰ καὶ διὰ τὸ τότε ἄνυδρον τῆς νήσου καὶ ἄνικμον, σημειωτέον ὅτι πολλὰς μετὰ ταῦτα ἡ τῆς γῆς καλλιέργεια ἀνέφηνεν ὑδάτων πηγάς·

(2) Πταῖσμα τοῦτο τοῦ ἀντιγραφέως ἐξ ὀπτικῆς ἀπάτης· ὑψηλότερον γὰρ τῶν τῆς νήσου ὀρέων ἐστὶ τὸ τοῦ **Προφήτου Ἠλιοῦ**, 874 ἀγγλικοὺς πόδας ὑπερανεστηκὸς τῆς θαλάσσης, τοῦτο δὲ 660 περίπου. Μέγιστον δὲ ναὸν ὑποληπτέον ἐνταῦθα, ὡς ἐγῷμαι, τὸν τῆς **Σκυθίας** εἴτε **Ταυροπόλου** Ἀρτέμιδος, ὃν ὁ Ὀρέστης αὐτόθι ἀνήγειρε, κατὰ τὴν ἐν τῇ μονῇ σωζομένην ἔτι ἀρχαίαν ἀναθηματικὴν ἐπιγραφὴν [Βλ. καὶ Lud. Rossii Inscript. Graec. inedit. Fascicul. II. Athen. 1842. —Πρβλ. καὶ τὰ ῥηθέντα μοι ἐν **Ἀρχαιολ. Ἐφημ.** τεύχ. ΙΑ΄. 1862, σελ. 261, ἔνθα ἐξέδωκα τὰς σωζομένας ἐπιγραφὰς τῆς νήσου.], εἰς χριστιανικὸν δὲ ναὸν πρόπαλαι μεταβληθέντα, ὥςπερ εἴθιστο τοῖς πρώτοις χριστιανοῖς, καὶ καθιερωθέντα τῷ εὐαγγελιστῇ καὶ Θεολόγῳ Ἰωάννῃ. Αὐτόθι δὲ πάντως ἀνεῦρεν ὁ ὅσιος συγκεχωσμένον ἴσως ὑπὸ τῶν τελευταίων ἐθνικῶν, καὶ

τὰ θεῖα καὶ ἄῤῥητα ῥήματα ὁ μέγας οὑτοσὶ ἐμυήθη ἀπόστολος, καὶ τὰ ἐξαίσια καὶ μεγάλα ἐτέλεσε θαύματα. Οὕτως οὖν ταύτην ἀναμετρήσας, τῷ ῥηθέντι σεβασμιωτάτῳ μοναχῷ καὶ τῷ μέρει αὐτοῦ ἐξ ὁλοκλήρου παραδέδωκα· ἐφ' ᾧ καὶ τὸ παρὸν πρακτικὸν ἐξεθέμην. Μηνὶ Αὐγούστῳ, ἰνδικτιῶνος ια΄ ἔτους ,ςφϞς΄ † († 1088).

† *Νικόλαος βασιλικὸς νοτάριος τοῦ σεκρέτου τοῦ σακελλαρίου κριτὴς καὶ ἀναγραφεὺς τῶν Κυκλάδων νήσων ὁ Τζάνζης* †

(Εἶχε δὲ καὶ τὴν διὰ μολίβδου συνήθη σφραγῖδα αὐτοῦ: «*Κύριε βοήθει Νικολάῳ βασιλικῷ νοταρίῳ τοῦ σακελλαρίου κριτῇ καὶ ἀναγραφεῖ τῶν Κυκλάδων νήσων τῷ Τζάνζῃ*».)

τὸ (ὢ πῶς ἐξείπω ἄνευ ψυχικοῦ ἄλγους τὸ πρᾶγμα!), ὅπερ συνέτριψεν ἄγαλμα τῆς Ἀρτέμιδος, ἀπὸ λίθου λευκοῦ τεχνηέντως ἐξειργασμένον, καθ' ἃ ὁ βιογράφος αὐτοῦ Ἰωάννης ὁ Ῥόδου μητροπολίτης διέξεισι [Βλ. ἔμπροσθεν τὸν τοῦ ὁσίου **Βίον** § ΙΔ΄, σελ. 126]. Ἐπὶ τοῦ αὐτοῦ δὲ τόπου ἀνίδρυται καὶ ἡ περίπυστος τοῦ Θεολόγου μονή.

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.


| | | |
|---|---|---|
| Πρόλογος. . . . . . . . . . . . . . . . | Σελ. | α΄ |
| Ἀλεξίου Α΄ τοῦ Κομνηνοῦ Χρυσόβουλλον. . . . | » | ιβ΄ |
| Νικολάου τοῦ Τζάνζη Πρακτικόν . . . . . . . | » | ιη΄ |
| Ἀκολουθία εἰς τὴν Μνήμην τοῦ ὁσίου . . . . . | » | 1 |
| Ὁμοία εἰς τὴν Ἀνακομιδὴν τοῦ λειψάνου αὐτοῦ . . | » | 26 |
| Τροπάρια τοῦ ἑσπερινοῦ τοῦ Θεολόγου . . . . . | » | 61 |
| Ὑποτύπωσις τοῦ ὁσίου . . . . . . . . . . . | » | 63 |
| Ἰωάννου μητροπολίτου Ῥόδου Βίος αὐτοῦ. . . . | » | 107 |
| Ἀθανασίου Πατριάρχου Ἀντιοχείας Ἐγκώμιον αὐτοῦ | » | 134 |
| Θεοδοσίου μοναχοῦ Βυζαντίου ὅμοιον . . . . . | » | 169 |
| Ἀνωνύμου Διήγησις θαύματος αὐτοῦ . . . . . | » | 209 |
| Λέξεις οὔπω ἐν τοῖς λεξικοῖς καταχωρισθεῖσαι. . . | » | 226 |
| Παροράματα . . . . . . . . . . . . . . | » | 227 |
| Κατάλογος συνδρομητῶν . . . . . . . . . | » | 228 |

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΥ

# ΧΡΙΣΤΟΔΟΥΛΟΥ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΜΗΝΙ ΜΑΡΤΙΩ ΙϚ΄.

# ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ

ΚΑΙ

ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΧΡΙΣΤΟΔΟΥΛΟΥ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

Ἐν τῷ ἑσπερινῷ, εἰς τό: Κύριε ἐκέκραξα ἱστῶμεν στιχηρὰ ί, ἤτοι τοῦ Τριῳδίου τὸ ἰδιόμελον δὶς καὶ τὰ τρία προσόμοια, εἶτα τὰ παρόντα δ΄ τοῦ ἁγίου, δευτεροῦντες τὸ ά. Ἦχος πλάγ. β΄.

Ὅλην ἀποθέμενοι.

**Ὅλον ἀναθέμενος τῷ ποιητῇ καὶ δεσπότῃ, σαυτὸν ἐκ νεότητος, θεοφόρε, ἅπασαν γῆς προσπάθειαν, εὐσταθῶς ἀπέῤῥιψας, καὶ αὐτῷ, ὅσιε, ἀδιστάκτως ἠκολούθησας, νηστείαις, δάκρυσι, προσευχαῖς, καὶ πόνοις, καὶ θλίψεσι, τὴν σάρκα κατατήκων σου, καὶ καθυποτάττων τῷ πνεύματι. Ὅθεν ἐν ὑψίστοις, τοῖς ἄνω συγχορεύεις λειτουργοῖς, ἀκαταπαύστως δεόμενος ὑπὲρ τῶν ψυχῶν ἡμῶν.**



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Μωσῆς ὥσπερ δεύτερος, ἐκ σκοτασμοῦ ἀγνωσίας, λαοὺς ὑπεξήγαγες, καὶ Θεῷ, πανάγιε, προσενήνοχας, τοὺς ἐν ζόφῳ ὄντας ἁμαρτίας πάλαι, ὁδηγήσας πρὸς μετάνοιαν, καὶ καθυπέδειξας τούτοις τὴν ὁδὸν τὴν σωτήριον, δαιμόνων ἐπηρείας τε, καὶ ἁμαρτιῶν ἐκλυτρούμενος, σοῦ ταῖς νουθεσίαις ὑπείκοντας καὶ μένοντας λαβεῖν, πόνων ἐκεῖ τὴν ἀντίδοσιν, ὅσιε Χριστόδουλε.

Ἤστραψεν ὁ βίος σου τῶν ἀρετῶν λαμπηδόσι, καὶ πιστοὺς ἐφώτισε, καὶ δαιμόνων φάλαγγας ἀπεδίωξεν· ἀληθῶς ὤφθης γὰρ φωταυγὴς ἥλιος, θεοῤῥῆμον παμμακάριστε, καὶ νῦν ἐσκήνωσας ἔνθα φῶς ὑπάρχει ἀνέσπερον, υἱὸς ἡμέρας χάριτι, Πνεύματος ἁγίου γενόμενος. Ὅθεν σου τὴν μνήμην, τὴν θείαν καὶ φωςφόρον καὶ σεπτὴν, ἐπιτελοῦντες, Χριστόδουλε, πόθῳ σε γεραίρομεν.

Ὅλην βδελυξάμενος, τὴν γεηρὰν ἁμαρτίαν, οἶκον θείου Πνεύματος σεαυτὸν, πανάγιε, ἀπετέλεσας, καὶ πολλοὺς, πάνσοφε, τοὺς πρὸς σὲ τρέχοντας, ὁδηγήσας πρὸς ἐπίγνωσιν, καὶ ταῖς λαμπρότησι, ταῖς θεουργικαῖς ἀστραπτόμενος, καὶ χάριτι μυούμενος, τὰ σωτηριώδη διδάγματα, πάτερ θεοφόρε, μετέδωκας γνησίοις φοιτηταῖς, θεομακάριστε πάνσοφε, ὅσιε Χριστόδουλε.

Δόξα ἦχος πλάγ. β΄.

Τὸ κατ' εἰκόνα τηρήσας ἀλώβητον, νοῦν ἡγεμόνα κατὰ παθῶν ὀλεθρίων ἀσκητικῶς ἐνστησάμενος, εἰς τὸ καθ' ὁμοίωσιν ὡς δυνατὸν ἀνελήλυθας· ἀνδρικῶς γὰρ

τὴν φύσιν ἐκβιασάμενος, ἔσπευσας τὸ χεῖρον καθυποτάξαι τῷ κρείττονι, καὶ τὴν σάρκα δουλῶσαι τῷ πνεύματι. Ὅθεν μοναζόντων ἀνεδείχθης ἀκρότης, πολιστὴς τῆς ἐρήμου, εὐδρομούντων ἀλείπτης, κανὼν ἀρετῆς ἀκριβέστατος. Καὶ νῦν ἐν οὐρανοῖς, τῶν ἐσόπτρων λυθέντων, Χριστόδουλε, καθαρῶς ἐποπτεύεις τὴν ἁγίαν Τριάδα, ἐντυγχάνων ἀμέσως ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων σε.

Καὶ νῦν, Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. Τὸ, Φῶς ἱλαρὸν, τὸ προκείμ. τῆς ἡμέρας, τὰ ἀναγνώσματα τοῦ Τριῳδ. εἶτα τοῦ ἁγίου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προςεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προςμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτῆσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται δὲ εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ

ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

---

Εἰς τὴν λιτὴν στιχηρά, ἦχος ά.

Ὁ κλεινὸς καὶ στεῤῥὸς Χριστόδουλος ἐν τῇ τοῦ βίου ἀθλήσει τὰ στίφη τῶν δαιμόνων καθεῖλεν· ἐν ἑαυτῷ γὰρ εἶχε τὸν Κύριον, καὶ τὸν ἀσκητικὸν δρόμον ἀξίως διανύσας, ἐν μοναστῶν νῦν σκηναῖς αἰωνίως ἀγάλλεται· καὶ θρόνῳ Θεοῦ παριστάμενος, ἀκαταπαύστως πρεσβεύει ὁ ὅσιος τοῦ σῶσαι πάντας ἡμᾶς τοὺς τελοῦντας τὴν μνήμην αὐτοῦ τὴν σωτήριον.

Ὁ αὐτός.

Τὸν ἐν πόνοις τοῖς ἀσκητικοῖς ἀπαράμιλλον, τὸν

ὑπὲρ τῆς αἰωνίου ζωῆς ἀγωνισάμενον, ἅπαντες ὑμνήσωμεν λέγοντες: Χαίροις ὁ στεῤῥὸς τῆς πίστεως θέμεθλος, κατὰ τοὺς ἀρχαίους πατέρας καὶ διδασκάλους· χαίροις ὁ φαιδρῶς λάμψας ἐν ἀρεταῖς, ὁ φωτίσας τὰ πέρατα κόσμου· χαίροις ἡ τῶν θαυμάτων ἀκένωτος πηγή· χαίροις τῆς Πάτμου τὸ καύχημα, καὶ τῶν νήσων ἀγαλλίαμα.

Ὁ αὐτός.

Τῶν θαυμάτων τὴν πηγὴν τὴν ἀέναον, τὸν κατὰ τῆς πονηρίας στεῤῥῶς ὁπλισάμενον, δεῦτε πιστοὶ ὑμνήσωμεν λέγοντες: Χαίροις τῶν πιστῶν ἀήττητος πρόβολος, πονηρῶν πνευμάτων ἀπείργων μηχανουργίας· χαίροις ὁ Χριστὸν ἔχων ἐν ἑαυτῷ ἐνοικοῦντα, καὶ δόξης σε πληροῦντα· χαίροις ὁ τῶν νοσούντων ταχὺς θεραπευτής· χαίροις ἱσταμένων τὸ στήριγμα, καὶ καταπιπτόντων ἐπανόρθωσις.

Ἦχος β'.

Τὸ μνημόσυνόν σου εἰς τὸν αἰῶνα μένει, ὅσιε πάτερ Χριστόδουλε, καὶ τὸ πρᾷον τῆς καρδίας σου, θεράπον μακάριε· εἰ γὰρ μετέστης ἐξ ἡμῶν ὁ ποιμὴν ὁ καλὸς, ἀλλ' οὐκ ἀπέστης ἀφ' ἡμῶν τῷ πνεύματι· ἐν ἀγάπῃ Θεῷ παριστάμενος, καὶ σὺν ἀγγέλοις χορεύων ἐν οὐρνοῖς, ἱκέτευε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Ἡ τῶν λειψάνων σου θήκη, πανεύφημε πάτερ, πη-

γάζει ἰάματα, καὶ ἡ ἁγία σου ψυχὴ ἀγγέλοις συνοῦσα ἀξίως ἀγάλλεται. Ἔχων οὖν πρὸς Κύριον, ὅσιε, παῤῥησίαν, καὶ μετὰ τῶν ἀσωμάτων χορεύων ἐν οὐρανοῖς, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος γ΄.

Ὅσιε Χριστόδουλε, τῆς στεῤῥοτάτης ἀσκήσεως, ἐν τῇ καυστικῇ καὶ ἐπιπόνῳ διατριβῇ, ὡς ἐν ἀδύτοις ἀναπαυόμενος διετέλεσας· τοῖς ἐρημικωτέροις γὰρ ἑαυτὸν συνάψας πνευματικῶς, τὰς πυριφλέκτους φαρέτρας τῶν δαιμόνων κατεπάτησας, καὶ ὑπεράνω πάσης ἀρετῆς γεγονὼς, συναυλίζῃ ἀγγέλοις ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· μεθ' ὧν πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα ἦχος πλάγ. α΄.

Τοῖς ἀσκητικοῖς ἀγῶσι σαυτὸν κατακοσμήσας, τῶν ἀπ' αἰῶνος ὁσίων, Χριστόδουλε, σύσκηνος γέγονας, καὶ τὴν αὐτῶν ζηλώσας ἀμέμπτως πολιτείαν, ἀπείληφας τὸ βραβεῖον τῆς καρτερίας σου. Λάτρος γάρ σου κομπάζει τὰ σκάμματα, καὶ Πάτμος τὰ παλαίσματα· καὶ ἡ θεία λάρναξ τοῖς ἐν αὐτῇ ἐν πίστει προσιοῦσι βρύει ἰάματα, Χριστόδουλε. Διὸ καὶ ἡμῖν ὄμβρησον σήμερον ψυχικὴν σωτηρίαν, καὶ κινδύνων ἀφάρπασον καὶ πάσης περιστάσεως, τοὺς ἐν πίστει ἐκτελοῦντας τὸ ἱερόν σου μνημόσυνον.

Καὶ νῦν, Μακαρίζομέν σε.

---

Εἰς τὸν στίχ. στιχηρὰ, ἦχος πλάγ. α'.

Χαίροις ἀσκητικῶν.

**Χαίροις τῶν μοναστῶν ἡ κρηπὶς, ἀρχιποιμένων τὸ σεπτὸν ἐγκαλλώπισμα, ἡ στάθμη τῆς ἐγκρατείας, ὁ τῶν ψυχῶν ἰατρὸς, ἀσθενῶν ἡ ῥῶσις, παναοίδιμε, χηρῶν ὁ προστάτης τε, θλιβομένων παράκλησις, ἀδικουμένων βοηθὸς ἀκαταίσχυντος, ἡ σωτήριος τῶν πταιόντων παραίνεσις, ἅπασι τοῖς τιμῶσί σου τὴν κοίμησιν σήμερον, λύσιν πταισμάτων παράσχου, δεινῶν παντοίων λυτρούμενος, ἐχθρῶν τὰς ἐφόδους ἀπελαύνων καὶ παρέχων τὸ μέγα ἔλεος.**

Στίχος,
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

**Ποίμνην τῶν τοῦ ἐχθροῦ μηχανῶν ἀνακειμένην σοι, Χριστόδουλε, λύτρωσαι, ἀπράκτους τὰς ἐπινοίας ἀποδεικνύων αὐτοῦ σῇ θερμῇ πρεσβείᾳ, παμμακάριστε, ἐχθρῶν ἐκδιώκων ἐπερχομένων τὰς φάλαγγας, καὶ περιέπων τὴν μονήν σου ἀπόρθητον, τῇ πρὸς Κύριον ἐπιμόνῳ δεήσει σου. Σὲ γὰρ ἐπικαλούμεθα οἱ δοῦλοί σου, ἅγιε, θραῦσον τὰς τούτων ἐνέδρας, καὶ τὰς βουλὰς διασκέδασον, Θεῷ οἰκειῶν ἡμᾶς, καὶ τέκνα ἀποδεικνύων αὐτοῦ, ἀείμνηστε.**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Στίχος,
Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Χαίροις ὁ ἀπὸ βρέφους Θεῷ ἀνατεθεὶς ὡς Σαμουὴλ, ἀξιάγαστε, λαοῖς τε ὑποδεικνύων ὡς Ἰωάννης τὸ πρὶν, τὴν ὁδὸν Κυρίου τὴν σωτήριον, δεινῆς ἐκλυτρούμενος ἀσεβείας τοῖς λόγοις σου, καὶ πρὸς τὸ φέγγος ἐμβιβάζων τῆς γνώσεως, τοῖς πανσόφοις σου, θεοφόρε, διδάγμασιν, ἅπαντας τοὺς ἐν πίστει σοι καὶ πόθῳ προστρέχοντας, οὓς καὶ προσῆξας τῷ πάντων Θεῷ πανάμωμα θύματα· αὐτὸν ἱκετεύων μὴ ἐλλείπῃς τῇ σῇ ποίμνῃ δοῦναι τὸ ἔλεος.**

Δόξα, ἦχος πλάγ. δ΄.

**Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν Χριστόδουλε· διὰ σοῦ γὰρ τὴν τρίβον τὴν ὄντως εὐθεῖαν πορεύεσθαι ἔγνωμεν. Μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, ἀγγέλων συνόμιλε, ὁσίων συμμέτοχε καὶ δικαίων· μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.**

Καὶ νῦν, Δέσποινα πρόσδεξαι τὰς δεήσεις.

Ἀπολυτίκιον, ἦχος β΄.

**Τοῖς τῶν δακρύων σου ὄμβροις, πάτερ Χριστόδουλε, τῶν νοσημάτων ἐξαίρεις τὸν καύσωνα· διό σε**

**πιστῶς ἱκετεύομεν, ἐπερχομένων παντοίων κακῶν ἡμᾶς λύτρωσαι, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.**

Ἕτερον ἀπολυτίκιον εὑρεθὲν ἐν τοῖς χειρογράφοις τῆς μοναστηριακῆς βιβλιοθήκης.
Ἦχος γ΄. Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις.

**Μέγα εὗρέ σε ἡ Πάτμος κλέος, παμμακάριστε ποιμὴν πατέρων· ὡς γὰρ διῆλθες ὁδὸν τῆς ἀσκήσεως, τοῦ ἀκροτάτου τέλους ἐπέτυχες, καὶ παῤῥησίας οὐδόλως διήμαρτες, πάτερ ὅσιε Χριστόδουλε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.**

Ἕτερον, ποίημα τοῦ ἀββᾶ Ἀπολλώ. Ἦχος β΄.

**Τῶν προσευχῶν σου τοῖς ὄμβροις, Χριστόδουλε, κατασβεννύεις παθῶν ὑπεκκαύματα· διό σε πιστῶς ἱκετεύομεν, τῶν κατὰ ἄμφω παθῶν ἡμᾶς λύτρωσαι, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.**

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

---

Εἰς τὸν ὄρθρον καθίσματα τοῦ ὁσίου.

Ἦχος ά.

Τοῦ λίθου σφραγισθέντος.

**Μοναζόντων ἀκρότης, μετανοίας διδάσκαλε, θαυματουργιῶν ἐπιδείξει καταυγάζων τὰ πέρατα, ἀνέτειλας ὡς ἥλιος τῇ γῇ, Χριστόδουλε παθῶν φυγαδευτά,**

**θεραπεύεις ἐν ἀγάπῃ σὺν ταῖς ψυχαῖς καὶ σώματα, μακάριε. Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.**

Δόξα, ἦχος δ'. Ἐπεφάνης σήμερον.

**Καθαρθεὶς τῷ πνεύματι ἐν τῇ ἀσκήσει, ἐλλαμφθεὶς τῇ χάριτι, ταῖς τῶν θαυμάτων ἀστραπαῖς καταλαμπρύνεις τοὺς κάμνοντας, πατέρων κλέος, Χριστόδουλε ὅσιε.**

Καὶ νῦν, Θεοτοκίον.

**Τὰς ἀχράντους χεῖράς σου, παρθενομῆτορ, ἐφαπλοῦσα σκέπασον τοὺς πεποιθότας ἐπὶ σοί, καὶ τῷ Υἱῷ σου κραυγάζοντας: Χαῖρε, παρθένε, χριστιανῶν τὸ καύχημα.**

Μετὰ τὴν β'. στιχολογ. ἦχος ὁ αὐτός.

**Τὸν τοῦ βίου τάραχον ἐγκαταλείψας, καὶ ἡσύχως ἅπασαν ζωὴν βιώσας ἐκ παιδός, πρὸς τὸν Θεὸν μεταβέβηκας, τοῖς τῶν ἀγγέλων χοροῖς εὐφραινόμενος.**

Δόξα, ὁ αὐτός.

**Τῶν πιστῶν προΐστασαι, σκέπων, φρουρῶν τούτους μάκαρ, καὶ ἐκ πάσης θλίψεως ἀπολυτρούμενος σαφῶς, τῶν μοναστῶν ὡραιότατον κλέος καὶ δόξα, Χριστόδουλε ὅσιε.**

Καὶ νῦν, Θεοτοκίον.

**Ἐν τῇ σκέπῃ, ἄχραντε τῇ σῇ παρθένε, προςφυγόντας, δέησιν προςδεξαμένη παρ' ἡμῶν, μὴ διαλέπῃς πρεσβεύουσα πρὸς τὸν Υἱόν σου, σωθῆναι τοὺς δούλους σου.**

Μετὰ τὸν πολυέλεον.

Ἦχος πλάγ. δ'. Τὴν σοφίαν καὶ λόγον.

**Τῆς ἀσκήσεως γνόφον ὑπεισελθών, καὶ τῷ ὄρει, παμμάκαρ, τῶν ἀρετῶν, ἐγγίσας ἐλάμπρυνας τὴν ψυχὴν ὥςπερ ἥλιον, καὶ τὴν ἀχλὺν τῶν κάτω σοφῶς ὑπεξέδραμες, τὰ ὑλώδη πάντα σφοδρῶς βδελυξάμενος. Ὅθεν καὶ τῷ θείῳ αὐγασθεὶς τῆς Τριάδος φωτὶ κατεφαίδρυνας τοὺς σὲ πίστει γεραίροντας, θεοφόρε Χριστόδουλε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.**

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

**Παναγία παρθένε, μήτηρ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπὰ ἴασαι δέομαι, καὶ συγγνώμην παράσχου μοι τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμα μολύνας ὁ ἄθλιος. Οἴμοι τί ποιήσω ἐν τῇ ὥρᾳ ἐκείνῃ, ἡνίκα οἱ ἄγγελοι τὴν ψυχήν μου κομίζουσιν ἐκ τοῦ ἀθλίου μου σώματος· τότε, Δέσποινα, βοήθειά μοι γενοῦ, καὶ προστάτης θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.**

Οἱ ἀναβαθμ. τὸ α΄ ἀντίφων. τοῦ δ΄ ἤχου. Προκείμ.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου.
Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εἶτα τὸ Εὐαγγέλιον, ὁ Ν΄. Δόξα.

Ταῖς τοῦ σοῦ ὁσίου. Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου.
Ἐλέησόν με ὁ Θεός. Ἰδιόμελον.

Ἦχος πλάγ. β΄.

**Θεία χάρις ἐκκέχυται πρὸ τῆς θήκης τῶν λειψάνων σου, ἡγιασμένε πάτερ Χριστόδουλε. Διὸ καὶ εἰς ὀσμὴν μύρου τῶν θαυμάτων σου δραμούμεθα, τῶν νοσημάτων τὴν ἴασιν ἀρυόμενοι. Ἀλλά, πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.**

Εἶτα ὁ κανών. Ὠδὴ α΄. Ἦχος α΄.

Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες.

Σοφίας ὢν ἄβυσσος, Θεὲ τῶν ὅλων, ψυχῆς μου τὴν ἄγνοιαν συμπαθῶς ἀπέλασον, πίστει θαῤῥήσαντος ἀνευφημῆσαι ἐν ᾠδαῖς τὸν σὸν θεράποντα.

Σοφίας τῷ ἔρωτι τρωθεὶς τῆς ὄντως, τῷ φόβῳ τοῦ κρείττονος, νουνεχῶς ἐῤῥύθμισας νοὸς κινήματα. Ὅθεν καὶ ἔτυχες, σοφέ, τῆς σῆς ἐφέσεως.

Τοῦ κόσμου τὰ μάταια φυγὼν τελείως, σταυρὸν ἐπαυχένιον ὡς ἐχέφρων ἦράς σου, καὶ ἠκολούθησας, μάκαρ, τοῖς ἴχνεσι Χριστοῦ καθάπερ ἄσαρκος.

Δακρύων τοῖς ὄμβροις σου τοῖς ἀεννάοις, ἐξήρανας ῥεύματα, τῶν παθῶν, μακάριε, καὶ καθωράϊσας ψυχῆς τὸ πρόςωπον τῆς σῆς τὸ χαριέστατον.

Τῆς νήσου τὸ ἄνυδρον εἰς ἀεννάους πηγάς τε μετέστρεψας, θαυμαστῶς εἰς δένδρα τε, τοῖς καρποῖς βρίθοντα, καὶ εὐθαλέστατα αὐτῆς, φυτῶν τὰ ἄκαρπα.

Θεοτοκίον.

Ἡ στάμνος ἐτύπου σε ἡ μανναδόχος, τὸν ἄρτον βαστάζουσα, τῶν ἀγγέλων, ἄχραντε, ζωὴν βραβεύοντα, ταῖς διανοίαις τῶν πιστῶν, τὴν ἀδιάῤῥευστον.

Ὠδὴ γ΄. Στερεωθήτω ἡ καρδία μου.

Τὴν τῶν παθῶν διχάσας θάλασσαν, τῶν σῶν προςευχῶν, παναοίδιμε, τῇ βακτηρίᾳ, τὸν πικρὸν Φαραὼ σὺ κατεπόντισας, καὶ διέβης ἀκυμάντως εἰς ζωὴν τὴν ἀτάραχον.

Ὥςπερ ἐλαία σύ, μακάριε, ἐν αὐλαῖς ἀνθήσας τοῦ κρείττονος, πεπυκασμένος τοῖς καρποῖς τοῖς ἀφθάρτοις τῶν ἔργων σου, τῷ ἐλαίῳ νῦν λιπαίνεις, τὰς ψυχὰς τῶν ὑμνούντων σε.

Ὥςπερ λειμὼν ἀνθέων ἔμπλεως τῶν ἐξ ἀρετῶν σὺ γενόμενος, εὐωδιάζεις ταῖς ὀδμαῖς τῶν χαρίτων τὴν σύμπασαν, ἀπελαύνων τὸ δυςῶδες τῶν παθῶν αὐτῆς, ἅγιε.

Ἐκ τῆς ἑῴας πόθος δέσμιον ὁ τῶν ἀποστόλων κατήγαγεν, ἐν τῇ Ῥωμαίων, ἐν δεσμοῖς δεδεμένον τοῦ Πνεύματος, οὐχ ἁλύσεσι τυράννων, ὡς ἐκείνους ὁ Νέρωνος.

Τὴν τῆς σαρκός, παμμάκαρ, κάμινον, κατὰ τῆς ψυχῆς τὴν παφλάζουσαν, τοῖς τῶν δακρύων ὀχετοῖς παντελῶς κατεμάρανας, καταρδόμενος ταῖς δρόσοις ἀεννάου τοῦ Πνεύματος.

Θεοτοκίον.

Τὸ πῦρ, Παρθένε, τῆς θεότητος ἐν τῇ σῇ νηδύϊ ἐδέδεξο ἀκαταφλέκτως, καὶ τὴν γῆν κατεφώτισας ἅπασαν, διαλύσασα τὸν ζόφον τοῦ σατὰν τὸν βαθύτατον.

Κάθ. Ἦχος πλάγ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

**Ἐγκρατείας ἱδρῶσιν ἀσκητικοῖς κατασβέσας τὴν φλόγα τὴν τῶν παθῶν, πᾶσιν ἀνέβλυσας τῶν θαυμάτων τὸ πέλαγος, καὶ ἐν αὐτῷ ὡς δεύτερος Μωσῆς κατεπόντισας τὰ τῆς πλάνης ἅρματα, δαιμόνων τὰς φάλαγγας. Ὅθεν συνελθόντες κατὰ χρέος τιμῶμεν, τὴν πάνσεπτον μνήμην σου, θεοφόρε Χριστόδουλε· πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.**

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

**Ἡ πανάμωμος νύμφη τοῦ ποιητοῦ, καὶ ἀπείρανδρος μήτηρ τοῦ λυτρωτοῦ, δοχεῖον ἀνομίας με, καὶ αἰ-**

**σχρὸν καταγώγιον, καὶ δαιμόνων παίγνιον, ἐν γνώσει γενόμενον, σπεῦσον καὶ τῆς τούτων κακουργίας με ῥῦσαι, λαμπρὸν οἰκητήριον δι' ἀρετῆς ἀπαρτίσασα, φωτοδόχε ἀκοίμητε· δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω μεθέξεως ἀξίωσον, καὶ φωτὸς ἀνεσπέρου πρεσβείαις σου.**

Ὠδὴ δ'. Ἐν Πνεύματι προβλέπων, προφῆτα.

Μελέτην σου θανάτου ποιούμενος ἀεὶ τὴν ζωήν, ἐδάκρυες ἡμέρας καὶ νυκτός. Ὅθεν καὶ φέγγος τὸ θεῖον, μάκαρ, ἀστράψαν ἐν σῇ καρδίᾳ, παρακλήσεως ἀῤῥήτου πάσης καὶ χαρᾶς σε ἐνέπλησεν.

Ἐβάδισας ἐκ βρέφους τὴν τρίβον τὴν στενήν, ἐν ποικίλαις θλίψεσι παντοίων πειρασμῶν· ἀνθ' ὧν πρὸς πλάτος τῶν οὐρανίων χώρων ἀπάρας, ἀρτίως, πάτερ, τὰς αὐλὰς κατεπήξω, πᾶσι σὺν δικαίοις γηθόμενος.

Ἀνέτεινας τὸν νοῦν σου καὶ χεῖρας πρὸς Θεὸν ἀκλινῶς, καὶ φάλαγγας ἀγρίων δυσμενῶν κατετροπώσω, παμμάκαρ, Μωσῆς ὡς μέγας, καὶ νίκης ἄρας τοὺς στεφάνους, τῇ Τριάδι νῦν στεφανηφόρος παρίστασαι.

Ἐξέπλευσας τῆς Ῥώμης πρὸς πόλιν τὴν Σιών, ὥσπερ εἴτις ἔλαφος, σοφέ, διψητική, τοὺς θείους τόπους ἰδεῖν τε καὶ προσκυνῆσαι διψῶν ἐκτόπως, καὶ τυχὼν τοῦ ποθουμένου, χάριτος ἀφθόνου ἐμπέπλησαι.

Κομπάζει Νικαέων ἡ πόλις ἡ λαμπρά, ἐν χερσὶ κατέχουσα τὰ σπάργανα τὰ σά. Ὀλύμπου πάλιν τὸ ὄρος, καὶ τὸ τοῦ Λά-

τρου, Κῶς τε καὶ Λέρος προσκιρτῶντες σὺν τῇ Πάτμῳ, πᾶσιν ἐκλαλοῦσι τοὺς ἄθλους σου.

Θεοτοκίον.

Πταισμάτων τὰς σειράς μου διάῤῥηξον, Ἁγνὴ, ἡ τοῦ ᾅδου ῥήξασα τὰ ἄῤῥηκτα δεσμὰ τῷ τοκετῷ σου, καὶ πάντας τοὺς ὑπ' ἐκείνου κατεχομένους ἀπάλλαξον, ὦ Παρθένε, ὅπως ἐλευθέρως δοξάζω σε.

Ὠδὴ έ. Θεὸς ὢν εἰρήνης.

Χωρίσας τῆς ὕλης καθάπαξ τὸν νοῦν, καὶ νεκρώσας σαρκὸς τὰ κινήματα εἰς τέλος τὰ ἀκάθεκτα, τὸ κάλλος τοῦ Χριστοῦ σὺν ἅμα τοῖς ἀγγέλοις ὁρᾷν κατηξιώθης, τὸ ἀμήχανον ὄντως ἀκραιφνεστάτως, παμμακάριστε.

Πυρὶ τῆς ἀγάπης φλεχθεὶς τοῦ Χριστοῦ, καὶ μισήσας τὰ πάντα ὡς σκύβαλα τοῖς ὄρεσιν ἐνῴκησας ὡς ἄλλος Ἠλιοὺ, καὶ θείαις θεωρίαις τὸν νοῦν καταλαμπρύνων ὅσαι ὧραι, παμμάκαρ, τῶν ὀρεκτῶν τὸ ἄκρον ἔφθασας.

Οὐδέν σε τοῦ πόθου χωρίσαι Θεοῦ, οὐ γονεῖς, οὐχ ἡ σύζυγος ἴσχυσεν, οὐ δόξα ἡ διάκενος, οὐ πλοῦτος ὁ φθαρτὸς, οὐκ ἄλλο τὸ παράπαν· ἀντηλλάξω γὰρ πάντων Χριστὸν, οὗπερ ἠράσθης ἐξ ἁπαλῶν ὀνύχων, ὅσιε.

Ἡ δίκη Θεοῦ σε τιμῶσα ὀξὺ μαθητῶν τὸν θρασὺν ἐβασάνισεν, ἐξαίφνης καταῤῥάξασα πρὸς γῆν ἐλεεινῶς. Ἀλλ' ἄνω σὺ τὸ ὄμμα τῆς ψυχῆς ἀνατείνας συμπαθῶς πρὸς τὸν κτίστην, ἐξανιστᾷς εἰςαῦθις σώφρονα.

Τοῖς νόμοις ῥυθμίσας τὰ μέλη σαρκὸς, καὶ ῥομφαίᾳ φραχθεὶς τῇ τοῦ παντὸς δαιμόνων ἀπεθέρισας ἀνδρείως κεφαλὰς, μηδ' ὅλως ὑποκῦψαι τὸν ἀδούλωτον νοῦν σου ἁμαρτίας τῷ νόμῳ δυςγενεστάτως ἀνεχόμενος.

Θεοτοκίον.

Νεφέλην σε κούφην προεῖδε ποτὲ Ἠσαΐας ὁ μέγας ἐν Πνεύματι, ἀγκάλαις ἐπιφέρουσαν τὸν ἥλιον ἁγνὴ, τὸν τῆς δικαιοσύνης, τὸ σκότος τῶν εἰδώλων διαλύσοντα ἅπαν, καὶ τῶν πιστῶν ψυχὰς φωτίσοντα.

Ὠδὴ ς'. Σπλάγχνων Ἰωνᾶν.

Πάλαι τοῦ Ναυῆ ὁ γόνος καθῄρηκε στρατάρχας ἑπτὰ νεανικώτατα. Τὰ κεφάλαια τῶν παθῶν καθελὼν καὶ σὺ τέλεον, ἀπαθείας ἠγλαΐσθης τοῖς χαρίσμασι, μάκαρ, καὶ θεοειδέστατον τῆς Τριάδος ἐγένου ἀνάκτορον.

Παῖδες Ἀβραὰμ Χαλδαίων τὴν κάμινον ὡραίοις ποσὶ καταπατήσαντες κατεμάραναν, τὴν ψυχὴν ἐκπετάσαντες ἅπασαν πρὸς τὸν Ὕψιστον. Τὴν φλόγα κατεπάτησας, πάτερ, καὶ σὺ τὴν δυςκάθεκτον τῆς σαρκὸς, ἀνενδότοις δεήσεσιν.

Πλήθη μοναστῶν, μιγάδων ἀγέλας τε ὁ βίος ὁ σὸς ὁ ἀκριβέστατος ἐπεσπάσατο, ὡς μαγνῆτις ἡ λίθος τὸν σίδηρον· καὶ ῥυθμίσας ὡς ἀρίστως πρὸς τὴν ἄσκησιν, πάντας ζηλωτὰς ἀνέδειξας διαπύρους τοῦ κρείττονος, ἔνδοξε.

Πρώην Δανιὴλ τοὺς θῆρας τοὺς λέοντας, ἐν λάκκῳ βληθεὶς ξένως ἡμέρωσε. Τὴν διάνοιαν πρὸς Θεὸν ἀναρτήσας ὁλόκληρον,

ἐχαλίνωσας καὶ σὺ τὸν ἀνυπόστατον θῆρα, τὸν τυραννικώτατον τιθασσεύσας θυμὸν σαῖς ἐντεύξεσιν.

Πόλιν πεφθακὼς πασῶν τὴν βασίλισσαν, τῶν ἔργων τῶν σῶν τοῖς ἀμαρύγμασι κατεφώτισας ἱερεῖς, βασιλεῖς, καὶ τὴν σύγκλητον, ἀεννάως μελιρρύτοις παραινέσεσι, μάκαρ, καταρδεύων ἅπαντας, καὶ βελτίους ὅσ' ὧραι ποιούμενος.

Θεοτοκίον.

Τόμον σε καινὸν προφήτης ἐν Πνεύματι, τὸν Λόγον Θεοῦ τὸν ἀπερίγραπτον προεώρακεν, ἐν αὐτῷ τοῦ Πατρὸς γραφησόμενον τῷ δακτύλῳ ὑπὲρ φύσιν, θεονύμφευτε· οὕτω καὶ γὰρ τὸν ἀόριστον ἐν γαστρί σου σαρκὶ περιώρισας.

Κοντάκιον. Ἦχος πλάγ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια.

**Τῷ ἐκ τοῦ κόσμου τῆς δεινῆς ματαιότητος, ταῖς διδαχαῖς σου ταῖς σεπταῖς ποίμνην ἐλάσαντι, ἀναγράφομεν οἱ παῖδές σου ὕμνον σοι, μάκαρ. Ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον, ἐκ παντοίων ἡμᾶς λύτρωσαι κολάσεων, ἵνα κράζωμεν, Χαίροις πάτερ Χριστόδουλε.**

Ἕτερον, ποίημα τοῦ ἀββᾶ Ἀπολλώ.

Ἦχος δ'. Ἐπεφάνης σήμερον.

**Τὸ σεπτόν σου λείψανον τοὺς προςκυνοῦντας σχετικῶς ἐκ πίστεως φύλαττε, πάτερ, ἀσινεῖς ταῖς πρὸς Θεὸν ἱκεσίαις σου, ὅσιε πάτερ θεόφρων Χριστόδουλε.**

Ὁ Οἶκος.

**Ἄγγελος ἄλλος ὤφθης ἐπὶ γῆς, θεοφόρε, βιώσας ἐγκρατῶς ὑπὲρ λόγον· καὶ τοῖς ἐπουρανίοις χοροῖς συνηρίθμησαι τανῦν, τρισμακάριστε. Διὸ ἀνυμνοῦντες βοῶμέν σοι θερμῶς τοιαῦτα: Χαῖρε ἀστὴρ τῆς ἐῴας ἐκλάμψας. Χαῖρε φωστὴρ τοὺς ἐν Πάτμῳ αὐγάσας. Χαῖρε τῶν ἐν βάθει παθῶν ἡ ἀνάκλησις. Χαῖρε τῶν ἐν ζόφῳ κακίας ἡ λύτρωσις. Χαῖρε ἕλκων πρὸς μετάνοιαν ταῖς τῶν λόγων διδαχαῖς. Χαῖρε ἄγων πρὸς ἀπάθειαν ταῖς τοῦ βίου ἀγωγαῖς. Χαῖρε, ὅτι ὑπάρχεις ὁδηγὸς μοναζόντων. Χαῖρε, ὅτι τυγχάνεις ἰατρὸς ἀσθενούντων. Χαῖρε σωτὴρ ἀνθρώπων θερμότατε. Χαῖρε φωστὴρ σῶν παίδων λαμπρότατε. Χαῖρε, δι' οὗ ὁ Θεὸς ἐδοξάσθη. Χαῖρε, δι' οὗ ὁ ἐχθρὸς κατῃσχύνθη. Χαίροις, πάτερ Χριστόδουλε.**

Ὠδὴ ζ'. Οἱ παῖδες εὐσεβείᾳ.

Ὡς Ἥλιος, παμμάκαρ, τὰς ἐρήμους χρυσαυγὴς κατήστραψας, καὶ τὴν ἀχλὺν τὴν ζοφερὰν τῶν δαιμόνων διεσκέδασας, πρὸς τὴν ἄνω ποδηγῶν ὁδὸν τοὺς ψάλλοντας: Ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Παντοίως προσβαλόντα τὰ δεινὰ τῆς πονηρίας πνεύματα σοὶ τῷ προβόλῳ τῷ στεῤῥῷ, διελύθησαν ὡς κύματα· ἐπὶ πέτρας ἀσφαλοῦς τὰς βάσεις εἶχες γάρ, ἐρηρεισμένας τῷ λόγῳ τοῦ Σωτῆρος.

Ἡττήθη κατὰ κράτος ὑπὸ σοῦ ὁ τυφωθεὶς ὑπέρογκα· καὶ ὁ Θεοῦ κατεπαρθεὶς καὶ τὰ μείζω φρυαξάμενος, ὡς στρουθίον

εὐτελὲς εἰς χοῦν συντέτριπται, ὁπλισαμένῳ τὸ μέτριόν σοι, πάτερ.

Ζητῶν τὸν μαργαρίτην νουνεχῶς ἀπὸ σπαργάνων εὕρηκας, τὸν πολυτίμητον Χριστὸν, καὶ εὑρὼν τὰ πάντα προὔδωκας, καὶ κτησάμενος αὐτὸν ἐπήρκεις ἅπασι τοῖς δεομένοις πλουτεῖν ἐκ τούτου, πάτερ.

Δοχεῖον, θεοφόρε, γεγονὼς σὺ καθαρὸν τοῦ Πνεύματος, τὰς θεουργοὺς μαρμαρυγὰς ὁλικῶς ἐδέχου, ὅσιε, θείαις τε πνοαῖς ὡς ὄργανον κρουόμενον, καὶ ἐμμελὲς τῷ Θεῷ τὸ μέλος ᾆδον.

Θεοτοκίον.

Ἡ βάτος Μωϋσέως ὑπεδήλου καθαρῶς τὸν τόκον σου. Ὡς γὰρ ἐκείνη θαυμαστῶς φλεγομένη ὤφθη, Δέσποινα, ἀνωτέρα τῆς φλογὸς, ὡσαύτως ἄφλεκτος διετηρήθης καὶ σὺ πυρὸς τοῦ θείου.

Ὠδὴ ή. Θαύματος ὑπερφυοῦς.

Ἅρματος τῶν ἀρετῶν τοῦ λαμπροτάτου ἐπιβέβηκας ἄλλος καθάπερ Ἠλιοὺ, θεσπέσιε, καὶ ἡρπάγης πρὸς οὐρανοὺς, καὶ Τριάδι μετὰ δόξης νῦν παρίστασαι, ἀμέσως ταῖς ταύτης ἐλλαμπόμενος φωταυγείαις καὶ ψάλλων: Πάντες τὸν Κύριον ἀνυμνολογεῖτε εἰς πάντας τοὺς αἰῶνας.

Βάρβαρον ἐξ Ἰταλῶν ὁ δολιόφρων καθ' ἡμῶν ἐξωπλίσατο στόλον, ἀφαρπάσαι σκήνωμα τοῦ ἁγίου τυραννικῶς· ἀλλ' ἠλέγχθη ἐν κενοῖς δραμὼν ὁ βάσκανος· κενὰς γὰρ τὰς χεῖρας αὖθις ἔχοντες ἐπανῆκαν, καὶ δίκην ἔδωκαν τῆς ὕβρεως, ὑπὸ τῆς θαλάσσης δεινῶς βασανισθέντες.

Ἔφοδον τυραννικὴν ἐλπιζομένην διασκέδασον τάχιστα, πά-

τερ, τῇ Τριάδι δέησιν ἐνστησάμενος ἐμμελῶς, Θεολόγον καὶ τὸν τούτου αὐθομαίμονα θερμοὺς προςλαβόμενος συλλήπτορας τῆς πρεσβείας. Ἡ κτίσις πᾶσα τὸν Κύριον ἀνυμνολογεῖτε βοῶντες εἰς αἰῶνας.

Κλύδωνα τὸν χαλεπὸν τῆς ἐκκλησίας, καὶ τὸν ἄγριον κόπασον σάλον, εἰρηναίαν ἅπασι πολιτείαν καὶ βιοτὴν τοῖς ὑμνοῦσί σε, θεόφρον, χαρισάμενος, ὡς ἂν γεγηθότες ἀναμέλπωμεν ἀσιγήτως: Ἡ κτίσις πᾶσα τὸν Κύριον ἀνυμνολογεῖτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Δόξης τῆς θεοειδοῦς ἐκπεπτωκότας τοὺς προπάτορας ὄφεως δόλῳ, καὶ πρὸς ᾅδου πέταυρον καταχθέντας ἐλεεινῶς, τὴν ζωὴν ἀποτεκοῦσα, θεονύμφευτε, σὺ τὴν οὐσιώδη ἀνεζώωσας παραδόξως, καὶ τούτους θέσει τεθέωκας ἐπαναδραμόντας τῇ πρώην εὐγενείᾳ.

Ὠδὴ θ΄. Τύπον τῆς Ἁγνῆς.

Ἔστης νῦν τῆς σῆς ἐφέσεως, τῶν ἐφετῶν ἁπάντων, μάκαρ, τὸ ἔσχατον ἐπιφθάσας, οὗπερ ἐπὶ γῆς ἐκ νεότητος ὁ διάπυρος ἔρως σε ἔφλεγεν· οὗ νῦν καταπολαύων ὑπὲρ ἡμῶν ἀγρύπνως πρέσβευε.

Ἴδε πειρασμῶν τὴν θάλασσαν, ἣν καθ᾿ ἡμῶν ἐκ βασκανίας ἐξήγειρεν ὁ ἀρχέκακος καὶ ἀπ᾿ ἀρχῆς ἀνθρωπόλεθρος, καὶ πραΰνας γαλήνην πρυτάνευσον τῇ σῇ γνησίᾳ ποίμνῃ ταῖς ἀδιστάκτοις ἱκεσίαις σου.

Μάκαρ, τὸ καλὸν ἀγώνισμα τῆς ἀρετῆς ἀνδρειοθύμως ἠγώνισαι, καὶ τὸν δρόμον σου ἀνεπιστρόφως τετέλεκας, καὶ τὴν πίστιν ἀμέμπτως τετήρηκας. Διὸ καὶ τῶν στεφάνων τῶν κατ᾿ ἀξίαν ὄντως ἔτυχες.

Δέξαι τὸ παρόν μου ψέλλισμα τοῦ ταπεινοῦ καὶ ἀναξίου ἱκέτου σου, ἀνασχόμενος ὡς ὁ Σωτήρ μου τὸν ἔπαινον τῶν νηπίων ποτὲ, καὶ τὴν ἄφεσιν, ἀντιβολῶ, παράσχου τῶν ἁμαρτάδων μου πρεσβείαις σου.

Θεοτοκίον.

Ἴδε τὴν ἐμὴν ἀσθένειαν, ἴδε ψυχῆς μου τὰ δεινότατα τραύματα, ἅ μοι δαίμονες ἀνηλεεῖς προςετρίψαντο, ἀπηνῶς ἐπελθόντες οἱ φόνιοι, καὶ δὸς τὴν σωτηρίαν ἡ τὸν Σωτῆρα ἀποτέξασα.

Ἐξαποστειλάριον.

Τῶν μαθητῶν ὁρώντων σε.

**Ἀστὴρ ἐφάνης ἄδυτος ἐν τῷ Λάτρῳ, τῶν ἀσκητῶν τὰ πλήθη καταλαμπρύνων· ποίμνην δὲ τὴν Πάτμον ἐργασάμενος, Χριστόδουλε θεόσοφε, καθοδηγῶν ἐκδιδάσκεις ἰσάγγελον πολιτείαν.**

Ἕτερον. Ὅμοιον.

**Τὸν ἐν τῷ Λάτρῳ λάμψαντα ἀρχηγέτην καὶ πάντας καταυγάσαντα θεαρέστως, Χριστόδουλον τὸν θεῖον εὐφημήσωμεν· ἀσκητικὰ γὰρ ἔπαθλα καὶ μοναζόντων ἀγέλας ἐπλήθυνεν ἐν τῇ Πάτμῳ.**

Θεοτοκίον.

**Τιμιωτέρα πάντων τῶν ποιημάτων ὑπάρχεις, Θεοτόκε, Χριστὸν τεκοῦσα. Τοῦτον οὖν ἱκέτευε φυλάτ-**

**τεσθαι, τὴν οἰκτρὰν ταύτην ποίμνην σου, ἀλώβητον ἐκ παντοίας, ἐπιβουλῆς ἐναντίας.**

Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια, ἦχος πλάγ. δ'.

Ὢ τοῦ παραδόξου θαύματος.

**Πάτερ θεόφρον Χριστόδουλε, δι' ἐγκρατείας πολλῆς καὶ συντόνου δεήσεως τῷ Χριστῷ ἑνούμενος, ἀπερίτρεπτος ἔμεινας ταῖς μεθοδείαις τοῦ πολεμήτορος, καὶ φίλος ὤφθης τοῦ Παντοκράτορος. Ὅθεν τιμῶμέν σε, καὶ τὴν θείαν μνήμην σου περιχαρῶς πίστει ἑορτάζομεν, θεομακάριστε.**

Ὅμοιον.

**Ὅσιε πάτερ Χριστόδουλε, ἐν ἐρημίαις ἀεὶ καὶ σπηλαίοις καὶ ὄρεσι πίστει διαιτώμενος τὸν Θεὸν ἐξεζήτησας, καὶ τοῦτον εὗρες ὥςπερ ἐπόθησας, ἀνεπιστρόφῳ ψυχῇ νευρούμενος, ταῖς ἀναβάσεσι ταῖς καλαῖς ἑκάστοτε, καὶ μοναστῶν στέφη προσενήνοχας Χριστῷ σωζόμενα.**

Ὅμοιον.

**Σὺ καθυπείκων τοῖς νεύμασι τοῦ παντεπόπτου Θεοῦ, παρ' αὐτοῦ χάριν ἔλαβες ἐνεργεῖν τεράστια, καὶ διώκειν τὰ πνεύματα τῆς πονηρίας τῶν προσιόντων σοι ἐν τῇ σορῷ σου, θεομακάριστε. Ὅθεν τιμῶμέν σε, καὶ τὴν θείαν μνήμην σου χρεωστικῶς πίστει ἑορτάζομεν, θεομακάριστε.**

Δευτεροῦμεν τὸ ά.

Δόξα, ἦχος πλάγ. δ'.

**Οὐρανοδρόμῳ ἐπιβὰς ὀχήματι, θεσπέσιε, τῶν ἀρετῶν κατέλαβες τὴν ἀκρόπολιν δι' ἀσκήσεως, ἐκ τῆς ἐρήμου πολεύων τῆς ἄνω Ἱερουσαλὴμ τὰ ὑπερκόσμια, καὶ τῶν ἐκ πόνων ἀγώνων ἀξίως τὰ γέρα κομισάμενος, ταῖς οὐρανίαις συναγάλλῃ ταξιαρχίαις, παμμακάριστε τῶν αἰωνίων ἀγαθῶν κληρονόμος καὶ τῆς βασιλείας οἰκήτωρ γενόμενος. Ἀλλὰ πρέσβευε, θεοφόρε Χριστόδουλε, τῷ Σωτῆρι τῶν ὅλων εἰρηνεῦσαι τὸν κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.**

Καὶ νῦν, Θεοτοκίον. Εἰς τὸν στίχ. στιχηρά,

τὸ ἰδιόμελον τοῦ Τριῳδίου καὶ τὸ μαρτυρικόν.

Εἶτα δόξα τοῦ ἁγίου.

Ἦχος πλάγ. δ'.

**Τὸ κατ' εἰκόνα τηρήσας ἀλώβητον, ὅσιε πάτερ, κατὰ τῶν παθῶν τῆς σαρκὸς ἀντέστης ἀνδρικώτατα, μὴ ὑποπτήξας τὰς τῶν δαιμόνων ἐπιφορὰς, ἀλλὰ τῇ τοῦ Πνεύματος αἴγλῃ τούτους κατέσφαξας. Διὸ παῤῥησίαν κεκτημένος πρὸς Θεὸν, περίσωζε τὴν ποίμνην σου ἐξ ἐχθρῶν παντοδαπῶν, πάνσοφε Χριστόδουλε.**

Καὶ νῦν, Θεοτοκίον, τὰ λοιπὰ καὶ ἀπόλυσις.

## ΜΗΝΙ ΟΚΤΩΒΡΙΩ ΚΑ΄.

# Η ΑΝΑΚΟΜΙΔΗ ΤΟΥ ΛΕΙΨΑΝΟΥ

ΤΟΥ

## ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΧΡΙΣΤΟΔΟΥΛΟΥ

## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

---

Ἑσπέρας ἐν τῷ μικρῷ ἑσπερινῷ εἰς τό: Κύριε ἐκέκραξα ἱστῶμεν στιχηρὰ δ΄.

Ἦχος ά. Πανεύφημοι μάρτυρες.

**Παμμάκαρ Χριστόδουλε, σαυτὸν ὅλον ἀναθέμενος τῷ ποιητῇ καὶ δεσπότῃ σου, ζωῆς ἠλόγησας τῆς προσκαίρου ταύτης καὶ τρυφὴν διέπτυσας, καὶ πᾶσαν ἄλλην βίου τερπνότητα· Χριστῷ συνεῖναι γὰρ ὡς ἐχέφρων προαιρούμενος, τῶν ἐνθάδε τερπνῶν κατεφρόνησας.**

**Γονέων οὐδόλως σε στοργὴ ἔθελξε, μακάριε, οὐ συγγενῶν, οὐ συζύγου τε Θεοῦ ἐχώρισεν ὄντως, ἀλλὰ πάντα νουνεχῶς ἀπέῤῥιψας, καὶ τούτῳ ἠκολούθησας, ὅσιε· ὃν καθικέτευε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.**

**Θεὸν, ὃν ἠγάπησας θερμῶς, μάκαρ, ἐκ καρδίας σου,**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἀδιαλείπτως ἱκέτευε ῥυσθῆναι ἅπαντας τοὺς ἀναθεμένους ἑαυτοὺς τῇ ποίμνῃ σου, καὶ ταύτῃ μέχρι τέλους προσμένοντας, πυρὸς γεέννης τε καὶ βαρβάρων τῆς ἁλώσεως, καὶ τῆς πλάνης τοῦ δολίου δράκοντος.

Δόξα, ἦχος β'.

**Τὸ** μνημόσυνόν σου εἰς τὸν αἰῶνα μένει, ὅσιε πάτερ **Χριστόδουλε**, καὶ τὸ πρᾷον τῆς καρδίας σου, θεράπον μακάριε· εἰ γὰρ μετέστης ἐξ ἡμῶν ὁ ποιμὴν ὁ καλὸς, ἀλλ' οὐκ ἀπέστης ἀφ' ἡμῶν τῷ πνεύματι, ἐν ἀγάπῃ **Θεῷ** παριστάμενος, καὶ σὺν ἀγγέλοις χορεύων ἐν οὐρανοῖς· μεθ' ὧν ἱκέτευε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον.

---

Στιχηρὰ ἀπόστιχα.

Ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

**Πάντα** παριδὼν ὡς νουνεχὴς, γένος, περιφάνειαν, πλοῦτον, καὶ τῆς συζύγου στοργὴν, κόσμου τε τερπνότητα ἀπαρνησάμενος, καὶ σταυρὸν ἐπὶ ὤμων σου ἀράμενος, μάκαρ, τρέχων ἠκολούθησας **Χριστῷ**, **Χριστόδουλε**· τοῦτον ἱκετεύων μὴ παύσῃ, λύσιν δωρηθῆναι πταισμάτων τοῖς πιστῶς ὑμνοῦσί σου τὴν κοίμησιν.

Στίχος,

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου.

**Φάλαγξ τῶν δαιμόνων ἡ τὸ πρὶν Πάτμον κατοικοῦσα, ὡς σ' εἶδεν ἐπιδημήσαντα, αἴφνης φυγαδεύεται, καὶ ὁ προστάτης αὐτῆς, Φαραὼ ὥςπερ δεύτερος, βυθῷ τῆς θαλάττης, μάκαρ, παραπέμπεται εὐχῇ καὶ μόνῃ σου. Ὅθεν μοναζόντων τὸ στῖφος νῦν περιχορεῦον ἐν ταύτῃ, διὰ σοῦ γεραίρει τὸν φιλάνθρωπον.**

Στίχος,

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Οἶκον ἀπειργάσω τοῦ Θεοῦ, σπήλαιον δαιμόνων τὴν οὖσαν τὸ πρίν, Χριστόδουλε, Πάτμον, καὶ ἀνήγειρας ναὸν σεπτὸν καὶ φαιδρὸν, μοναστῶν τε συνήθροισας ἀγέλας ἐν ταύτῃ, ὕμνους ἀναπέμποντας ἀεὶ τῷ πάντων Θεῷ· ἥνπερ ποδηγῶν μὴ ἐλλέπῃς καὶ πρὸς βασιλείαν εἰςάγων τὴν τῶν οὐρανῶν, ἀειμακάριστε.**

Δόξα, ἦχος β'.

**Ἡ τῶν λειψάνων σου θήκη, πανεύφημε πάτερ, πηγάζει ἰάματα, καὶ ἡ ἁγία σου ψυχὴ ἀγγέλοις συνοῦσα ἀξίως ἀγάλλεται. Ἔχων οὖν πρὸς Κύριον, ὅσιε, παῤῥησίαν, καὶ μετὰ τῶν ἀσωμάτων χορεύων ἐν οὐρανοῖς, σὺν αὐτοῖς πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.**

Καὶ νῦν, Θεοτοκίον.

Ἀπολυτίκιον, ἦχος β΄.

**Τοῖς τῶν δακρύων σου ὄμβροις, πάτερ Χριστόδουλε, τῶν νοσημάτων ἐξαίρεις τὸν καύσωνα· διό σε πιστῶς ἱκετεύομεν, ἐπερχομένων παντοίων κακῶν ἡμᾶς λύτρωσαι, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.**

Καὶ νῦν, Θεοτοκίον.

Ἡ εὐλόγησις τῶν κολλύβων καὶ ἀπόλυσις.

Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ ἱστῶμεν στιχηρά, ἦχος δ΄.

Ὡς γενναῖον ἐν μάρτυσιν.

**Ὡς ἀστέρα πολύφωτον, θεοφόρε Χριστόδουλε, οἰκουμένην ἅπασαν καταλάμποντα, σὲ ἐγνωκότες γεραίρομεν ἐν ὕμνοις τὴν μνήμην σου, καὶ τὴν λάρνακα τὴν σὴν εὐλαβῶς προσπτυσσόμενοι ἐκβοῶμέν σοι: Μὴ ἐλλείπῃς, παμμάκαρ, τὸν δεσπότην καὶ Θεὸν ἡμῶν πρεσβεύων τοῦ οἰκτειρῆσαι τοὺς δούλους σου.**

**Τῶν ὁσίων ὁμότιμος καὶ ἀγγέλων ὁμόσκηνος ὡς ὑπάρχων μέμνησο τῶν τιμώντων σε καὶ ἀνυμνούντων, Χριστόδουλε, τὴν κοίμησιν σήμερον τὴν σεπτήν σου καὶ φαιδράν, ἐκ παντοίων λυτρούμενος τούτους θλί-**

ψεων καὶ κολάσεως, πάτερ, αἰωνίου, καὶ βαρβάρων ἐπηρείας, καὶ πάσης ἄλλης κακώσεως.

**Τ**οὺς γενναίους ἀγῶνάς σου, καὶ ἀγγέλων ἐθαύμασεν ἡ πληθὺς, μακάριε, καθορῶσά σου τὸ τῆς νηστείας ἀνένδοτον, τὴν στάσιν τὴν πάννυχον, προσευχὴν διηνεκῆ, καὶ δακρύων τὸ ἄμετρον. Ὅθεν αἴτησαι, παῤῥησίαν ὡς ἔχων, τοῖς σοῖς τέκνοις ἱλασμόν τε τῶν πταισμάτων, καὶ παραδείσου τὴν οἴκησιν.

**Τ**οὺς γενναίους ἀγῶνάς σου, θεοφόρε **Χ**ριστόδουλε, καὶ τὴν ὑπερβάλλουσαν καρτερίαν σου τῆς θαυμασίας ἀσκήσεως, **Χ**ριστὸς ὁ **Θ**εὸς ἡμῶν κατιδών σου, τὴν **Α**ὐτοῦ βασιλείαν ηὐτρέπισεν· ὃν ἱκέτευε ἐξ ἐχθρῶν πολεμίων λυτρωθῆναι τὴν σὴν ποίμνην, θεοφόρε παμμάκαρ πάτερ **Χ**ριστόδουλε.

**Κ**αὶ ἐγκράτειαν σύντονον προσευχὴν τ' ἀδιάλειπτον, ἀγρυπνίαν πάννυχον ἐκαρτέρησας, καὶ τοὺς πεινῶντας διέθρεψας πτωχούς· διὰ τοῦτό σε ἐν τοῖς κόλποις **Ἀ**βραὰμ ὁ **Χ**ριστὸς κατεσκήνωσεν· ὃν ἱκέτευε, θεοφόρε τρισμάκαρ, λυτρωθῆναι ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν τὴν ποίμνην σου, ὅσιε.

**Θ**εωρίαις καὶ πράξεσι πρὸς **Θ**εὸν ἀνυψούμενος διὰ βίου, πάνσοφε, διετέλεσας, τῆς θεωρίας ἐπίβασιν τὴν πρᾶξιν πηξάμενος καὶ σοφῶς τῶν ὀρεκτῶν ἀγαπήσας τὸ ἔσχατον· οὗ γενόμενος τῆς ἐφέσεως ἔστης, μακαρίου ἀξιούμενος νῦν τέλους, θεόφρον πάτερ **Χ**ριστόδουλε.

Δευτεροῦμεν τὰ δύο.

Δόξα, ἦχος πλάγ. β'.

Τὸ κατ' εἰκόνα τηρήσας.

Ζήτει ὄπιθεν ἐν σελ. 2, ἢ λέγε τοῦτο:

Δόξα, ἦχος δ'.

**Ἀγάλλεται σήμερον ἡ ἐκκλησία τοῦ Θεοῦ λαμπρυνομένη τῇ χάριτι, καὶ πιστῶς πανηγυρίζει τῆς Πάτμου τὰ συστήματα ἐπὶ τῇ ἐπανόδῳ τοῦ τιμίου λειψάνου σου, ἡγιασμένε πάτερ Χριστόδουλε, καὶ δοξάζει Χριστὸν τὸν διὰ σοῦ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.**

Καὶ νῦν, Ὁ διὰ σὲ θεοπάτωρ.

Εἴσοδος, τὸ προκείμενον τῆς ἡμέρας.

Τὰ ἀναγνώσματα. Ζήτει ὄπισθεν ἐν σελ. 3,
ὁμοίως καὶ τὴν λιτήν.

Ἀπόστιχα, ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

**Ὥσπερ τὰ ὀστᾶ τοῦ Ἰωσὴφ οἱ τοῦ Ἰσραὴλ ἐξ Αἰγύπτου συνεκομίσαντο, οὕτως οἱ μονάζοντες ἐν τῇ τῆς Πάτμου μονῇ, ἐξ Εὐβοίας τὸ σκῆνός σου, Χριστόδουλε πάτερ, εἰς αὐτὴν μετήνεγκον· ὃ καὶ κατέθεσαν**

ἔγγιστά που τοῦ ναοῦ τοῦ παρθένου καὶ βροντῆς υἱοῦ Θεολόγου, εἰς δεινῶν παντοίων ἀπολύτρωσιν.

Ἦραν ἐπὶ ὤμων ἀνδρικῶς λάρνακα τὴν θείαν, παμμάκαρ, ἐν ᾗ τὸ ἅγιον σῶμά σου, Χριστόδουλε, οἱ μοναχοὶ εὐλαβῶς ἐν Εὐβοίᾳ ἐκήδευσαν, καὶ καταγαγόντες εἰς πλοῖον κατέθεσαν ἐν ἀωρεὶ τῆς νυκτὸς, ἔχοντες τὴν σὴν ἀντίληψιν, πάτερ, συνεφεπομένην καὶ δρῶσαν πάντα εὐμαρῆ, θεομακάριστε.

Πάτμος ἑορτάζει εὐλαβῶς τὴν τοῦ ἱεροῦ σου λειψάνου, πάτερ, ἐπάνοδον, ὅσιε Χριστόδουλε, θεράπον ὄντως Χριστοῦ· σὺ δὲ ταύτην περίσωζε ἐκ παντοίων νόσων ταῖς πρὸς τὸν οἰκτίρμονα θερμαῖς πρεσβείαις σου, ὅπως κατὰ χρέος ὑμνοῦσα τὴν σεπτήν σου μνήμην, παμμάκαρ, θείας βοηθείας ἀντιλάβηται.

Δόξα, ἦχος β΄.

Τὴν τῶν ἀρετῶν κλίμακα, τὸν θεοφόρον πατέρα ἡμῶν Χριστόδουλον ἐγκωμίοις ἀξίως στεφανώσωμεν, ἐκ τῶν ὁσίων πάντων τὸ ἐγκαλλώπισμα, βοῶντες πρὸς αὐτόν: Χαίροις ἀγγέλοις συνόμιλε καὶ τοῖς ὁσίοις ὁμόσκηνε. Χαίροις τῶν ἀρετῶν ἡ ἀκρώρεια, τῶν πεινώντων ἡ αὐτάρκεια, καὶ τῶν νοσούντων ἡ ἴασις. Χαίροις τῶν θλιβομένων ἡ παραμυθία, τῶν πιπτόντων ἡ ἀνόρθωσις, καὶ τῶν ἱσταμένων τὸ ἑδραίωμα. Μὴ διαλίπῃς, παμμάκαρ, πρεσβεύων πρὸς Κύριον ὑπὲρ τῶν ἀνυμνούντων τὴν θείαν σου μνήμην καὶ σωτήριον.

Καὶ νῦν, Θεοτοκίον.

Ἀπολυτίκιον, Τοῖς τῶν δακρύων σου ὄμβροις·

καὶ ἀπόλυσις.

---

Εἰς τὸν ὄρθρον, τὰ καθίσματα.

Ζήτει ὄπισθεν ὅλα ἐν σελ. 10 καὶ ἐφ. Ἰδιόμελον,

Θεία χάρις ἐκκέχυται.

Εἶτα οἱ κανόνες τῆς Θεοτόκου μετὰ τῶν

εἱρμῶν εἰς ϛ΄, καὶ τοῦ ὁσίου ἀνὰ δ΄.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ ά, ἦχος β΄.

Ὁ εἱρμός.

«Ἄτριπτον, ἀσυνήθη, ἀβρόχως θαλαττίαν ἀνύσας τρίβον ὁ »ἐκλεκτὸς ἐβόα Ἰσραήλ: Τῷ Κυρίῳ ᾄσωμεν, ὅτι δεδόξασται».

Ἄϋλος πάλαι κλίμαξ, καὶ ξένως χερσωθεῖσα ὁδὸς θαλάσσης τὴν σὴν ἐδήλου γέννησιν, ἁγνή· ἣν ὑμνοῦμεν, Δέσποινα, ὅτι δεδόξασται.

Δύναμις τοῦ Ὑψίστου, ὑπόστασις τελείᾳ Θεοῦ σοφίᾳ σωματωθεῖσα, ἄχραντε, ἐκ σοῦ, τοῖς βροτοῖς ὡμίλησεν, ὅτι δεδόξασται.

Ὥδευσε διὰ πύλης ἀβάτου, κεκλεισμένης τῆς σῆς νηδύος,

δικαιοσύνης Ἥλιος, ἁγνή, καὶ τῷ κόσμῳ ἔλαμψεν, ὅτι δεδόξασται.

Ὁ κανὼν τοῦ ὁσίου. Ὠδὴ ά, ἦχος β΄.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

Ὡς τῆς θείας δόξης κοινωνὸς καὶ μακαριότητος σὺ γεγονώς, καὶ ταῖς ἄνω λαμπρότησι νῦν καταυγαζόμενος, τὸ ζοφῶδές μου τοῦ νοὸς διασκέδασον, ὅπως ἐπαξίως μέλψω σου, παμμάκαρ, τὸ μνημόσυνον.

Ἀπὸ βρέφους ὅλον σεαυτόν, πάτερ, ἀναθέμενος ταῖς θεϊκαῖς ἐντολαῖς, ἀπὸ βρέφους με κακίαις αὐξήσαντα, πρὸς μετάνοιαν καθοδήγησον δέομαι, ταῖς σαῖς ἱκεσίαις ἄφεσιν πταισμάτων πρυτανεύων μοι.

Τὴν ῥευστὴν τοῦ βίου καὶ φθαρτὴν δόξαν καὶ προσπάθειαν καταλιπὼν τῷ Χριστῷ ἠκολούθησας, καὶ ἀΰλως ἔζησας ὥσπερ ἄσαρκος, ὑλικοῖς με κρατούμενον πάθεσιν, εὐχαῖς σου λῦσον καὶ ἐλεύθερον ἀπέργασαι.

Θεοτοκίον.

Ἐξ αἰῶνος μόνην καθαρὰν σὲ τὴν ἀειπάρθενον ὁ καθαρὸς εὑρηκώς, παναμώμητε, σοῦ τὴν μήτραν ᾤκησε, τὸν πρωτόπλαστον ἀνορθῶσαι βουλόμενος, καὶ σῶσαι τὸν κόσμον διὰ τῆς αὐτοῦ συγκαταβάσεως.

Ἕτερος κανών. Ὠδὴ ά, ἦχος πλάγ. δ΄.

Ὑγρὰν διοδεύσας.

Θεώσεως, πάτερ, ἐπιτυχὼν τῆς πεποθημένης, καὶ τοῦ ξύλου

κατατρυφῶν τῆς ἀθανασίας ἀκωλύτως, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα δυςώπησον.

Πατρίδα καὶ δόξαν καὶ τοὺς γνωστούς, καὶ πᾶσαν τοῦ βίου μοχθηρίαν διαφυγών, Χριστῷ ἠκολούθησας, θεόφρον, τῶν ἀγαθῶν αὐτοῦ νῦν ἐμφορούμενος.

Οὐδέν σε τῶν κάτω καὶ χαμερπῶν καθείλκυσε, πάτερ, πρὸς τὰ ἄνω καὶ ὑψηλὰ τὸν νοῦν ἀπευθύνοντα καὶ μόνον ὁλοκαρδίως ζητοῦντα τὸν Κύριον.

Θεοτοκίον.

Ἡ Πύλη τῆς θείας Ἀνατολῆς ἄνοιξόν μοι πύλας μετανοίας, καὶ ἐκ πυλῶν κακίας ἀνθρώπων καὶ δαιμόνων, Θεογεννῆτορ πανάμωμε, ῥῦσαί με.

Ὠδὴ γ'. Ὁ εἱρμός.

«Τόξον συνετρίβη δυναστῶν τῷ κράτει σου, Χριστὲ, καὶ δύ-
» ναμιν ἀσθενεῖς σὲ περιεζώσαντο».

Ὁ χρόνου ἐπέκεινα παντὸς, ὡς χρόνων ποιητὴς, ἐκ σοῦ, Παρθένε, ἑκὼν βρέφος πεπλαστούργηται.

Νηδὺν πλατυτέραν οὐρανῶν ὑμνήσωμεν πιστοὶ, δι' ἧς Ἀδὰμ ἐν τοῖς οὐρανοῖς χαίρων πεπολίτευται.

Ἀρχὴν ὑπὸ χρόνων εἰληφὼς πιστεύεται ἐκ σοῦ ὁ χρόνων δημιουργὸς, Μῆτερ ἀειπάρθενε.

Ἄλλος. Ἐξήνθησεν ἡ ἔρημος.

Χορεύει ἑορτάζουσα Νικαέων ἅπασα πόλις τιμῶσά σου τὰ

σπάργανα, ὁ δὲ Ὄλυμπος ἐκθειάζει σε, ἀπαρχάς σου τῶν πόνων ἐκδρεπόμενος.

Στοργῆς γονέων, ὅσιε, καὶ μνηστῆς ἠλόγησας, καὶ χαμερποῦς ἁπάσης δὲ προςπαθείας τὸν νοῦν ἀπέστησας, τοῦ Θεοῦ τῇ ἀγάπῃ πυρπολούμενος.

Ὡραῖον ὡς νεόφυτον σὲ κομῶντα πράξεσι ταῖς ἐναρέτοις ἔρημος διατρέφει, καὶ πρὸς τὴν ἔνθεον ἐπανάγει, Χριστόδουλε, τελείωσιν.

Θεοτοκίον.

Ἰλύϊ ἐμπαγέντα με ἁμαρτίας, ἄχραντε, καὶ ἡδονῶν εἰς βάραθρον ἐμπεσόντα τῇ μεσιτείᾳ σου ἐξανάστησον, μόνη θεονύμφευτε.

Ἄλλος. Οὐρανίας ἁψῖδος.

Ἐκ νεότητος πάντα καταλιπών, ὅσιε, πλοῦτον, μνηστευθείσης συμβίου ἀγάπην καὶ συγγενῶν, τὸν σταυρὸν Χριστοῦ ἐπ᾽ ὤμων ἄρας μέχρι τέλους, χαίρων τούτῳ ἠκολούθησας, πάτερ Χριστόδουλε.

Σαρκικῶν φρονημάτων καὶ ἐμπαθοῦς σχέσεως, πάσης προςπαθείας, παμμάκαρ, τὸν νοῦν ἀπέστησας, ἐκ μετεώρων τε τὴν ματαιότητα πᾶσαν κατιδὼν ἐπόθησας μόνα τὰ μένοντα.

Δεδεμένος τῷ πόθῳ τοῦ ἐραστοῦ, ὅσιε, τὰς ἀνθισταμένας κινήσεις σαρκὸς τῷ πνεύματι ἐπέσχες ἄριστα, ἐν ἐγκρατείᾳ τὸ σῶμα καὶ ταῖς ἀγρυπνίαις τε πιέζων, ὅσιε.

Θεοτοκίον.

Ἐπὶ σὲ καταφεύγω διὰ παντός, Δέσποινα, πλήθει λογισμῶν καθ' ἑκάστην περικυκλούμενος· οἴκτειρον, σῶσόν με ἡ τὸν Σωτῆρα τεκοῦσα τοῦ παντὸς καὶ Κύριον, μόνη πανάμωμε.

Καθίσματα. Ἦχος πλάγ. δ'.

Τὴν σοφίαν καὶ λόγον.

**Ἐγκρατείας ἱδρῶσιν ἀσκητικοῖς κατασβέσας τὴν φλόγα τὴν τῶν παθῶν, τοῖς πᾶσιν ἀνέβλυσας τῶν θαυμάτων τὸ πέλαγος, καὶ ἐν αὐτῷ ὡς ἄλλος Μωσῆς κατεπόντισας τὰ τῆς πλάνης ἅρματα, δαιμόνων τὰς φάλαγγας. Ὅθεν συνελθόντες κατὰ χρέος τιμῶμεν τὴν πάνσεπτον μνήμην σου, θεοφόρε Χριστόδουλε· πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.**

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

**Λογισμοῖς ὀλισθαίνων τοῖς πονηροῖς εἰς βυθὸν κατηνέχθην ἁμαρτιῶν, καὶ στένων κραυγάζω σοι ἐκ καρδίας, πανάχραντε: Ἐν ἐμοὶ θαυμάστωσον τὸ πλούσιον ἔλεος, καὶ τῆς σῆς εὐσπλαγχνίας τὸ ἄπειρον πέλαγος, καὶ τῶν οἰκτιρμῶν σου τὸν ἀμέτρητον πλοῦτον, καὶ δός μοι μετάνοιαν καὶ πταισμάτων συγχώρησιν, ἵνα πόθῳ κραυγάζω σοι: Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.**

Ὠδὴ δ'. Ὁ εἱρμός.

« Ἀκήκοα, Κύριε, τὴν ἔνδοξόν σου οἰκονομίαν, καὶ ἐδόξασα, » φιλάνθρωπε, τὴν ἀκατάληπτόν σου δύναμιν».

Ἰδοὺ ὑπερύψωται τὸ θεῖον ὄρος οἴκῳ Κυρίου ὑπεράνω τῶν δυνάμεων, ἡ Θεομήτωρ ἐμφανέστατα.

Νομίμων τῆς φύσεως, παρθένε, ἄτερ μόνη τεκοῦσα τὸν δεσπόζοντα τῆς κτίσεως κατηξιώθης θείας κλήσεως,

Ἄλλος. Ὑ μ ν ῶ σ ε ἀ κ ο ή ν.

Τοὺς πόνους σου, τρισμάκαρ, ἔρημος μεγαλύνει, κροτεῖ καὶ Λάτρος· ταῖς ἀρεταῖς μέλπει δὲ ἡ Κῶς, καὶ Πάτμος ἐγκαυχᾶται καὶ σὲ ὡς κατέχουσα λαμπρύνεται τὸν οἰκιστήν τε ταύτης καὶ δομήτορα.

Τὴν Πάτμον ἐξαιτήσας εἴληφας ἀπελεύθερον ἐξ ἀνθρώπων, βασιλικῷ χαρίσματι· καὶ ταύτην νῦν καταφαιδρύνων χοροῖς μοναστῶν, ἐστενοχώρησας Χριστῷ λατρεύειν, ὅσιε Χριστόδουλε.

Ῥεούσαις μὴ λιπάνας, ὅσιε, τὸ σαρκίον τροφαῖς, ἀλλ' ὅλον ἐφύλαξας ἄσπιλον, τρυφῶν ταῖς θείας θεωρίαις. Διὸ καὶ ἀλώβητον τηρεῖταί σου καὶ μετὰ πότμον, πάτερ, ἀνακείμενον.

Θεοτοκίον.

Πολλαῖς με νεκρωθέντα, πάναγνε, ἁμαρτίαις καὶ ἀσθενοῦντα ἐπίσκεψαι δέομαι καὶ ζώωσον, θεοκυῆτορ, νεκροῖς τὴν ζωὴν ἡ προξενήσασα τῷ τοκετῷ σου, Μῆτερ ἀειπάρθενε.

Ἄλλος. Ε ἰ σ α κ ή κ ο α Κ ύ ρ ι ε.

Ὕπνον, πάτερ, οὐκ ἔδωκας τοῖς σοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις σου νυσταγμὸν, ἕως κατέπαυσας ἐν θαλάμοις θείοις τοῦ Κυρίου σου.

Λογισμῶν τὴν διάκρισιν, πάτερ, ἐπιστήσας καθάπερ δέσποιναν, τοὺς αἰσχίστους ἀπεδίωκες, δι᾽ αὐτῆς τοὺς θείους ἀσπαζόμενος.

Οἶκος ὤφθης τοῦ Πνεύματος διὰ πολιτείας ἀρίστης, ὅσιε, ἐγκρατείᾳ ταπεινούμενος καὶ ἀγάπῃ, πάτερ, ἀνυψούμενος.

Θεοτοκίον.

Ὑπὸ πλήθους πταισμάτων μου πλήθη πειρασμῶν με περιεκύκλωσαν· σοῦ τὸ ἔλεος κυκλώσοι με τῆς τεκούσης Λόγον τὸν φιλάνθρωπον.

Ὠδὴ ε΄. Ὁ εἱρμός.

«Ὁ ἄνθραξ τῷ Ἡσαΐᾳ προοφθεὶς Ἥλιος, παρθενικῆς ἀπὸ » γαστρὸς ἀνέτειλε, τοῖς ἐν σκότει πεπλανημένοις θεογνωσίας » φωτισμὸν δωρούμενος».

Χαράν σοι, τὸ προπατόρων σκυθρωπὸν λύουσαν ὁ Γαβριὴλ ὁ ἱερὸς ἀρχάγγελος οὐρανόθεν καταφοιτήσας εὐηγγελίζετο, σεμνὴ Θεόνυμφε.

Νεφέλαι, τῆς εὐφροσύνης γλυκασμὸν ῥάνατε τοῖς ἐπὶ γῆς, ὅτι παιδίον δέδοται ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, ἐκ τῆς Παρθένου σαρκωθεὶς Θεὸς ἡμῶν.

Τῷ βίῳ καὶ τῷ σαρκίῳ μου τὸ φῶς ἔλαμψε, καὶ τὸ στυγνὸν τῆς ἁμαρτίας ἔλυσεν, ἐπ᾽ ἐσχάτων ἐκ τῆς Παρθένου ἄνευ σπορᾶς σωματωθεὶς ὁ Ὕψιστος.

Ἄλλος. Τῆς νυκτὸς διελθούσης.

Τὴν ἁγίαν σου μνήμην ἐκτελοῦντά με πόθῳ, πάτερ θεορρή-

μον Χριστόδουλε, μὴ χωρίσῃς σῆς μάνδρας, μηδὲ παραβλέψῃς, ὅπως μὴ λυκόβρωτος γένωμαι.

Τῶν παθῶν τὰς ἀτάκτους ὁρμάς, θεοφόρε, τῆς ψυχῆς μου στῆσον πρεσβείας σου· καὶ γὰρ βλέπεις τὴν θλίψιν, βλέπεις καὶ τὸν πόνον, τὴν ταλαιπωρίαν καὶ κάκωσιν.

Τῆς ψυχῆς μου τὸν ζόφον τὸν ἐξ ἁμαρτίας λάμπρυνον λιταῖς σου, μακάριε, καὶ τραυμάτων τὸ ἄλγος καὶ τῆς ἀσθενείας κούφισον καὶ σῶσόν με, δέομαι.

Θεοτοκίον.

Παναμώμητε Μῆτερ τοῦ εὐλογημένου, τῆς εὐλογημένης μεταστάσεως τοῦ Υἱοῦ σου δυςώπει καταξιωθῆναι, ὡς εὐλογημένη καὶ ἄσπιλος.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Ἐν τῷ ὄρει τοῦ Λάτρου πρώην ἐν στενότητι, πάτερ, κατῴκησας, ἐν λιμῷ καὶ δίψει, ἀγρυπνίας τε ψύχει καὶ γυμνότητι, καὶ σὺν τοῖς ὁσίοις ἐν οὐρανοῖς αὐλίζῃ χαίρων νῦν πλατεῖαν, Χριστόδουλε ὅσιε.

Νουνεχῶς, θεοφόρε, ἔλαθες τὸν κόσμον τῇ ξένῃ βιώσει σου, καὶ ἀλήτης ὥςπερ, χώραν χώρας ἀμείβων διέτρεχες, τὰς παγίδας φεύγων τοῦ ἀπ᾿ ἀρχῆς ἀνθρωποκτόνου, ἕως εὗρες τὴν πόλιν τὴν μένουσαν.

Ἡ σορὸς ἔνθα κεῖται τὸ καρτερικώτατον σῶμά σου, ὅσιε, ὥςπερ κρήνη πᾶσιν ἀναβλύζει τὰ θεῖα χαρίσματα, τοῖς προς-

ερχομένοις, παύουσα πᾶσαν μαλακίαν καὶ ψυχῶν καὶ σωμάτων, Χριστόδουλε.

Θεοτοκίον.

Παναγία παρθένε, Λόγον τὸν πανάγιον ἀποκυήσασα, τὴν ψυχήν μου πᾶσαν σπιλωθεῖσαν κακίᾳ καθάρισον, καὶ εὐόδωσόν μου τὸν λογισμὸν τὰ θεῖα πράττειν, ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

Ὠδὴ ϛ'. Ὁ εἱρμός.

«Ἤχους ῥημάτων δεήσεως ἐκ κατωδύνου, Δέσποτα, ψυχῆς
» ἐπακούσας τῶν δεινῶν με λύτρωσαι· μόνος γὰρ εἶ τῆς ἡμῶν
» σωτηρίας αἴτιος».

Ὤμοσεν ὥσπερ ὁ Κύριος ἐν ἀληθείᾳ πάλαι τῷ Δαυὶδ, ἐκ γαστρός σου προελθὼν πεπλήρωκε· τέτοκας γὰρ τὸν τῆς γῆς, Κόρη, βασιλεύοντα.

Φύσις ἀνθρώπων δουλεύουσα τῇ ἁμαρτίᾳ, Δέσποινα ἁγνὴ, διὰ σοῦ ἐλευθερίας ἔτυχε· σὸς γὰρ Υἱὸς ὡς ἀμνὸς ὑπὲρ πάντων τέθυται.

Ἐπιβοώμεθα πάντες σε τὴν ἀληθῆ Μητέρα τοῦ Θεοῦ : Παροργίσαντας οἰκέτας λύτρωσαι· μόνη γὰρ πρὸς τὸν Υἱὸν παῤῥησίαν κέκτησαι.

Ἄλλος. Ἐν ἀβύσσῳ πταισμάτων.

Τῆς σαρκὸς τῇ ἀσκήσει κατέβαλες τὰς ἐπαναστάσεις ἐμφρόνως, Χριστόδουλε· ἐκ γὰρ κριθῆς καὶ ὕδατος ἡ τροφὴ διὰ βίου σοι γέγονεν.

Σοῖς βλεφάροις οὐκ ἔδωκας, ὅσιε, νυσταγμὸν οὐδόλως καὶ ὕπνον τοῖς ὄμμασιν, ἕως αὐτὸ τὸ ἔσχατον τῶν καλῶν ἐκληρώσω, μακάριε.

Ἐναργῶς προφητεύων ἐδήλωσας, τοῦ ὀλιγοπίστου ἐλέγχων τὴν ἄνοιαν· ἰδοὺ γὰρ καὶ παράδεισος ἐν ἀνίκμῳ πυκάζει τοῖς ἄνθεσι.

Θεοτοκίον.

Λαλιαῖς με δολίαις ὁ δόλιος ὑποκλέψας, πάναγνε, πόῤῥω ἐμάκρυνε τοῦ σοῦ Υἱοῦ· ἀλλ' ἔγγισον, καὶ τῷ βήματι τούτου παράστησον.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Ὁδοιπορίαις μακραῖς καὶ πόνοις τε καὶ ἀσκήσεσιν, ἐν ἀγρυπνίαις ἀεί, νηστείαις, δεήσεσιν, ἐτροπώσω μέγιστα τῶν παθῶν ἀτάκτους τὰς ὁρμάς, πάτερ Χριστόδουλε.

Οὐκ ἔσεισε τῆς ψυχῆς, Χριστόδουλε, τὴν οἰκίαν σου προσρήξας ὁ δυσμενὴς πειρασμῶν τοῖς κύμασι· τῇ πέτρᾳ γὰρ ἵδρυτο τῶν σεπτῶν καὶ θείων τοῦ Σωτῆρος διατάξεων.

Ἰδών σου τὸ καθαρὸν τοῦ βίου καὶ τὴν ταπείνωσιν, ὑπομονῆς τὸ στεῤῥὸν καὶ νοὸς τὸ ἄτυφον, ὁ βλέπων τὰ κρύφια, μετὰ τέλος, πάτερ, ἐδόξασέ σε Χριστόδουλε.

Θεοτοκίον.

Ὑμνοῦμέν σε οἱ πιστοί, θεοχαρίτωτε Δέσποινα· τὸν ὑπερύμνητον γὰρ Λόγον ἀπεκύησας, ὃν δυσώπει, πάναγνε, ποίμνην καὶ λαόν σου ἐν εἰρήνῃ διασώζεσθαι.

Κοντάκιον. Ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

**Τοῦ τιμίου σκήνους σου τῇ ἐπανόδῳ, ἱερὲ Χριστόδουλε, ἡ θεία ποίμνη σου πιστῶς ἀγαλλομένη κραυγάζει σοι: Ἦλθες ἐφάνης ὁ φύλαξ καὶ ῥύστης μου.**

Ὁ οἶκος.

**Πεφυτευμένος ἐν αὐλαῖς, παμμάκαρ, τοῦ Κυρίου ἐξήνθησας τοῖς πᾶσι τὴν χάριν τῶν θαυμάτων, τοῖς προςπελάζουσι πιστῶς σου τῇ θείᾳ θήκῃ, καὶ ἐκ ταύτης δαψιλῶς λαμβάνουσιν ἰάματα. Διὸ κἀμοῦ τὴν νόσον αἰτοῦντός σε παῦσον, καὶ τὸν πόνον ἀπόδιωξον εὐχαῖς σου. Καὶ ποίμνην δὲ σήν, ἐξ ἐναντίων καὶ πάντων δυςχερῶν ἀπήμονα ταύτην διαφύλαττε λιταῖς ταῖς πρὸς τὸ θεῖον· σὲ γὰρ εὐσεβῶς ὑμνοῦσα ἀνακραυγάζει: Ἦλθες ἐφάνης ὁ φύλαξ καὶ ῥύστης μου.**

Ὠδὴ ζ΄. Ὁ εἱρμός.

«Ῥήτορες ἀνεδείχθησαν παῖδες φιλοσοφώτατοι ποτέ· ἐκ θεο-
» λήπτου ψυχῆς γὰρ θεολογοῦντες χείλεσιν ἔμελπον: Ὁ ὑπέρ-
» θεος τῶν πατέρων καὶ ἡμῶν Θεὸς εὐλογηνὸς εἶ».

Ἑώρα ἐν νυκτὶ Ἰακὼβ μὲν ὡς ἐν αἰνίγματι Θεὸν σεσαρκωμένον· ἐκ σοῦ δὲ ἐν φρυκτωρίᾳ ὤφθη τοῖς μέλπουσιν: Ὁ ὑπέρθεος τῶν πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Σύμβολα τῆς ἐν σοὶ ἀποῤῥήτου προκαταγγέλλων συμπλοκῆς

τῷ Ἰακὼϐ προςπαλαίει· δι᾽ ἧς ἑκὼν ἡνώθη ἀνθρώποις, ἁγνή, ὁ ὑπέρθεος τῶν πατέρων καὶ ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Βέϐηλος ὁ μὴ ἕνα κηρύττων τὸν τῆς παρθένου σε Υἱὸν τῆς πανυμνήτου Τριάδος, καὶ ἀδιστάκτῳ γνώμῃ καὶ γλώσσῃ βοῶν: Ὁ ὑπέρθεος τῶν πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Ἀντίθεον πρόςταγμα.

Εἰς λίμνας ἡ ἄνικμος νῦν καθορᾶται, ἡ ἔρημος αὖθις δὲ ἀειθαλὴς παράδεισος τῇ ἀψευδεστάτῃ σου προῤῥήσει, ὅσιε. Ὅθεν καὶ κραυγάζομεν Χριστῷ: Εὐλογημένος εἶ καὶ ὑπερένδοξος.

Δανείσας τὸν σῖτόν σου Θεῷ, τρισμάκαρ, βαρϐάρων τὴν ἔφοδον ἐκφεύγων πρὸς τὴν Εὔϐοιαν μετέϐης καὶ ἔψαλλες: Εὐλογητὸς ὁ Θεὸς ὁ σώζων τοὺς ἐλπίζοντας εἰς σέ καὶ διατρέφων τοὺς σὲ δοξάζοντας.

Βαρϐάρων τὴν μέλλουσαν προδιαγγέλλων ὁρμὴν, ἐξαπέστειλας τοὺς μαθητὰς καὶ ἔλεγες: Τῇ Πάτμῳ οἰκήσατε. Ἐγγίζουσάν σου λοιπὸν ὡς ϐλέπων τὴν μετάθεσιν ἐκ γῆς, νῦν μεταϐαίνεις πρὸς τὰ οὐράνια.

Θεοτοκίον.

Παθῶν μου τὰ κύματα, Θεογεννῆτορ, τὸ σκάφος βυθίζουσι τῆς ψυχῆς· ἀλλ᾽ ὡς τέξασα κυϐερνήτην Κύριον, πρὸς ἀπαθείας με λιμένα καθόρμισον, ἁγνὴ, καὶ σωτηρίας τρίϐους ὑπόδειξον.

Ἄλλος. Παῖδες Ἑϐραίων ἐν καμίνῳ.

Πλοῦτον φθειρόμενον μισήσας, τοὺς πτωχοὺς δὲ ἀγαπήσας,

θεοφόρε, καὶ διαρκέσας τούτοις μέχρι τέλους, ἐβόας : Εὐλογητὸς εἶ Κύριος ὁ Θεὸς ὁ τῶν πατέρων.

Μέλλων τὸ στάδιον, τρισμάκαρ ὑπεξέρχεσθαι Χριστόδουλε, τοῦ βίου, ἐν τῇ ξένῃ σὺ, πάτερ, παρῴκησας ὡς ξένος, καὶ ξενιτεύων ἔμελπες : Ὁ Θεὸς εὐλογητὸς εἶ.

Τέμενος θείου Θεολόγου ὑπεδέξατο σορόν σου τῶν λειψάνων. Σὺν αὐτῷ καὶ νῦν, πάτερ ἱκέτευε Κυρίῳ ὑπὲρ ἡμῶν Χριστόδουλε, τῶν τιμώντων σου τὴν μνήμην.

Θεοτοκίον.

Τόπος, Παρθένε, ἀνεδείχθης ἁγιάσματος, ἐν ᾧ Χριστὸς ἐφάνη ἁγιάζων ἡμᾶς τοὺς πίστει μελῳδοῦντας: Εὐλογημένος, πάναγνε, ὁ καρπὸς τῆς σῆς καιλίας.

Ὠδὴ η΄. Ὁ εἱρμός.

« Ἰνδάλματα χρυσοῦ καταπτύσαντες τρισόλβιοι νεανίαι, τὴν » ἀπαράλλακτον καὶ ζῶσαν Θεοῦ εἰκόνα τεθεαμένοι, μέσον τοῦ » πυρὸς ἀνέμελπον. Ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα » κτίσις καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας ».

Εὐθύτης ἡ τὸ πᾶν διευθύνουσα ἠγάπησεν ἐπαξίως σὲ τὴν πανάχραντον παρθένον καὶ Θεοτόκον, ἀνερμηνεύτως, πάναγνε, ἐν σοὶ σκηνώσασα· ἣν ὑμνολογοῦμεν : Ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠράθη ἐπὶ γῆς διὰ σοῦ καὶ τοῖς ἀνθρώποις συνανεστράφη ὁ ἀγαθότητι ἀσύγκριτος καὶ δυνάμει· ᾧ μελῳδοῦμεν πάντες οἱ πιστοὶ κραυγάζοντες : Ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Κυρίως σε ἁγνὴν καταγγέλλοντες δοξάζομεν, Θεοτόκε· σὺ γὰρ τὸν ἕνα ἀπεκύησας τῆς Τριάδος σεσαρκωμένον, ὃν σὺν τῷ Πατρὶ καὶ Πνεύματι πάντες μελῳδοῦμεν: Ὑμνεῖτε τὸν Κύριον πᾶσα κτίσις καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Νέον παράδεισον, σοφέ, καὶ λειμῶνα νοητὸν τὴν σὴν καρδίαν, ἀρετῶν ποικιλίᾳ ἐκ διαφόρων φυτῶν εἰργάσω νουνεχῶς, Χριστόδουλε, εὑρηκὼς τὸ κλέος, καὶ ζῇς εἰς τοὺς αἰῶνας.

Σύντροφον ἔχων ἀπ᾽ ἀρχῆς τὴν νηστείαν, ἱερῶν ἡμέρας, πάτερ, νηστειῶν σου τὸ πνεῦμα εἰς χεῖρας ὄντως Θεοῦ παρέθου, καὶ τῆς τῶν πραέων νῦν γῆς ἐπαπολαύεις καὶ ζῇς εἰς τοὺς αἰῶνας.

Πάτμος σε πάλιν καθορᾷ ἐν αὐτῇ νεκροπρεπῶς εἰςοικισθέντα ἐξ Εὐβοίας, καὶ κόλποις τὴν ἱεράν σου σορὸν τοῦ σκήνους κατέχουσα κράζει σοι: Σὺ ὁ πολιστής μου καὶ φύλαξ καὶ προστάτης.

Θεοτοκίον.

Ἐξασθενήσασαν δεινῶς τὴν ἀθλίαν μου ψυχήν, Θεογεννῆτορ, ἐξανάστησον μόνη ταῖς ῥωστικαῖς σου λιταῖς, καὶ ὅλον ὑγιῆ ἀπέργασαι, ἵνα σε δοξάζω τὴν κεχαριτωμένην.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Πολυειδέσιν, ὅσιε, τὸ σαρκίον ἐπίεσας πόνοις τῇ μακρᾷ καὶ θαυμαστῇ ἀσκήσει σου, ἐν ὄρει τραχεῖ τε καὶ χαμευνίας κόπῳ πολλῷ, πείνῃ τε καὶ δίψει καὶ γυμνότητι, πάτερ, καὶ κλίσεσι γονάτων ἐν εὐχῆς συντονίᾳ. Διό σε ἡ ἐκεῖσε ἀνάπαυσις εὐφραίνει.

Ὡς τοῦ Κυρίου φίλον σε διὰ βίου γενόμενον καὶ οἰκειωθέντα ἀρεταῖς τῷ κτίσαντι, παμμάκαρ Χριστόδουλε, ὁ τοῦ Σωτῆρος φίλος πιστὸς, ὁ ἠγαπημένος μαθητὴς Ἰωάννης, τῷ αὐτοῦ σε ξενίζει παναγίῳ τεμένει, τῶν τῇδε μεταστάντα καὶ κοινωνὸν λαμβάνει.

Πίστεως ὅπλοις, ὅσιε, καὶ ἀγάπης φραξάμενος, καὶ ἐπὶ Θεὸν πᾶσαν ἐλπίδα θέμενος, ἀνάλωτος ἔμεινας ταῖς μηχαναῖς τοῦ δράκοντος· πᾶσαν γὰρ κινήσας κατὰ σοῦ μεθοδείαν ᾐσχύνθη διὰ πάσης. Διὰ τοῦτο στεφάνῳ τῷ τῆς δικαιοσύνης ὡς νικητὴς ἐστέφθης.

Θεοτοκίον.

Ἀπὸ παθῶν καὶ θλίψεων, ἀπὸ πάσης στενώσεως, Μῆτερ τοῦ Θεοῦ, τοὺς σὲ ὑμνοῦντας λύτρωσαι· ἐν σοὶ γὰρ προστρέχομεν, καὶ διὰ σοῦ ἐλπίζομεν καὶ τῆς ἐν γεέννῃ καταδίκης ῥυσθῆναι οἱ πίστει μελῳδοῦντες τῷ ἐκ σοῦ σαρκωθέντι : Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ εἱρμός.

«Ὅλως ὑπάρχεις ἔφεσις, ὅλως γλυκασμὸς, Λόγε Θεοῦ, παρ-
» θένε Υἱὲ, Θεὲ θεῶν Κύριε, ἁγίων ὑπεράγιε. Διό σε ἅπαντες
» σὺν τῇ τεκούσῃ μεγαλύνομεν».

Νενοηκώς σου, πάναγνε, τὸ φωτοειδὲς, συμβολικῶς ὁ θεῖος Γαβριὴλ χαράν σοι ἐβόησεν, ὁ μέγας ἀρχιστράτηγος. Διό σε ἅπαντες ὡς Θεοτόκον σὲ μεγαλύνομεν.

Ῥάβδος ἰσχύος δέδοται φύσει τῇ σαθρᾷ Λόγος Θεοῦ ἐν μήτρᾳ σου, ἁγνὴ, καὶ ταύτην ἀνέστησε πρὸς ᾅδην ὀλισθήσασαν. Διό σε ἅπαντες ὡς εὐεργέτιν μεγαλύνομεν.

Ἣν ᾑρετίσω, Δέσποτα, δέξαι συμπαθῶς πρέσβυν, μητέρα σὴν ὑπὲρ ἡμῶν, καὶ σοῦ τῆς χρηστότητος τὰ σύμπαντα πλησθήσονται. Διό σε ἅπαντες ὡς εὐεργέτην μεγαλύνομεν.

Ἄλλος. Ἀνάρχου Γεννήτορος.

Ἀλώβητον μένει σου καὶ μετὰ τέλος, ὅσιε, τὸ σαρκίον τοῖς θαύμασιν ἐγκοσμούμενον· ἄπλους καὶ γὰρ ὤφθη ὁλκὰς ἡ ποντοπόρος, τοῦ τὸ βραχὺ μέρος ἐκτεμόντος· ὃς τοῦτο, τρισόλβιε, ὑποστρέψας ἀπολύεται.

Ἐπίβλεψον, ἅγιε, ἐξ οὐρανοῦ τοῖς τέκνοις σου, καὶ χειρὸς τῶν ἀδίκως ἐπεμβαινόντων ἡμῖν ῥῦσαι, καὶ ποίμνην σου φύλαττε, χορηγῶν ἡμῖν τὴν ὑγείαν, καὶ βίου διόρθωσιν, καὶ πταισμάτων ἀπολύτρωσιν.

Τῆς ἰδιωτείας μου ὡς παρ' ἀξίαν ὄντα σοι μὴ ἀπώσῃ τὸν ὕμνον, ἀλλὰ προαίρεσιν μόνην εἰσδεχόμενος, πάτερ, τῶν ἁμαρτιῶν παράσχου τὴν λύσιν, καὶ τῶν σωζομένων με κοινωνὸν εὐχαῖς σου ποίησον.

Θεοτοκίον.

Ὡς μόνη ὑπάρχουσα προστάτης ἀκαταίσχυντος, τὸν ἐκ σοῦ σαρκωθέντα Θεὸν ἱκέτευε λύσιν μοι δοθῆναι πταισμάτων, καὶ τῆς δεινῆς ταύτης ἀθυμίας ταχεῖαν παράκλησιν, Θεοτόκε ἀειπάρθενε.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Τὸν δρόμον ἐκτελέσας ἀσκητικῶς, καὶ τὸν νόμον τηρήσας ἀνόθευτον τὸν τοῦ Χριστοῦ, πρὸς τὴν νῆσον Πάτμον παλινο-

στεῖς μετὰ τὸ τέλος, ὅσιε, καὶ ἐν τῷ τεμένει κατατεθεὶς τοῦ θείου Θεολόγου, τοὺς καὶ νῦν ἐκτελοῦντας σὴν μνήμην θείαν, πάτερ, φύλαττε.

Ἐν κύκλῳ παρεστῶτές σου τῆς σοροῦ, πανσεβάσμιε πάτερ Χριστόδουλε, καὶ τὴν σεμνὴν ἀναλογιζόμενοι βιοτήν, καὶ τὴν πολλὴν ταπείνωσιν, καὶ τὰς ἀγρυπνίας καὶ προσευχάς, ἐγκράτειαν, ἀγάπην, πληρούμεθα δακρύων καὶ σὲ σὺν πόθῳ μακαρίζομεν.

Σὺν πᾶσι τοῖς ἁγίοις, πάτερ σοφέ, ἀποστόλοις, ὁσίοις, καὶ μάρτυσι καὶ τοῖς χοροῖς τῶν θείων ἀγγέλων, καὶ μαθητοῦ παρθένου Θεολόγου τε, πάντοτε ἱκέτευε τὸν Χριστὸν λυτρώσασθαι τοὺς πίστει, ἐπιδρομῆς βαρβάρων, ἐν τῇ σῇ ποίμνῃ καταμένοντας.

Ῥαθύμως διανύων μου τὴν ζωήν, τοῦ Υἱοῦ σου, ἁγνή, τὸ κριτήριον τὸ φοβερὸν δέδοικα ὁ ἄθλιος ἐννοῶν. Διό με ἀκατάκριτον τήρησον πρεσβείαις σου μητρικαῖς, ἁγία Θεοτόκε, ἐλπὶς ἀπηλπισμένων, ἁμαρτανόντων ἱλαστήριον.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

Τῶν μαθητῶν ὁρώντων σε.

**Ἀστὴρ ἐφάνης ἄδυτος ἐν τῷ Λάτρῳ, τῶν ἀσκητῶν τὰ πλήθη καταλαμπρύνων· ποίμνην δὲ τὴν Πάτμον ἐργασάμενος, Χριστόδουλε θεσπέσιε, καθοδηγῶν ἐκδιδάσκεις ἰσάγγελον πολιτείαν.**

Ἕτερον.

**Τὸν ἐν τῷ Λάτρῳ λάμψαντα ἀρχηγέτην καὶ πάντας καταυγάσαντα θεαρέστως, Χριστόδουλον τὸν θεῖον εὐ-**

φημήσωμεν· ἀσκητικὰ γὰρ ἔπαθλα ὑπέδειξε, καὶ μοναζόντων ἀγέλας ἐπλήθυνεν ἐν τῇ Πάτμῳ.

Θεοτοκίον.

Τιμιωτέρα πάντων τῶν ποιημάτων ὑπάρχεις, Θεοτόκε, Χριστὸν τεκοῦσα. Τοῦτον οὖν ἱκέτευε φυλάττεσθαι τὴν οἰκτρὰν ταύτην ποίμνην σου ἀλώβητον ἐκ παντοίας ἐπιβουλῆς ἐναντίας.

Εἰς τοὺς αἴνους στιχ. προσόμοια.

Ἦχος πλάγ. δ'.

Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ θεόφρον Χριστόδουλε, δι' ἐγκρατείας πολλῆς καὶ συντόνου δεήσεως τῷ Χριστῷ ἑνούμενος, ἀπερίτρεπτος ἔμεινας ταῖς μεθοδείαις τοῦ πολεμήτορος, καὶ φίλος ὤφθης τοῦ Παντοκράτορος. Ὅθεν τιμῶμέν σε, καὶ τὴν θείαν μνήμην σου περιχαρῶς πίστει ἑορτάζομεν, θεομακάριστε.

Δίς.

Ὅσιε πάτερ Χριστόδουλε, ἐν ἐρημίαις ἀεὶ καὶ σπηλαίοις καὶ ὄρεσι πίστει διαιτώμενος τὸν Θεὸν ἐξεζήτησας, καὶ τοῦτον εὗρες ὥςπερ ἐπόθησας, ἀνεπιστρόφῳ ψυχῇ νευρούμενος, ταῖς ἀναβάσεσι ταῖς καλαῖς ἑκάστοτε, καὶ μοναστῶν στίφη προςενήνοχας Χριστῷ σωζόμενα.

Σὺ καθυπείκων τοῖς νεύμασι τοῦ παντεπόπτου Θεοῦ, παρ' αὐτοῦ χάριν ἔλαβες ἐνεργεῖν τεράστια, καὶ διώ-

**κειν τὰ πνεύματα τῆς πονηρίας τῶν προςιόντων σοι ἐν τῇ σορῷ σου, θεομακάριστε. Ὅθεν τιμῶμέν σε καὶ τὴν θείαν μνήμην σου χρεωστικῶς πίστει ἑορτάζομεν, πάτερ θεόσοφε.**

Δόξα ἦχος πλάγ. δ΄.

**Οὐρανοδρόμῳ ἐπιβὰς ὀχήματι, θεσπέσιε, τῶν ἀρετῶν κατέλαβες τὴν ἀκρόπολιν δι' ἀσκήσεως, ἐκ τῆς ἐρήμου πολεύων τῆς ἄνω Ἱερουσαλὴμ τὰ ὑπερκόσμια, καὶ τῶν ἐκ πόνων ἀγώνων ἀξίως τὰ γέρα κομισάμενος ταῖς οὐρανίαις συναγάλλῃ ταξιαρχίαις, παμμακάριστε, τῶν αἰωνίων ἀγαθῶν κληρονόμος καὶ τῆς βασιλείας οἰκήτωρ γενόμενος. Ἀλλὰ πρέσβευε, θεοφόρε Χριστόδουλε, τῷ Σωτῆρι τῶν ὅλων εἰρηνεῦσαι τὸν κόσμον καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.**

Καὶ νῦν. Δέσποινα πρόςδεξαι.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

---

Εἰς τὴν λειτουργίαν Τυπικά, καὶ
ἐκ τοῦ Κανόνος τοῦ ἁγίου ᾠδὴ γ΄ καὶ ς΄.

Καὶ ὁ Ἀπόστολος.

Προκείμενον ἦχος βαρύς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Πρὸς Γαλάτας ἐπιστολῆς Παύλου.

**Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματος ἐστὶν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι**

νόμος. Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις· εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος· σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Τὸ Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς : Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς· καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Κοινωνικόν, Εἰς μνημόσυνον.

Μεγαλυνάριον.

Χριστόδουλε πάτερ τῶν ἀσκητῶν, καὶ Πάτμου τὸ κλέος φοιτητῶν τε πάντων, στεῤῥῶς βαρβάρων τὰ θράση κατάβαλε λιταῖς σου, προφθάσας τὴν σὴν ποίμνην, μάκαρ, περίσωζε.

---

## ΤΡΟΠΑΡΙΑ ΟΚΤΩΗΧΑ ΨΑΛΛΟΜΕΝΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣΚΥΝΗΣΙΝ ΤΟΥ ΤΙΜΙΟΥ ΛΕΙΨΑΝΟΥ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ.

Ἦχος α΄.

Πανεύφημοι μάρτυρες ὑμᾶς.

**Παμμάκαρ Χριστόδουλε, σαυτὸν ὅλον ἀναθέμενος τῷ ποιητῇ καὶ δεσπότῃ σου, ζωῆς ἠλόγησας τῆς προσκαίρου ταύτης καὶ τρυφὴν διέπτυσας, καὶ πᾶσαν ἄλλην βίου τερπνότητα· Χριστῷ συνεῖναι γὰρ ὡς ἐχέφρων προαιρούμενος, τῶν ἐνθάδε τερπνῶν κατεφρόνησας.**

Δόξα.

**Γονέων οὐδόλως σε στοργὴ ἔθελξε, μακάριε, οὐ συγγενῶν, οὐ συζύγου τε Θεοῦ ἐχώρισεν ὄντως, ἀλλὰ πάντα νουνεχῶς ἀπέῤῥιψας, καὶ τούτῳ ἠκολούθησας, ὅστε· ὃν καθικέτευε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.**

Καὶ νῦν.

**Θεὸν, ὃν ἠγάπησας θερμῶς, μάκαρ, ἐκ καρδίας σου, ἀδιαλείπτως ἱκέτευε ῥυσθῆναι ἅπαντας τοὺς ἀναθεμένους ἑαυτοὺς τῇ ποίμνῃ σου, καὶ ταύτῃ μέχρι τέλους προσμένοντας, πυρὸς γεέννης τε καὶ βαρβάρων τῆς ἁλώσεως, καὶ τῆς πλάνης τοῦ δολίου δράκοντος.**

Ἕτερα ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.

**Πάντα παριδὼν ὡς νουνεχὴς, γένος, περιφάνειαν, πλοῦτον, καὶ τῆς συζύγου στοργὴν, κόσμου τε τερπνότητα ἀπαρνησάμενος, καὶ σταυρὸν ἐπὶ ὤμων σου ἀράμενος, μάκαρ, τρέχων ἠκολούθησας Χριστῷ, Χριστόδουλε· τοῦτον ἱκετεύων μὴ παύσῃ, λύσιν δωρηθῆναι πταισμάτων τοῖς πιστῶς ὑμνοῦσί σου τὴν κοίμησιν (ἢ τὴν ἐπάνοδον).**

Δόξα.

**Φάλαγξ τῶν δαιμόνων ἡ τὸ πρὶν Πάτμον κατοικοῦσα, ὡς σ' εἶδεν ἐπιδημήσαντα, αἴφνης φυγαδεύεται, καὶ ὁ προστάτης αὐτῆς Φαραὼ ὥςπερ δεύτερος βυθῷ τῆς θαλάττης, μάκαρ, παραπέμπεται εὐχῇ καὶ μόνῃ σου. Ὅθεν μοναζόντων τὸ στῖφος νῦν περιχορεῦον ἐν ταύτῃ, διὰ σοῦ γεραίρει τὸν φιλάνθρωπον,**

Καὶ νῦν.

**Οἶκον ἀπειργάσω τοῦ Θεοῦ, σπήλαιον δαιμόνων τὴν οὖσαν τὸ πρὶν, Χριστόδουλε, Πάτμον, καὶ ἀνήγειρας ναὸν σεπτὸν καὶ φαιδρόν, μοναστῶν τε συνήθροισας ἀγέλας ἐν ταύτῃ ὕμνους ἀναπέμποντας ἀεὶ τῷ πάντων Θεῷ· ἥνπερ ποδηγῶν μὴ ἐλλείπῃς καὶ πρὸς βασιλείαν εἰςάγων τὴν τῶν οὐρανῶν, ἀειμακάριστε.**

Ἕτερα ἦχος γ΄. Μεγάλη τῶν μαρτύρων σου.

**Τῷ λόγῳ νῦν ἀμέσως μάκαρ παριστάμενος, Χριστό-**

δουλε θεόφρον, μὴ παύσῃ ἱκετεύων λυτρωθῆναι τοὺς τιμῶντάς σε κινδύνων καὶ ἐχθρῶν ἐπηρείας, καὶ περιστάσεως καὶ κολάσεως πάσης.

Δόξα.

**Ἡ Πάτμος** πολιοῦχον, πάτερ, κεκτημένη σε καὶ φύλακα καὶ σκέπην, φαιδρύνεται καὶ χαίρει σὺν τοῖς τέκνοις σου βοῶσα: **Μὴ** παρίδῃς ἐποπτεύων ἀφ' ὕψους καὶ ἐκλυτρούμενος τῆς κακίας τοῦ πλάνου.

Καὶ νῦν.

**Ἡ** λάρναξ, ἐν ᾗ κεῖται νῦν σου τὸ πανάγιον καὶ θεῖον ὄντως σῶμα, πηγή ἐστι θαυμάτων, ᾗ προστρέχοντες ἡμεῖς χάριν ἀντλοῦμεν, καὶ λυτρούμεθα νόσων, καὶ φυλαττόμεθα ἐκ κακώσεως πάσης.

Ἕτερα, ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

**Ὡς** ἀστέρα πολύφωτον, θεοφόρε **Χριστόδουλε**, οἰκουμένην ἅπασαν καταλάμποντα, σὲ ἐγνωκότες γεραίρομεν ἐν ὕμνοις τὴν μνήμην σου, καὶ τὴν λάρνακα τὴν σὴν εὐλαβῶς προσπτυσσόμενοι ἐκβοῶμέν σοι: **Μὴ** ἐλλείπῃς, παμμάκαρ, τὸν δεσπότην καὶ **Θεὸν** ἡμῶν πρεσβεύων τοῦ οἰκτειρῆσαι τοὺς δούλους σου.

Δόξα.

**Τῶν** ὁσίων ὁμότιμος καὶ ἀγγέλων ὁμόσκηνος ὡς ὑπάρχων μέμνησο τῶν τιμώντων σε καὶ ἀνυμνούντων,

**Χριστόδουλε, τὴν κοίμησιν σήμερον τὴν σεπτήν σου καὶ φαιδράν, ἐκ παντοίων λυτρούμενος τούτους θλίψεων καὶ κολάσεως, πάτερ, αἰωνίου, καὶ βαρβάρων ἐπηρείας καὶ πάσης ἄλλης κακώσεως.**

Καὶ νῦν.

**Τοὺς γενναίους ἀγῶνάς σου, καὶ ἀγγέλων ἐθαύμασεν ἡ πληθύς, μακάριε, καθορῶσά σου τὸ τῆς νηστείας ἀνένδοτον, τὴν στάσιν τὴν πάννυχον, προσευχὴν διηνεκῆ, καὶ δακρύων τὸ ἄμετρον. Ὅθεν αἴτησαι, παῤῥησίαν ὡς ἔχων, τοῖς σοῖς τέκνοις ἱλασμόν τε τῶν πταισμάτων καὶ παραδείσου τὴν οἴκησιν.**

Ἕτερα, ἦχος πλάγ. ά. Χαίροις ἀσκητικῶν.

**Χαίροις τῶν μοναστῶν ἡ κρηπίς, ἀρχιποιμένων τὸ σεπτὸν ἐγκαλλώπισμα, ἡ στάθμη τῆς ἐγκρατείας, ὁ τῶν ψυχῶν ἰατρός, ἀσθενῶν ἡ ῥῶσις, πανοαοίδιμε, χηρῶν ὁ προστάτης τε, θλιβομένων παράκλησις, ἀδικουμένων βοηθὸς ἀκαταίσχυντος, ἡ σωτήριος τῶν πταιόντων παραίνεσις, ἅπασι τοῖς τιμῶσί σου τὴν κοίμησιν σήμερον λύσιν πταισμάτων παράσχου, δεινῶν παντοίων λυτρούμενος, ἐχθρῶν τὰς ἐφόδους ἀπελαύνων καὶ παρέχων τὸ μέγα ἔλεος.**

Δόξα.

**Ποίμνην τῶν τοῦ ἐχθροῦ μηχανῶν ἀνακειμένην σοί, Χριστόδουλε, λύτρωσαι, ἀπράκτους τὰς ἐπινοίας ἀποδεικνύων αὐτοῦ σῇ θερμῇ πρεσβείᾳ, παμμακάριστε,**

**ἐχθρῶν ἐκδιώκων ἐπερχομένων τὰς φάλαγγας, καὶ περιέπων τὴν μονήν σου ἀπόρθητον τῇ πρὸς Κύριον ἐπιμόνῳ δεήσει σου. Σὲ γὰρ ἐπικαλούμεθα οἱ δοῦλοί σου σου, ἅγιε· θραῦσον τὰς τούτων ἐνέδρας, καὶ τὰ βουλεύματα σκέδασον, Θεῷ οἰκειῶν ἡμᾶς, καὶ τέκνα ἀποδεικνύων αὐτοῦ, ἀείμνηστε.**

Καὶ νῦν.

**Χαίροις ὁ ἀπὸ βρέφους Θεῷ ἀνατεθεὶς ὡς Σαμουήλ, ἀξιάγαστε, λαοῖς τε ὑποδεικνύων ὡς Ἰωάννης τὸ πρίν, τὴν ὁδὸν Κυρίου τὴν σωτήριον, δεινῆς ἐκλυτρούμενος ἀσεβείας τοῖς λόγοις σου, καὶ πρὸς τὸ φέγγος ἐμβιβάζων τῆς γνώσεως τοῖς πανσόφοις σου, θεοφόρε, διδάγμασιν, ἅπαντας τοὺς ἐν πίστει σοι καὶ πόθῳ προστρέχοντας, οὓς καὶ προσῆξας τῷ πάντων Θεῷ πανάμωμα θύματα. Αὐτὸν ἱκετεύων μὴ ἐλλείπῃς τῇ σῇ ποίμνῃ δοῦναι τὸ ἔλεος.**

Ἕτερα, ἦχος πλάγ. β΄. Ὅλην ἀποθέμενοι.

**Ὅλον ἀναθέμενος τῷ ποιητῇ καὶ δεσπότῃ σαυτὸν ἐκ νεότητος, θεοφόρε, ἅπασαν γῆς προσπάθειαν εὐσταθῶς ἀπέῤῥιψας καὶ αὐτῷ, ὅσιε, ἀδιστάκτως ἠκολούθησας, νηστείαις, δάκρυσι, προσευχαῖς καὶ πόνοις καὶ θλίψεσι τὴν σάρκα κατατήκων σου, καὶ καθυποτάττων τῷ πνεύματι. Ὅθεν ἐν ὑψίστοις, τοῖς ἄνω συγχορεύεις λειτουργοῖς, ἀκαταπαύστως δεόμενος ὑπὲρ τῶν ψυχῶν ἡμῶν.**

Δόξα.

**Μωσῆς ὥσπερ δεύτερος ἐκ σκοτασμοῦ ἀγνωσίας,**

**λαοὺς ὑπεξήγαγες, καὶ Θεῷ, πανάγιε, προςενήνοχας, τοὺς ἐν ζόφῳ μένοντας ἁμαρτίας πάλαι, ὁδηγήσας πρὸς μετάνοιαν, καὶ καθυπέδειξας τούτοις τὴν ὁδὸν τὴν σωτήριον, δαιμόνων ἐπηρείας τε καὶ ἁμαρτιῶν ἐκλυτρούμενος, σοῦ ταῖς νουθεσίαις ὑπείκοντας καὶ μέλλοντας λαβεῖν πόνων ἐκεῖ τὴν ἀντίδοσιν, ὅσιε Χριστόδουλε.**

Καὶ νῦν.

**Γονέων ἠλόγησας καὶ τῆς συζύγου, παμμάκαρ, καὶ μόνον ἐπόθησας τὸν Χριστόν, ἀοίδιμε, καὶ προςέδραμες ὁλοψύχως τούτῳ, τῆς πατρῴας φεύγων, Ἀβραὰμ οἷά τις δεύτερος, καὶ καθιέρωσας σῶμα καὶ ψυχὴν καὶ διάνοιαν, ἐκ πάσης προςπαθείας τε καὶ βιωτικῆς, μάκαρ, σχέσεως, καὶ πρὸς τὸν Δεσπότην ἰθύνων ἀσφαλῶς σου τὰς ὁδούς, ὃν ἐπεπόθησας, ὅσιε, πάντα παρωσάμενος.**

Ἕτερα, ἦχος βαρύς. Οὐκέτι κωλυόμεθα.

**Ἥλιον ὁ Χριστὸς ἐν τῇ Πάτμῳ νοητόν σε ἀνέδειξε, καὶ τῶν μοναζόντων φωστὴρ ἀνεφάνης, καὶ πιστῶν τὰς φρένας πάντων καταλάμψας ἤγαγες πρὸς γνῶσιν ἐχθρῶν, σφενδονίζουσαν τὴν δυςσεβῆ παράταξιν, καὶ τὴν τούτων δύναμιν, Χριστόδουλε μακάριε, Χριστοῦ ἐραστά.**

Δόξα.

**Πρόμαχος εὐσεβείας καὶ μύστης καὶ ἀκροθίνιον πίστεως, Χριστόδουλε, ἀνεδείχθης, κανὼν δὲ καὶ τύπος, καὶ τῶν μοναζόντων ποιμήν τε καὶ φύλαξ, λύκους ἐκδιώκων ἐκ τῆς ποίμνης σου, μακάριε, τῇ ῥάβδῳ τῶν**

**λόγων σου. Διὸ καὶ συναυλίζῃ ταῖς ἀΰλοις τάξεσι, Χριστὸν ἱκετεύων τοῦ σωθῆναι ἡμᾶς.**

Καὶ νῦν.

**Ποίμνην σου τὴν τιμῶσάν σε, πάτερ θεοφόρε Χριστόδουλε, ῥῦσαι ἐκ κινδύνων καὶ νόσων παντοίων, καὶ ἐξ ἐπηρείας δεινῶν ἀλαστόρων, τῶν ἐπεμβαινόντων ἀφειδῶς ἐν ταύτῃ, πάνσοφε, ὅπως μακαρίζῃ σου τὸ ἱερὸν μνημόσυνον, ἔχουσά σε πάντοτε πρέσβυν δυνατώτατον πρὸς Κύριον.**

Ἕτερα ἦχος πλάγ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

**Πάτερ θεόφρον Χριστόδουλε, δι' ἐγκρατείας πολλῆς καὶ συντόνου δεήσεως, τῷ Χριστῷ ἑνούμενος ἀπερίτρεπτος ἔμεινας ταῖς μεθοδείαις τοῦ πολεμήτορος, καὶ φίλος ὤφθης τοῦ Παντοκράτορος. Ὅθεν τιμῶμέν σε, καὶ τὴν θείαν μνήμην σου περιχαρῶς πίστει ἑορτάζομεν, θεομακάριστε.**

Δόξα.

**Ὅσιε πάτερ Χριστόδουλε, ἐν ἐρημίαις ἀεὶ καὶ σπηλαίοις καὶ ὄρεσι πίστει διαιτώμενος τὸν Θεὸν ἐξεζήτησας, καὶ τοῦτον εὗρες ὥσπερ ἐπόθησας, ἀνεπιστρόφῳ ψυχῇ νευρούμενος, ταῖς ἀναβάσεσι ταῖς καλαῖς ἑκάστοτε, καὶ μοναστῶν στέφη προσενήνοχας Χριστῷ σωζόμενα.**

Καὶ νῦν.

**Σὺ καθυπείκων τοῖς νεύμασι τοῦ παντεπόπτου Θεοῦ, παρ' αὐτοῦ χάριν ἔλαβες ἐνεργεῖν τεράστια, καὶ διώ-**

**κειν τὰ πνεύματα τῆς πονηρίας τῶν προςιόντων σοι ἐν τῇ σορῷ σου, θεομακάριστε. Ὅθεν τιμῶμέν σε, καὶ τὴν θείαν μνήμην σου χρεωστικῶς πίστει ἑορτάζομεν, θεομακάριστε.**

Ἕτερον ψαλλόμενον ἐν τῇ ἀπολύσει τῆς ἀγρυπνίας, ποίημα Νικοδήμου ἱερομονάχου.

Ἦχος δ'. Ὅτε ἐκ τοῦ ξύλου σε.

**Ὥςπερ ἐν λειμῶνι νοητῷ κύκλῳ τῆς σοροῦ σου ἑστῶτες, πάτερ Χριστόδουλε, κράζομεν οἱ δοῦλοί σου: Μὴ ὑπερίδῃς ἡμᾶς· ὡς πηγὴ τῶν ἰάσεων, ἡμῖν οὐρανόθεν ἴασιν κατάπεμψον τῇ μεσιτείᾳ σου. Σὲ γὰρ ἐπιστάμεθα πρέσβυν· σὺ καὶ τὴν ἁγίαν μονήν σου φρούρησον ἀεὶ ἀνεπηρέαστον.**

Ἕτερον ψαλλόμενον ἐν τῇ ἀπολύσει τῆς ἀγρυπνίας τοῦ ἀποστόλου Θωμᾶ, ποίημα τοῦ αὐτοῦ.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

**Δῶρον ὁ Χριστὸς περικλυτὸν, σοῦ τὴν πανσεβάσμιον κάραν, Θωμᾶ ἀπόστολε, νεύσει θείᾳ δέδωκε τοῖς σοῖς οἰκέταις ἡμῖν, ποταμὸν ἀνεξάντλητον, πηγὴν τῶν θαυμάτων, φύλακα καὶ πρόμαχον καὶ ἰατρὸν καὶ φρουρόν. Σὲ νῦν μετὰ πόθου τιμῶντες, λύσιν ἐξαιτοῦμεν πταισμάτων καὶ παντοίας νόσου καὶ κακώσεως.**

# ΤΡΟΠΑΡΙΑ ΨΑΛΛΟΜΕΝΑ

## ΚΑΤΑ ΤΑΣ ΕΟΡΤΑΣ ΤΟΥ ΘΕΟΛΟΓΟΥ (*).

Ἑσπέρας ἐν τῷ μεγάλῳ ἑσπερινῷ ἱστῶμεν στιχηρὰ προσόμοια ι΄ εἰς ἦχον ά, πρὸς τό: Ὢ τοῦ παραδόξου θαύματος, δευτεροῦντες αὐτά (**).

**Ὢ τῆς θεολόγου γλώττης σου, Ἰωάννη μύστα ἀποῤῥήτου** (1) **γνώσεως, ἀπόστολε τοῦ Χριστοῦ καὶ φίλε γνήσιε· αὐτὸς ἐφθέγξω τρανῶς τὴν τοῦ Θεοῦ πρὸς ἡμᾶς συγκατάβασιν, τὴν ἄναρχόν τε ἀρχὴν ἐκ τοῦ Πατρὸς τὸν Υἱὸν ἐδογμάτισας, εὐαγγελικῶς κραυγάζων: Ἐν ἀρχῇ ὁ Λόγος ἦν, καὶ Θεὸς ἦν ὁ Λόγος, ὁ φωτίζων πάντα ἄνθρωπον.**

**Ὕμνοις καὶ ᾠδαῖς τιμήσωμεν Ἰωάννην πάντες τὸν σοφὸν ἀπόστολον καὶ** (2) **κήρυκα τῆς Χριστοῦ μεγαλειότητος. Ἐβρόντησε γὰρ ἡμῖν τοῖς ἐπὶ γῆς τὰ οὐράνια δόγματα, συνάναρχον τῷ Πατρὶ καὶ συναΐδιον φήσας τῷ Πνεύματι· τὸν μονογενῆ Υἱὸν γὰρ τοῦ Θεοῦ ὑπέδειξεν ἐκ Παρθένου τεχθέντα τοῖς ἀνθρώποις ὁμοούσιον.**

(*) Ταῦτα μετελήφθησαν ἀπὸ τοῦ ΡΟΕ΄ περγαμηνοῦ χειρογράφου τῆς μοναστηριακῆς βιβλιοθήκης. Γέγραπται δὲ τοῦτο ἐν Ῥόδῳ τῷ ͵ςχπβ΄ ἔτει [† 1174] χειρὶ Νείλου μοναχοῦ καὶ ἡγουμένου τῆς ἔτι καὶ νῦν σωζομένης μονῆς τοῦ Θεολόγου, τῆς ἐπικεκλημένης τοῦ **Ἀρταμίτου**, ὁμωνύμως δηλαδὴ τῷ ἐφ' οὗ ἵδρυται ὄρει, ὅπερ ἐστὶ κλάδος τοῦ μεγίστου τῆς νήσου ὄρους Ἀταβύρου· καὶ ἀφιέρωται παρ' αὐτοῦ τῇ κατὰ Πάτμον μονῇ μνημοσύνου λόγῳ, ὡς ἔχει ἡ ἐν τῷ προσθίῳ φύλλῳ φερομένη σημείωσις.

(**) Ἐν ἄλλῳ βαμβακίνῳ χειρογράφῳ τῷ ͵ζογ΄ [† 1565] γεγραμμένῳ εὕρομεν τὰς ἑξῆς διαφέρουσας γραφάς:

(1) **Τῆς ἀρρήτου.**— 2) **Καί·** ὃ καὶ προειλόμην ἀντὶ τοῦ ἐν τῷ προτέρῳ χειρογράφῳ: **Ὡς.**

**Σὺ ἀναπεσὼν τῷ στήθει Χριστοῦ θησαυροὺς** (3) **σοφίας, Ἰωάννη, εἵλκυσας, τοῖς πᾶσι θεολογῶν** (4) **τὰ θεῖα δόγματα. Καὶ πάλιν ἐν τῷ σταυρῷ σὺν τῇ μητρὶ παρεστὼς τοῦ Θεοῦ ἡμῶν** (5), **παρέλαβες ἐξ αὐτοῦ ὡς καὶ παρθένος Παρθένον τὴν ἄχραντον· καὶ ὡς μαθητὴς καὶ φίλος καὶ πιστὸς ἀπόστολος, τῆς ἀγάπης τὸ κλέος ἐκληρώσω** (6) **ἐν τῷ πάθει αὐτοῦ.**

Εἶτα τὰ ἕτερα τρία: Ὁ θεατὴς τῶν ἀῤῥήτων.

Ἡ θεοκίνητος λύρα. Τῇ βροντοφώνῳ σου γλώττῃ.

Μεθ' ἃ τὸ παρόν:

**Ἐπερωτήσαντι Πέτρῳ, Οὗτος δὲ τί; τὸν Χριστόν· Ἂν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, λέγει, τί πρὸς σέ; τῷ Πέτρῳ. Ὅθεν σαφῶς ἐγνωρέσθη τοῖς πέρασι, μετὰ Ἐνὼχ καὶ Ἠλίαν ἐν τῇ Ἐδὲμ μετελθεῖν σε, Ἰωάννη σοφέ** (7).

(3) **Θησαυρόν.**— (4) **Θεολογῶν.** Καὶ τὴν γραφὴν ταύτην προειλόμην ἀντὶ τῆς ἐν ἐκείνῳ: **Θεολογεῖν.** — (5) **Τοῦ Κυρίου σου.** — (6) **Ἐκληρώσω·** ὃ καὶ προειλόμην ἀντὶ τῆς ἐν ἐκείνῳ γραφῆς: **Ἐκπληρῶν τά.**

(7) Τὸ τροπάριον τόδε οὕτω διορθοῦν ἔγνων ἀντὶ τοῦ ἐν τῷ προτέρῳ χειρογράφῳ ἡμαρτημένου, οὕτως ἔχοντος:

**«Ἐπερωτήσαντι Πέτρῳ, Οὗτος δὲ τί τῷ Χριστῷ, Ἂν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι λέγειν, τί πρὸς σέ· τῷ Πέτρῳ. Ὅθεν σαφῶς ἐγνωρίσθης τοῖς πέρασι, μετὰ Ἐνὼχ καὶ Ἠλίαν ἐν τῇ Ἐδὲμ, μετελθεῖν σε Ἰωάννη σοφέ».**

Σημ. Ι. Σ.

## Α΄.

# ΥΠΟΤΥΠΩΣΙΣ ΘΕΟΦΙΛΗΣ

### ΕΙΤΟΥΝ(*) ΔΙΑΤΑΞΙΣ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΧΡΙΣΤΟΔΟΥΛΟΥ

### ΗΝ ΔΙΕΤΑΞΑΤΟ ΕΝ ΤΗ ΙΔΙΑ ΑΥΤΟΥ ΜΟΝΗ ΤΗ ΟΥΣΗ ΕΝ ΠΑΤΜΩ ΤΗ ΝΗΣΩ ΠΡΟΣ ΤΟΥΣ ΕΑΥΤΟΥ ΜΑΘΗΤΑΣ.

---

Α΄. Ἐπειδήπερ ἄνθρωπος ὢν καὶ αὐτὸς ἱκανῶς ἐνταῦθα παρὰ Θεοῦ ᾠκονόμημαι, καὶ εἰς βαθὺ γῆρας ἐλάσας οὐδὲν ὅτι μὴ τὴν ἀλλαχοῦ μετάστασιν, ὡς ὁ μέγας ἐν θεολογίᾳ φησὶ Γρηγόριος (1), προσδοκῶ, δεῖν ᾠήθην ἐγγράφως τῇ εὐαγεῖ μου συνοδίᾳ ὑποτυπώσασθαι τὰ δοκοῦντά μοι λυσιτελεῖν αὐτῇ πρὸς ἐντελῆ καὶ σωτήριον θεαρέστησιν (2), καὶ διάταξιν ἐκθέσθαι τοῖς φιλτάτοις μου ἀδελφοῖς ἐν Κυρίῳ καὶ τέκνοις, ἵν᾽ ὥσπέρ τινι γνώμονι καὶ κανόνι ταύτῃ χρώμενοι, καὶ κατὰ τὰ ἐντεταλμένα πολιτευόμενοι, ὁμαλῶς (σὺν Θεῷ δὲ εἰρήσθω) καὶ εὐσυνειδήτως καὶ εἰρηνικῶς βιωτεύοιεν, τῇ τῆς ζωαρχικῆς καὶ συμφυοῦς καὶ παναγίας Τριάδος φρουρούμενοι χάριτι. Ἀλλ᾽ ὦ σύστημα ἱερὸν (πρὸς ὑμᾶς γὰρ ἤδη τοῦ λόγου στρέφω τὰ πρόσωπα), ποίμνιον ἐκλεκτὸν, λαὸς ἔκκριτος, συνοδία θεοφιλὴς, τέκνα Κυρίῳ εὐλογημένα, δεῦτε ἀκούσατε καὶ διηγήσομαι ὑμῖν:

(*) Τὸ χειρόγρ. **Ἤτουν.**

(1) Πολλὰ περὶ ἀνθρώπου τῷ τῆς θεολογίας ἐπωνύμῳ πεφιλοσόφηται, ἐν οἷς καὶ ὅτι ἐστί: **«ζῶον ἐνταῦθα οἰκονομούμενον καὶ ἀλλαχοῦ μεθιστάμενον» [Λόγ. εἰς τὰ Θεοφάν.** Τόμ. Α΄, σελ. 618. Lutet. Paris. 1609]· καὶ τοῦτο οἶμαι τὸν ὅσιον παραινίττεσθαι.

(2) Οὔπω κατακεχώρισται ἡ λέξις αὕτη ἐν τοῖς λεξικοῖς.

« *Δεῦτε ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς* » (1) (τοῖς γὰρ τοῦ ἱεροψάλτου Δαβὶδ κατὰ καιρὸν προςχρήσομαι ῥήμασι)· « *κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου* » (2). Συμφθεγγέσθω δὲ καὶ Σολομὼν μετὰ τοῦ Δαβὶδ, καὶ υἱὸς ἅμα πατρὶ συναδέτω μοι, πατρὶ πρὸς υἱοὺς διαλεγομένῳ: « *Εἰσακούσατέ μου· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά* » (3). Πλὴν ἀλλὰ δοκεῖ μοι καλὸν εἶναι καὶ ἀναγκαῖον γνωρίσαι πρότερον ὑμῖν ποσῶς τὰ ἡμέτερα, καὶ ἐφ' ὅσον ἐνδέχεται περὶ τούτων εἰπεῖν, εἶθ' ἑξῆς καὶ περὶ τῶν κατεπειγόντων καὶ προὐργιαιτέρων ἐν ἐπιτόμῳ διαλαβεῖν. Καὶ γὰρ καὶ παρὰ τῇ θείᾳ Γραφῇ ἐν πολλοῖς εὑρίσκομεν ἀνεπίφθονον τὸ χρᾶσθαι (4) λόγοις καὶ διηγήσεσιν ἔχουσί τινα μοῖραν καὶ εἰς ἔπαινον ὡσανεὶ τοῦ ἀφηγουμένου, καὶ οὐδεὶς αὐτοῖς περιαυτολογίας προςῆψεν ἔγκλημα. Ἀναμάρτητον δὲ τοῦτο κρίνεσθαι εἴωθεν, ὅταν διὰ τὴν τοῦ ἀγνοουμένου ἔκθεσιν καὶ σαφήνειαν, καὶ οὐ δι' ἄλλο τι ἀνθρώπινον γίνηται (5). Κατὰ τοῦτο τοίνυν οὐδὲ ἐμοὶ τῷ ταπεινῷ

(1) Ψαλμ. λγ', 12.
(2) Ψαλμ. οζ', 1.
(3) Παροιμ. ή, 6-8.
(4) Τύπος βυζαντινὸς ἀντί: **Χρῆσθαι.**
(5) Μετριοφρονέστερον λέγει ταῦτα· οὐδαμοῦ γὰρ περιαυτολογῶν φαίνεται ὁ μακάριος, πλὴν εἰμή τις περιαυτολογίαν καλοῖ τὸ ἀφελὲς τῆς τῶν καθ' ἑαυτὸν ἀφηγήσεως. Καὶ ἵνα ἄρῃ πᾶσαν μομφῆς ἀφορμὴν, τὴν θείαν Γραφὴν παραδείκνυσιν, ἐν ᾗ πλεῖσθ' ὅσα ἀπαντᾷ περιαυτολογίας δόξαν ἔχοντα, ὧν ὀλίγιστα μόνον σημειούσθωσαν ὧδε. Ἐκ μὲν οὖν τῆς **Παλαιᾶς**, Σολομὼν [Σοφ. ζ', 1 καὶ ἐφ ], Δαβίδ τε [Ψαλμ. πή, 5 καὶ 21-28. καὶ ρν'.] καὶ Τωβίτ. Ἐκ δ' αὖ τῆς **Καινῆς**, Ἰωάννης [ιθ', 26 καὶ ἐφ. - καὶ κά, 20-25.], καὶ Παῦλος [Ῥωμ. ιέ, 18-19. — Α' Κορινθ. ιέ, 8. — Β' Κορινθ. ιά, 23-33. — καὶ ιβ', 1-11. — Γαλάτ. Α' καὶ Β' — Α' Τιμόθ. ά, 11-17. — Παρβλ. καὶ Πράξ. κβ', 1-21. — καὶ κς', 2-23.]. Εἰ δέοι δὲ καὶ ἐκ τῶν θύραθεν προςεμπεδοῦν τοῦ μακαρίου τὸν λόγον, ἀκούσωμεν οἷα φησὶν ὁ καλὸς Πλούταρχος: « **Ἔστιν ᾗ παρακινδυνεύσειεν ἂν ὁ πολιτικὸς ἀνὴρ ἅψασθαι τῆς καλουμένης περιαυτολογίας πρὸς οὐδεμίαν αὑτοῦ δόξαν ἢ χάριν, ἀλλὰ καιροῦ καὶ πράξεως ἀπαιτούσης, ὥσπερ ἄλλο τι, καὶ περὶ αὑτοῦ λεχθῆναι τῶν ἀληθῶν· μάλιστα δὲ ὅταν ᾖ τὰ πεπραγμένα καὶ προσόντα χρηστά, δεῖ μὴ φεισάμενον εἰπεῖν διαπράξασθαί τι τῶν ὁμοίων . . . . εἰ δὲ καὶ δι' ἑτέρας τινὰς αἰτίας ὁ πολιτικὸς ἂν αὑτὸν ἐπαινέσειε, σκεπτέον, τίνες εἰσὶν αὗται, ὅπως ἐξευλαβούμενοι τὸ κενὸν καὶ δυσχεραινόμενον, εἴ τι χρήσιμον ἔχει, μὴ παραλίπωμεν** » [**Περὶ τοῦ ἑαυτ. ἐπαιν. ἀνεπιφθόν. β'**].

γέροντι ἀδόκιμον ἔδοξε τὰ καθ' ἑαυτὸν ἐξ ἀρχῆς ἀναλαβόντι, καὶ εἰς τέλος ὅπη προῆλθέ μοι ἡ κατὰ τὸν βίον ματαία ὁδὸς παραστῆσαι ὑμῖν, εἶτα καὶ τὸ δοκοῦν σωτήριον ἐπιτάξαι τῇ διαθέσει ὑμῶν, ἵνα γίνοισθε ἐν Κυρίῳ σωζόμενοι φυλάττοντες τὴν ὑπακοήν.

Β'. Ἡμεῖς ἐκ τῶν τῆς ἑῴας μερῶν γενόμενοι (1), καὶ ἐκ νεότητος ἔνθα καὶ ἔνθα τοῖς διαύλοις τῶν λογισμῶν ἀπαγόμενοι ἔννοιαν ἔσχομεν, ἐν ἡλικίᾳ ἔτι κομιδῇ τυγχάνοντες παιδικῇ, ἀποστῆναι τῆς πατρικῆς οἰκίας, καὶ γονεῖς, καὶ συγγενεῖς ἐκφυγεῖν, καὶ πρὸς Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν καὶ σωτῆρα καταφυγεῖν· ὃ δῆτα καὶ ἐκτετέλεκα· καὶ μοναστῶν προσελθὼν ἀγέλῃ (2) ἐκδέδωκα ἐμαυτόν, ὑπὸ καθηγητῇ καὶ παιδοτρίβῃ τῷ τῆς ἱερᾶς ἐκείνης ποίμνης ἀφηγουμένῳ γενόμενος. Θεὸς δὲ πάντως ἦν ὁ διὰ τὴν ἄφατον εὐσπλαγνίαν αὐτοῦ συνετίσας με ἐν βραχυτάτῃ ἔτι τῇ ἡλικίᾳ καὶ ἀτελεῖ τε καὶ ἀπαγεῖ, καὶ μήπω μηδαμῶς τὸν λόγον ἐρηρεισμένον ἐχούσῃ. Ἄξιον δὲ ἄρα τοῦτο τῆς ἐκείνου μεγαλουργίας, ἐπειδήπερ καὶ πρόπαλαι: «*Ἐκ στόματος νηπίων καὶ θηλαζόντων αἶνον κατήρτισε*», καὶ: «*Ἡ δήλωσις τῶν λόγων αὐτοῦ φωτίζει καὶ συνετίζει νηπίους*», ὡς ὁ Δαβὶδ ᾀσματίζει (3) θειότατά τε ὁμοῦ καὶ προφητικώτατα.

Γ'. Ἔρως δέ με τελεωτέρας ξενιτείας παραλαβών, τόπον ἀμείβειν ἐκ τόπου παρεβιάσατο. Καὶ μέν τοι καὶ τοῖς τῆς Παλαιστίνης μέρεσι παρεβάλομεν, ἐρῶντες προσκυνηταὶ γενέσθαι τῶν τοῦ Κυρίου ἡμῶν ἁγίων ἰχνῶν, οὐχ ἥκιστα δὲ καὶ *μετα-*

(1) Ἐγεννήθη ἔν τινι κώμῃ τῆς κατὰ τὴν Βιθυνίαν Νικαίας.

(2) Τῶν εἰς τὸν Μύσιον Ὄλυμπον ἐνασκουμένων. Ἔστι δὲ τοῦτο ὄρος ἀπὸ τοῦ Ἕρμου ποταμοῦ (τουρκοβαρβ. **Σαραμπάτ**) ἕως τῆς Βιθυνίας παρατεινόμενον, ὅπερ τανῦν **Κεσὶς — δαγὶ** τουρκοβαρβάρως καλεῖται, **Μοναστῶν ὄρος** κατὰ λέξιν μεθερμηνευόμενον, διὰ τὸ πλῆθος πάντως τῶν τε ἱερῶν ἐνδιαιτημάτων καὶ τῶν ἀναχωρητῶν τῶν ὑπαρχόντων ἐπὶ τοῦ ὄρους ἐν ᾧ καιρῷ οἱ περὶ τὸν θεμελιωτὴν τῆς ὀθωμανικῆς δυναστείας Ὀσμάνην τὸν Α', καὶ τὸν τούτου υἱὸν Ὀρχάνην (1298-1358) κύριοι τῆς Μυσίας καὶ Βιθυνίας γεγόνασιν.

(3) Ψαλμ. η', 3, καὶ ριη', 130.

*ναστεύειν ὡς στρουθίον* (1), καὶ κατὰ τοὺς παλαιοὺς *ἐν ταῖς ἐρήμοις αὐλίζεσθαι* προελόμενοι. Ἐμφορηθέντες οὖν τῆς τῶν ἁγίων τόπων προςκυνήσεως, ὡς εἰκός, καὶ τοῖς ἐκεῖσε φωστῆρσι καὶ πατράσι συνομιλήσαντες μόνον (ὀκνῶ γὰρ εἰπεῖν, ὅτι καὶ τὴν τῆς βιοτῆς ἐκείνων μίμησιν καρπωσάμενοι), κατεσκηνώσαμεν τάχα ἐφ᾽ ἱκανὸν ἐν τοῖς ἐρημικωτέροις αὐτῆς δηλονότι τῆς Παλαιστίνης. Εἶτα, καὶ ὡς οὐ συνεχώρει τὸ τῶν Σαρακηνῶν (2) σμῆνος, καθ᾽ ὅλων τῶν ὁρίων τῆς Παλαιστίνης ὥςπερ τι χαλάζης χρῆμα τετριγὸς ὀλέθριον (3) φανέντε καὶ σκεδασθέν, καὶ πᾶν τὸ σύστημα τοῦ χριστωνύμου λαοῦ διαφθεῖρον καὶ ἀφανίζον, ἐθέλοντες ἡμεῖς μὴ περιπεσεῖν αὐτοβουλίας δόγμασιν (4) (οὐ γὰρ ἄν, εἰ μὴ τοῦτ᾽ ἦν τὸ κωλῦον, φιλοψυχήσαντες ἀνεδείχθημεν), μετέβημεν ἐκεῖθεν ὡς ὑπὸ τῆς τῶν βαρβάρων φάλαγγος ἀπελαθέντες καὶ διωκόμενοι, καὶ εἴς τι ὄρος ἀθόρυβον ἐληλύθειμεν, ἐν καλῷ μὲν τῆς χώρας τῆς Ἀσιάτιδος κείμενον, οὕτω δ᾽ ἐγχωρίως Λάτρος (5) καλούμενον, φήμης ἡμᾶς εἰς

(1) Παρὰ τὸ Δαβιτικόν: «**Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον**» [ψαλμ. ι', 1], ὡς καὶ τὸ αὐτίκα ἑπόμενον, παρὰ τό: «**Ηὐλίσθην ἐν τῇ ἐρήμῳ**» [ψαλμ. νδ', 7].

(2) Ἔθνος τῆς Ἀραβίας ἄλκιμον οἱ Σαρακηνοί, οὕτως ὀνομασθέντες ἀπὸ τῆς χώρας Σάρακα [Στέφ. Βυζάντ. ἐν λέξ.—Πρβλ. καὶ Μαρκιαν. **Περίπλ.** Α', καὶ Εὐστάθ. εἰς **Διονυσ. Περιήγ.** ϛ. 180]. Περιβόητοι δὲ γεγόνασιν οὗτοι ἐν τῇ ἱστορίᾳ ἀπὸ τῆς Ζ' ἑκατονταετηρίδος διὰ τῶν κατακτήσεων αὐτῶν. Ὑπὸ γὰρ Μωάμεθ καὶ τοῖς μετ᾽ αὐτὸν χαλίφαις ἐπεκράτησαν τῆς τε Αἰγύπτου καὶ Παλαιστίνης, Συρίας τε καὶ Βαβυλωνίας, Περσίας, Λιβύης, Νουμιδίας, Μαυριτανίας, καὶ πολλοῦ τῆς Ἱσπανίας. Σαρακηνοὺς δὲ γενικώτερον ἐκάλουν οἱ Βυζαντινοὶ ἐν τοῖς ἔπειτα χρόνοις καὶ τ᾽ ἄλλα ἔθνη, τὰ τοῦ Μωάμεθ τὴν θρησκείαν πρεσβεύοντα.

(3) Μετείληπται τὸ χωρίον ἀπὸ Γρηγορίου τοῦ Θεολόγου, οὕτω κἀκείνου λέγοντος: «**Ἐξαίφνης ἐφίσταται νέφος χαλάζης πλῆρες, καὶ τετριγὸς ὀλέθριον**» [Ἐπιτάφ. εἰς Μ. Βασίλ. Τόμ. Α', σελ. 337]. Περὶ δὲ τοῦ: **Τρίζειν** φησὶν Εὐστάθιος: «**Κυρίως δὲ ἡ λέξις αὕτη ἐκφράζει τὴν φωνὴν τριζόντων τινῶν ζῴων, οἷον νυκτερίδων, μυῶν, νεοσσῶν κτλ., κατ᾽ ὀνοματοποιΐαν. Καὶ ἡ χιὼν δὲ τῷ πλατεῖ τοῦ ποδὸς πατουμένη τρίζειν λέγεται, ὡς καὶ ὁ θυμούμενος τρίζειν τοὺς ὀδόντας**, κτλ.» [Παρεκβ. εἰς Ὅμ. σελ. 229, 1326 καὶ 1951. Rom. 1542].

(4) Ὅτι αὐτογνωμόνως δηλαδὴ προειλόμεθα τὸν κίνδυνον, ἐπιλαθόμενοι τῆς τοῦ Κυρίου ἐντολῆς τῆς διακελευομένης: «**Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην**» [Ματθ. ι', 23].

(5) Τὸ ὄρος τοῦτό ἐστιν ὁ παρὰ τοῖς ἀρχαίοις Λάτμος, πρὸς τῇ Μιλήτῳ, ὑπερκεί-

τοῦτο ἀγούσης τῆς παλαιᾶς. Λέγεται γὰρ καὶ τοὺς μακαριστοὺς ἐκείνους πατέρας, οἳ τὸ Ῥαϊθὰν (1) ποτ' ᾤκησαν καὶ τὸ Σίναιον, ἐκεῖθεν ἐνταῦθα μεταναστεῦσαι, εἰ καὶ μὴ πάντας, ἀλλ' οὖν γε τοὺς πλείονας, διὰ τὰς συνεχεῖς ἐφόδους τῶν ἀνημέρων Βλεμμύων (2), ἄνευ δηλαδὴ τῶν ἐκεῖσε μαρτυρησάντων (3).

μενον τοῦ πολιχνίου **Ἡρακλείας τῆς ὑπὸ Λάτμῳ** λεγομένης, πρότερον δὲ **Λάτμου** ὁμωνύμως τῷ ὄρει καλουμένης. Ἀπ' αὐτοῦ δὲ ὠνόμασται καὶ ὁ αὐτόθι κόλπος **Λατμικός** [Στράβ. ΙΔ'. Τόμ. Γ', σελ. 6, ἔκδ. Κορ.]. Ἐν τούτῳ τῷ ὄρει ἔπλασεν ὁ μῦθος τὰ κατὰ τὸν Ἐνδυμίωνα, οὗτινος ὁ τάφος ἐδείκνυτο ἐπὶ Στράβωνος ἔν τινι σπηλαίῳ, παρὰ τὴν ῥηθεῖσαν Ἡράκλειαν [Βλ. Σχολ. Ἀπολλων. Ἀργον. Δ', ϛ. 57. — Παυσαν. Ἠλειακ. προτέρ. ά. — Στρ. ἔνθ. ἀνωτ.]. Καλεῖται δὲ τανῦν τουρκοβαρβάρως **Μπὲς-παρμὰκ** (τουτέστι **Πενταδάκτυλον**=Πεντακόρυφον)· τὸν δὲ κόλπον οὕτω κατέστησαν ἄπλουν αἱ ἐκ τοῦ μακροῦ χρόνου κατὰ τὰς ἐκβολὰς τοῦ παραῤῥέοντος Μαιάνδρου γενόμεναι προσχώσεις, ὥστε λιμνοθάλασσαν εἶναι ἤδη αὐτόν· δι' ὃ δὴ καὶ **Νεκροθάλασσα** προσφυῶς καλεῖται ὑπὸ τῶν ἡμετέρων ναυτίλων. Σώζονται ἔτι ἐπὶ τοῦ ὄρους τὰ τῶν μοναστηρίων ἐρείπια. Τοῦ δὲ ἀρχαίου ὀνόματος ἡ μετάπλασις εἰς: **Λάτρος, (ὁ καὶ τὸ)** ἐστὶν ἴσως ἐπινόημα τῶν πρώτων μοναστῶν τοῦ ὄρους, ἅτε δὴ εἰς λατρείαν τοῦ ἀληθινοῦ Θεοῦ ὑπ' αὐτῶν καθιερωθέντος, ὥσπερ ὑποτίθησι καὶ ὁ τοῦ ὁσίου πατρὸς βιογράφος Ἰωάννης ὁ Ῥόδου μητροπολίτης. [Ὅρα ἔμπροσθεν ἐν τῷ κατ' αὐτὸν **Βίῳ τοῦ ὁσίου** §. Ζ'.].

(1) Σημείωσαι τὴν διάφορον γραφὴν τοῦ ὀνόματος, ἀντὶ τῆς κοινῇ φερομένης: **Ῥαϊθὼ** εἴτε **Ῥαϊθοῦ.** Κεῖται δὲ ἡ μονὴ τῆς Ῥαϊθώ, κατὰ τὸν γεωγράφον Wil. Guthrie, παρὰ τῇ Τὸρ πόλει τῆς Ἐρυθρᾶς πρὸς ἀνατολάς. Ἐν δὲ τῷ κήπῳ αὐτῆς, ὥς φησι, περιέχεται ὁ τόπος Αἰλείμ, ἔνθα ἦσαν αἱ **δώδεκα πηγαὶ ὑδάτων,** καὶ ὅπου ἦλθεν ὁ Μωϋσῆς μετὰ τῶν υἱῶν Ἰσραὴλ [Ἔξοδ. ιέ, 27]. Αἱ πηγαὶ δ' αὗται ὑπάρχουσιν ἔτι καὶ νῦν, ὡς βεβαιοῖ.

(2) Ἔθνος βάρβαρον τῆς Αἰθιοπίας οἱ Βλέμμυες, κληθέντες ἀπὸ Βλέμμυός τινος, ὃς ὑποστρατηγῶν τῷ βασιλεῖ Δηριάδῃ, κατὰ Διονύσου συνεπολέμησεν [Εὐστάθ. **Παρεκβ. εἰς Διονύσ.** ϛ. 220. — Πρβλ. καὶ Στέφ. Βυζάντ. καὶ Ἐτυμολόγ. ἐν λέξ.]. Κατὰ δὲ Στράβωνα [ΙΖ'. Τόμ. Γ', σελ. 230 κ. 277. Κορ.], ἦσαν οὗτοι Αἰγυπτίων μὲν γείτονες, οἰκοῦντες κατωτέρω τῶν τοῦ Νείλου συμβολῶν, πρὸς τὴν Ἐρυθρὰν θάλασσαν, τοῖς δ' Αἰθίοψιν ὑποτασσόμενοι. Καίτοι δὲ δοκοῦντες τοῖς πάλαι μάχιμοι, ἀλλ' οὐκ ἦσαν, διὰ τὸ λῃστρικῶς ἀφυλάκτοις ἐπιτίθεσθαι πολλάκις.

(3) Βλ. Νικοδήμου **Συναξαριστ.** μην. Ἰανουαρ. ιδ'. Τὴν δὲ τῆς τῶν ἁγίων πατέρων τούτων ἀναιρέσεως **Διήγησιν** συνέγραψεν ὁ τῷ Μ. Ἀθανασίῳ συγχρονήσας ἀββᾶς Ἀμμώνιος ὁ Σιναΐτης, ἣν πρῶτος ἐξέδωκε Φραγκ. ὁ Κομβεφίσιος ἐν τῷ Illustrium Christi martyrium κτλ. Paris. 1663. Σώζεται δ' ἡ αὐτὴ κἀν τῷ ΤΟΘ' χειρογρ. τεύχει τῆς Πατμιακῆς βιβλιοθήκης. Ἀλλὰ καὶ Νεῖλος μονάζων ὁ ἐρημίτης, περὶ μεσοῦσαν τὴν Ε' ἑκατονταετηρίδα ἀκμάσας, ἀνὴρ τοῦ δράματος αὐτόπτης γενόμενος, συνέγραψε **Διηγήματα ἑπτὰ εἰς τὴν ἀναίρεσιν τῶν ἐν τῷ ὄρει Σινᾷ καὶ Ῥαϊθοῦ μοναχῶν·** ἅτινα ἐξέδωκε Πέτρος ὁ Ποσσῖνος ἐν Παρισ. 1639, εἶτα δὲ καὶ ὁ Migne ἐν τόμ. ΟΘ', σελ. 590 ἐφ. τῆς **Ἑλλην. Πατρολογίας.**

Δ΄. Ὁ τοίνυν τῶν ἁγίων ἐκείνων ἔρως καὶ τὸ νεῦμα εἰς τοῦτο τὸ ὄρος περιαγαγὼν ἡμᾶς· ἔστησε καὶ τὸν σκοπὸν ἡμῶν ἐν αὐτῷ· καὶ ἀγῶνα θέμενοι τάχα σύστασίν τινα πνευματικήν, κατά γε κρίσιν τὴν ἀνθρωπίνην, ἐν αὐτῷ ἐποιήσαμεν. Καὶ προήγαγεν ἡ τοῦ Θεοῦ χεὶρ ἡ σὺν ἡμῖν τὴν ἐν τῷ ὄρει τούτῳ διαγωγὴν εἰς ἀγαθήν τινα περιφάνειαν· κατὰ συσκηνίας γὰρ ἦμεν ἐν τούτῳ ἀσκούμενοι, καὶ πῇ μὲν *δύο καὶ τρεῖς ἐν τῷ ὀνόματι Κυρίου*, κατὰ τὸ ἱερὸν καὶ θεῖον ἔπος (1), ἐτύγχανον προσκαθήμενοι, πῇ δὲ καὶ πλείονες ἐπὶ τὸ αὐτὸ τὸν κοινοβιακὸν βίον εἵλοντο, καὶ ἀλλαχοῦ δὲ πολυάριθμον στῖφος διῃρημένον ἅμα καὶ ἡνωμένον ἐφαίνετο, ὡς, φέρε εἰπεῖν, λαύραν ἀποσώζειν τούτους, κατὰ τὴν τῶν πατέρων ἀρχαίαν παράδοσιν καθ' ἑκάστην κυριακὴν ἑνουμένους, καὶ τὴν σύναξιν ἅμα ἐπιτελοῦντας, καὶ ὁμιλίας ψυχωφελοῦς ἀλλήλοις μεταδιδόντας, καὶ αὖθις οἴκοι ὑπονοστοῦντας, καὶ καθ' ἡσυχίαν ἐν ψαλμῳδίαις καὶ ἐργοχείροις τὴν ἑκάστης ἑβδομάδος διανύοντας ἑξαήμερον· καὶ πάντα ἦμεν ἀλλήλοις, ἕτερος ὑφ' ἑτέρου πρὸς τὸ τῆς ἀρετῆς ἀνόθευτον ἔργον παραθηγόμενοι· καὶ τὰ τῆς κοινοβιακῆς δὲ ἀκριβείας μετὰ πολλοῦ τοῦ περιόντος τοῖς εἰς τοῦτο τεταγμένοις ἀνεδείκνυτο κατορθούμενα, μὴ κατά τι ἀλλοιούμενα μηδ' ὁπωσοῦν παραχαραττόμενα. Ὢ πῶς ἀδακρυτὶ τὴν τούτων ἐνέγκω μνήμην (2)! Οὐκ ἠκούετο παρὰ τοῖς σὺν ἡμῖν ἐν τῷ Λάτρῳ προσκαθημένοις ἄσεμνός ποτε ὁμιλία· οὐχ ἑωρᾶτο παρ' ἐκείνοις ἀπρεπής ποτε συναυλία· οὐκ ἦν παρ' ἐκείνοις ἔριδος, ἢ μίσους, ἢ βασκανίας ἔνδειξις· οὐκ ἦν παρά τινι τῶν ἐν κοινοβίοις ἐκεῖσε διαιτωμένων ἰδιάζουσα ὅλως καὶ μερικὴ καὶ λαθραία γηΐνου τινὸς ὕπαρξις· ἀλλ' ἦν πᾶσα ἐκεῖ καὶ ἐν πᾶσιν ἁπλῶς πολιτευομένη εὐσχημοσύνη, ἀπραγμοσύνη, ἀκτημοσύνη, ἀγαθωσύνη, ἁγιωσύνη, καὶ ἐπὶ πᾶσι τούτοις τοῖς κατορθώμασι, τῶν ἀρετῶν ἡ κορωνὶς ἡ ταπεινοφροσύνη.

(1) Ματθ. ιή, 20.

(2) Μετελήφθη αὐτολεξεὶ ὁ σχετλιασμὸς ἐκ τοῦ εἰς Βασίλειον **Ἐπιταφίου** Γρηγορίου τοῦ Θεολόγου [Τόμ. Α΄, σελ. 330].

Ε΄. Ἀλλ' ὢ τῶν ἐμῶν κακῶν! Ἔπεισι καὶ κατὰ τῶν μερῶν τῆς Ἀσίας καὶ πάσης τῆς Ἰωνίας τὸ τηνικαῦτα *ἡ μάχαιρα τοῦ Κυρίου κόπτουσα καὶ οὐχ ἡσυχάζουσα, οὐδ' ἀναπαυομένη, οὐδ' εἰς τὸν κουλεὸν αὐτῆς ἀποκαταστῆναι ἀνεχομένη*. Ἐπαφίεται καὶ κατὰ τῶν τοιούτων χώρων *ἡ ἐστιλβωμένη ῥομφαία, τὸ ἐντεταμένον τόξον ἐν τοῖς σκεύεσι τοῦ θανάτου, τὰ βέλη αὐτοῦ τὰ μεμεθυσμένα ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας*. Ἀνάπτεται κἀκεῖσε τὸ *πῦρ, ὃ ἐξεκαύθη ἐκ τοῦ θυμοῦ τοῦ Κυρίου, καὶ κατέφαγε τὴν* Ῥωμαίων *γῆν, καὶ κατέφλεξε τὰ θεμέλια τῶν ὀρέων*, ταῦτα δὴ τὰ προφητικά, ὅσα διὰ Ἱερεμίου (1) καὶ Δαβὶδ (2) καὶ Μωϋσέως (3) κατὰ τοῦ Ἰσραὴλ παραβαίνοντος ὁ Κύριος ἀποφαίνεται. Τί λέγω *μάχαιραν*, καὶ *ῥομφαίαν*, καὶ *τόξον*, καὶ *βέλη μεθύοντα*, καὶ *πῦρ κεκαυμένον*; τὴν Περσικὴν δεξιάν, καὶ τὴν τῶν Τούρκων ὠμότητα, ἣ τὴν ἑῴαν πᾶσαν ἐξηφάνισε καὶ χαλεπῶς ἐδῄωσε. Τὸ ἄνομον ἔθνος τὸ διολέσαν πόλεις καὶ χώρας, τοῦτο καὶ κατ' ἐκείνης τῆς χώρας τὸν ἴσον ὄλεθρον ἐπιφέρον τοῖς ἐνοικοῦσιν ἔπεισι· καὶ τὸ τῶν ἡμετέρων ἁμαρτιῶν πλῆθος ἐπαυξάνον ὅσαι ἡμέραι τὴν τῶν Ἀγαρηνῶν εὐημερίαν, οὐδὲ τὴν ἐν τούτῳ τῷ ὄρει φυγαδείαν ἡμῖν εἴασεν ἀνενόχλητον· καὶ γὰρ οὐδὲ τρυμαλιά τις διέλαθε τοὺς ἀθέους. Κἀντεῦθεν ὑπὸ τοῦ τοιούτου δέους συνελαυνόμενοι δευτέραν μετανάστευσιν ἐποιήσαμεν, καταφρονήσαντες, ἵν' οὕτως εἴπω, καὶ ποιμαντικῆς χειροτονίας, ἣν οὐχ ἑκόντες (πῶς γὰρ ἂν αὐτοὶ τοιοῦδε μεγίστου κατετολμήσαμεν πράγματος;), ἀλλὰ καὶ λίαν ἀέκοντες ἀνεδεξάμεθά τε ὁμοῦ καὶ ἐπωμισάμεθα, καὶ ἔνοχοι γεγονότες ἴσως τῆς ἐπὶ προστασίᾳ δίκης (4)· τὸ γὰρ ὄρος τοῦτο τοῦ Λάτρου ἡμῖν ἐνεπιστεύθη παρὰ

(1) Ἱερεμ. κθ', 6.
(2) Ψαλμ. ζ', 13-14.
(3) Δευτερονόμ. λϐ', 42, καὶ 22.
(4) Αἰνίττεται ἴσως ἐν τούτοις τὰ ὑπὸ Ἱερεμίου ἐν κεφ. κγ' καὶ ἑτέρων προφητῶν περὶ τῶν ποιμένων λεγόμενα.

τῆς πατριαρχικῆς μακαριότητος (1), καὶ τὴν τοῦ *πρώτου* (2) κλῆσιν ἔσχομεν ἐν αὐτῷ, καὶ τάχα ἔδει ἡμᾶς καὶ τούτῳ ἐναποθανεῖν κατὰ τοὺς ἰσχυρογνώμονας τῆς δικαιοσύνης λογισμούς. Ἀλλ' ἡ ἀνθρωπίνη ἀσθένεια ἡ ἐπιστρεφομένη ἀεὶ εἰς τὴν φιλανθρωπίαν τοῦ Κυρίου καὶ ταύτῃ θαῤῥοῦσα ἐθαρσοποίησεν ἡμᾶς ὡς οὐδὲν ἀδικοῦμεν καὶ πάλιν μεταναστεύοντες, διὰ τὸ πολὺ τῆς ἐπηρείας τῶν εἰρημένων ἐχθρῶν.

Ϛ'. Τῷ τοι καὶ εἰς Στρόβηλον ἦλθον πόλιν παραθαλασσίαν (3), τὴν τῶν βαρβάρων ὡςανεὶ ἐκκλίνων ἀπήνειαν, ἔχων ἐφεπομένους μοι καὶ ἐνίους τῶν ἀδελφῶν, οἷς τὸ μεθ' ἡμῶν ξενιτεύειν εὐκταῖον ἐδόκει καὶ ἐπιεικῶς καταθύμιον. Πλὴν ἀλλ' οὔπω εὐδόκησεν ἡ θεία χάρις ἡμᾶς ἀνεθῆναι καὶ ἀναπαύλης μεταλαχεῖν. Ταῦτ' ἄρα καὶ οὐδὲ ἐνταῦθα ποσῶς ἠρεμήσαμεν τῷ αὐτῷ φόβῳ πολιορκούμενοι. Ἐκεῖσε δ' οὖν ἐντυχὼν ἡμῖν ἀνὴρ εὐλαβὴς καὶ κατὰ τὸ γένος περίβλεπτος (ἰθαγενής τε γὰρ ἦν καὶ τῶν εὖ γεγονότων, καὶ πάντοθεν ἀπεβλέπετο), θεοφιλὴς τὸν τρόπον, ἐπιεικὴς τὴν γνώμην, σεμνὸς τὸ εἶδος, τὸ ἦθος κόσμιος, μοναχὸς τὸ σχῆμα, τὴν κλῆσιν Ἀρσένιος, τὴν ἐπωνεμίαν Σκηνούριος, ὅλος ἐγεγόνει τῆς θεραπείας τῆς ἡμετέρας· ὅς ἥκιστα μὲν καὶ πρὶν ἡμῖν ἐτύγχανεν ἀγνοούμενος, τηνικαῦτα δ' ἐπὶ μᾶλλον τῷ σπαρτίῳ τῆς πρὸς ἡμᾶς ἀγάπης πνευματικῶς συνεδέδετο. Καὶ πρῶτα μὲν τὸ κατὰ τὴν Στρόβηλον

(1) Κοσμᾶν τὸν Α' νοεῖ, πατριαρχήσαντα τῷ 1075 ἕως τοῦ 1081, παρ' οὗ τὴν τοῦ Λάτρου ἐγκεχείριστο προστασίαν, ὡς ἀναφέρεται ἐν τῷ τοῦ πατριάρχου Νικολάου ὑπομνήματι [ἀριθ. 17 τῶν ἐν τῷ τῆς μονῆς γραμματοφυλακίῳ ἐκκλησ. ἐγγράφων].

(2) Ἐκ τούτου καὶ ἐπωνομάσθη ὁ μακάριος: **Λατρηνὸς** ἢ **Ὁ τοῦ Λάτρου**, ὑπακουομένου τοῦ: **πρῶτος** ἢ **ἀρχιμανδρίτης**, ὡς ἐν τῷ **Βίῳ** αὐτοῦ ἀναφέρεται.

(3) Ὁ δὲ ὑπομνηματιστὴς τῶν τῆς Ἐκκλησίας Μηναίων τὴν Στρόβηλον **φρούριον παράλιον** λέγει, ὑπὸ τὸ θέμα τῶν Κυβεῤῥεώτων κείμενον [Ἴδ. **Ὑπόμν. εἰς τὴν ή Μαρτίου**]· **νῆσον** δὲ ὁ Θεοφάνης [**εἰς Κωνστ. Πορφυρογέν.** σελ. 388. Bonn.] καὶ Λέων ὁ Γραμματικός [σελ. 294. Bonn.], ἴσως διὰ τὸ τοῦ τόπου χερσονησίζον, ὡς λέγομεν κατωτέρω. Περὶ μὲν οὖν τῆς κλήσεως καὶ τῶν ὁρίων τοῦ θέματος τούτου φησὶ Κωνϛ. ὁ Πορφυρογέννητος ταῦτα: «**Κιβύῤῥα πόλις, ἐξ ἧς καὶ τὸ θέμα τὴν ἐφύβριστον καὶ πονηρὰν ὀνομασίαν ἐκληρονόμησεν . . . . . Τὸ δὲ θέμα τῶν Κιβυῤῥαιωτῶν ἀπάρχεται μὲν ἀπ' αὐτῆς τῆς Σελευκείας, τὰ πρὸς θάλασσαν τῆς Ἀνατολῆς κειμένης, καταλήγει δὲ πρὸς μῆκος ἐπὶ δυσμὰς ἕως αὐτῆς**

προσὸν αὐτῷ μοναστήριον (1) ἀνετίθη μοι· ὡς δ' οὐχ οἷός τε ἦν ἐκεῖσέ με κατασχεῖν, προσωχθικότα καθάπαξ τοῖς τῆς ἑῴας τόποις διὰ τὰς συνεχεῖς ἐκ τοῦ δέους τῶν βαρβάρων μεταναστεύσεις (καὶ γὰρ ὅσον οὐδέπω κἀν τῇ Στροβήλῳ ἡ τῶν Περσῶν ἐπέλευσις προσδόκιμος ἐνομίζετο), ἀντιβολεῖ πρὸς τὴν νῆ-

**Μιλήτου τῆς πόλεως . . . . ἐν ᾧ κεῖται ἤτε Μύλασσα, πόλις διάφημος . . . . ἤτε Μύνδος, καὶ ἡ καλουμένη Στρόβηλος, ἤτε Ἁλικαρνασσὸς** κτλ. » [Περὶ Θεμ. ΙΔ'.]. Ἔστι τοίνυν ἡ Στρόβηλος βουνὸς τῆς Καρικῆς παραλίας στρομβώδης τῷ σχήματι, κατὰ τὸν καρπὸν τῆς στροβιλέας, ἀφ' οὗ πάντως ἔλαχε καὶ τῆς κλήσεως (ὅθεν καὶ Συμεὼν Μάγιστρος καὶ Λογοθέτης φησὶν ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ: «**ὁμοίως δὲ καὶ Στόβηλος** [γρ. **Στρόβηλος**] **ὠνομάσθη ἀπὸ τῆς τοπικῆς θέσεως** [γρ. ἴσ. **φύσεως**] ». Σελ. 464. Paris.), προβεβλημένος εἰς τὴν θάλασσαν καὶ ἀκρωτήριον σχηματίζων χερσονησοειδές. Κεῖται δὲ κατέναντι τῆς τῶν Κῴων πόλεως, ἀφ' ἧς διέχει περὶ τοὺς πεντήκοντα σταδίους, καὶ καλεῖται ὑπὸ τῶν ἐγχωρίων **Βρηόκαστρον** (= Ἑβραιόκαστρον). Ἐπὶ τῆς κορυφῆς αὐτοῦ ὁρῶνται ἔτι τὰ κατερηριμμένα τείχη τοῦ μοναστηρίου, οὗτινος κατωτέρω μνείαν ποιεῖται ὁ ὅσιος πατήρ. Ἐπὶ δὲ τῆς ἀνατολικῆς πλευρᾶς τοῦ βουνοῦ δείκνυται μακρὰ σειρὰ τειχῶν ἀρχαίου φρουρίου, ἀπὸ τῆς ἀκρωρείας ἀρχομένων καὶ ἄχρι τῶν κρασπέδων αὐτοῦ καθηκόντων. Ἔκειτο δὲ πιθανῶς ἡ πόλις ἐπὶ τοῦ ἰσθμώδους τοῦ βουνοῦ μέρους, ὅπου ὁρῶνται ἐρείπια. Ἀγνοούμενον ὅμως ἐστὶ πῶς ὠνομάζετο αὕτη ὑπὸ τῶν ἀρχαιοτέρων. Ἀλλ' οὐκ ἀπιθάνως εἰκάσειεν ἄν τις εἶναι τὸ τοῦ Στράβωνος **Τέρμερον**, ἐξ ὧν φησιν: « **Ἑξῆς δὲ** [τῆς Ἁλικαρνασσοῦ] **ἐστιν ἄκρα Τερμέριον Μυνδίων, καθ' ἣν ἀντίκειται τῆς Κῴας ἄκρα Σκανδαρία, διέχουσα τῆς ἠπείρου σταδίους τεσσαράκοντα· ἔστι δὲ καὶ χωρίον Τέρμερον ὑπὲρ τῆς Κῴας** » [Βιβλ. ΙΔ'. Τόμ. Γ', σελ. 38]· περὶ οὗ τῶν ὑπομνηματιστῶν τις τοῦ Γεωγράφου, ὁ σοφὸς Παλμέριος, οὐκ ἀπεικότως ὑπετόπασε γεγραφέναι τὸν Στράβωνα: « **ὑπὲρ τῆς ἄκρας** » ἀντὶ τοῦ: **ὑπὲρ τῆς Κῴας**· ἵνα νοηθῇ δηλονότι ἡ ἄκρα τοῦ Τερμερίου, περὶ οὗ καὶ ὁ λόγος τῷ Γεωγράφῳ. Οὐ μὴν ἀλλὰ καὶ ὁ λόγος αὐτὸς πείθει τὸ τῆς ἄκρας ὄνομα ἐκ τοῦ πλησιοχώρου μετειλῆφθαι Τερμέρου μᾶλλον, ἢ ἐκ τοῦ τῆς Κῴας [Ἴδ. σελ. 970. Amstelod. 1707]. Ταύτην δέ μου τὴν εἰκασίαν ἐπιῤῥώνυσί πως καὶ Πλίνιος λέγων: « **Τέρμερα πόλις αὐτόνομος** (libera) », ἣν ἐν ταῖς τῆς Καρίας καταλέγων πόλεσιν αὐτοῦ που τοποθετεῖ [Hist. Natur. V, 29.]. Ἀλλὰ καὶ Στέφανος ἐν τῷ **Περὶ πόλεων** λέγει: « **Τέλμερα, πόλις Καρίας,** κτλ. » (ἐπ' αὐτοῦ ἴσως ὀνομαζομένη οὕτω). Καί μοι σημείου, ὅτι ἀνὰ πᾶσαν τὴν ἀντίπορθμον τῇ Σκανδαρίᾳ ἄκρᾳ Καρικὴν παραλίαν ἄχρι τῆς Μύνδου (**Γκιουμουσλοῦ** τουρκοβαρβ. οὐχὶ δὲ **Μεντεσέ**, ὥς τινες τῶν ἡμετέρων γράφουσι· **Μεντεσὲ** γὰρ καλοῦσιν οἱ Τοῦρκοι τὸ τῆς Καρίας θέμα ἀπὸ **Μέντες** τοῦ κατασχόντος τὴν χώραν, ὃν **Μανταχίαν** καλεῖ ὁ Δούκας [**Ἱστορ. Βυζαντ.** κεφ. 6'.], **Μαεδὲς** δὲ ὁ Φραντζῆς [Α', κϛ']), οὐδαμοῦ εὕρηνται πόλεως εἴτε φρουρίου ἴχνη, ὅτι μὴ μόνον ἐν τῇ Στροβήλῳ. Τὸ δὲ τοῦ Γεωγράφου: **Χωρίον**, ἐκληπτέον ἀντὶ τοῦ **Τόπος ὠχυρωμένος, φρούριον.**

(1) Ὠνομάζετο ἡ μονὴ αὕτη: **τοῦ Καβαλούρη** ἀπὸ τοῦ πρώτου αὐτῆς κτήτορος Κωνσταντίνου, τοῦ οὕτω πως ἐπονομαζομένου, καὶ ἦν τιμωμένη ἐπ' ὀνόματι τοῦ Προδρόμου, ὡς τὸ περὶ αὐτῆς χρυσόβουλλον Νικηφόρου τοῦ Βοτανειάτου ἀναφέρει [ἀριθ. 1 τῶν ἐν τῷ τῆς μονῆς γραμματοφυλακίῳ πολιτικῶν ἐγγράφων].

σον Κῶ διαπεραιωθῆναι καὶ τὰ ἐν ταύτῃ τούτῳ γονικόθεν (1) περιελθόντα κτήματα διαθρῆσαι, καὶ ὅπη τούτων βουλοίμην μονήν τε ἀνεγεῖραι καὶ ταύτῃ πᾶσαν τὴν ἐκείνου κτῆσιν ἀφιερῶσαι. Πείθομαι τῷ ἀνδρὶ καὶ τῇ Κῷ ταχέως ἐπιφοιτῶ· περινοστῶ τὰς κτήσεις τοῦ Σκηνουρίου· ἐντυγχάνω λόφῳ μεγίστῳ καὶ ἀοικήτῳ, χαρίεντι δὲ ἄλλως τὰ πρὸς ἀέρα καὶ εὐύδρῳ καὶ εὐκραεῖ· Πηλίον τοῖς νησιώταις τὸ ὄρος τοῦτο κατωνομάζετο (2)· ὃ καὶ ὡς εἶδον κύκλῳ φάραγξί τισι και αὐτομάτοις κοιλότησι καθ' αὑτὸ τῶν πέριξ διαστελλόμενον, καὶ οἱονεί τι φρούριον νομιζόμενον, ἥσθην τε αὐτίκα τῇ τοῦ τόπου θέσει καὶ σεμνεῖον ἐκεῖσε δείμασθαι προτεθύμημαι· ᾤμην γὰρ ἐν αὐτῷ τῷ ὄρει στῆναί μοι τὰ τῆς ἄλης, καὶ ἀπολαῦσαι μὲν εἰς τέλος τῆς ἡσυχίας, εἶτα καὶ τὴν ἐμὴν πηλὸν (3) τῷ Πηλίῳ τούτῳ ἐγκεκληρῶσθαι· ἀλλ' οὐχὶ καὶ Θεός, ὡς ἔοικεν, ἐπεψηφίζετο τῇ βουλῇ.

Ζ'. Κἀντεῦθεν ἐγὼ μέν, καί τοι πολλοὺς καὶ ἀνεκδιηγήτους

(1) Πρῶτον ἤδη κατεχωρίσθη ἡ λέξις αὕτη ἐν τῇ Στεφ. Α. Κουμανούδη **Συναγωγῇ λέξεων ἀθησαυρίστων ἐν τοῖς ἑλλην. λεξικοῖς**, ἀπὸ χρυσοβούλλου Μιχ. τοῦ Παλαιολόγου ληφθεῖσα.

(2) Πηλεῖον καλεῖται μέχρι τοῦ νῦν αὐτός τε ὁ βουνὸς καὶ ἡ ἐπὶ τῆς δειράδος αὐτοῦ συνόλως ὑφισταμένη ἔτι κώμη, ἥτις ἐξοικισθεῖσα τῷ 1813 ἔτει, αἰτίᾳ τοῦ ἐνσκήψαντος καὶ μικροῦ δεῖν τὴν νῆσον πᾶσαν ἐξολοθρεύσαντος δεινοῦ λοιμοῦ, κατελείφθη ἔρημος, νέαν ὁμώνυμον κώμην κτισάντων τῶν οἰκητόρων ἐν τῷ πεδίῳ, οὐ μακρὰν τοῦ βουνοῦ· δι' ὃ καὶ λέγεται ἡ κώμη αὕτη **Κάτω Πηλεῖον**, πρὸς διαστολὴν τῆς ἐγκαταλελειμμένης, ἥτις καλεῖται **Ἐπάνω Πηλεῖον**. Ἐν ταύτῃ δὲ τῇ νέᾳ κώμῃ ὁρῶνται σποράδην ἀρχαιοτήτων λείψανα, καὶ μάλιστα παρὰ τῇ πηγῇ τῇ καλουμένῃ **Χαρμύλειον**, ἔνθα δείκνυται ὑπόγειόν τι ἡρῷον (ἴσως αὐτοῦ τούτου τοῦ Χαρμύλου περὶ οὗ κατωτέρω), οὗ ὕπερθεν κεῖται ναΐδιον τοῦ Σταυροῦ, καὶ στήλη λίθου λευκοῦ ἐν αὐτῷ ἐντετείχισται ταύτην φέρουσα τὴν ἐπιγραφήν, γράμμασι τῆς ἀκμῆς τῆς Ἑλλάδος: « **Ἱερὰ ἁ γᾶ καὶ ἁ οἰκία|ἁ ἐπὶ τᾷ γᾷ καὶ τοὶ κᾶ|ποι καὶ ταὶ οἰκίαι ταὶ|ἐπὶ τῷ κάπῳ θεῶν|δυόδεκα καὶ Χαρμύλου|ἥρω[ος] τὸν Χαρμύλεων.** » Ἀπέχει δὲ τῆς πόλεως ἡ κώμη περὶ τοὺς ἑξήκοντα σταδίους πρὸς δυσμάς. Ἔγωγε οὖν **Πηλεῖον** γραπτέον οἶμαι τὸ τῆς κώμης ὄνομα, δηλονότι ὡς ἀπὸ τοῦ Αἰακίδου Πηλέως· ἱστόρηκε γὰρ Καλλίμαχος ἐν Κῷ ἀποθανεῖν αὐτόν [παρὰ τῷ Σχολ. Πινδ. Πύθ. Γ', ϛ. 107]. Οὐκ ἀπεικὸς τοίνυν αὐτόθι ταφῆναι τὸν ἥρωα, καὶ ἀπὸ τοῦ ἡρῴου αὐτοῦ τὸν τόπον οὕτως ὀνομασθῆναι.

(3) Χαριέντως κατεσκεύασεν ἐν τῷ λόγῳ παρήχησιν, **Πηλὸν** εἰπὼν τὸ γεηρὸν καὶ φθαρτὸν σῶμα. Οὕτως ἔπαιξε μικρῷ κατωτέρω καὶ πρὸς τὸ τῆς Πάτμου ὄνομα. Πλὴν ἀλλ' ὑποβαρβαρίζει ὁ λόγος θηλυκῶς ἐκφερομένης τῆς λέξεως: **Πηλός**.

ἀνατλὰς ἐν τῷ Πηλίῳ κόπους, ἐπ' ἐσχάτων ἥμαρτον τοῦ σκοποῦ. Ἐδόκει δὲ ἄρα τῷ Κρείττονι τὴν Πάτμον μετὰ πότμον ἕξειν με πρὸς ταφήν. Ταῖς γὰρ τοῦ ῥηθέντος ἀδελφοῦ κυροῦ Ἀρσενίου πεισθεὶς ὑποθημοσύναις καὶ παρακλήσεσι (παραχωρήσω γὰρ τῷ λόγῳ μικρὸν ἐνδιατρίψαι τοῖς περὶ τὸ Πηλίον τῶν καθ' ἡμᾶς διηγήμασι), ταῖς οἰκοδομαῖς ἐνέβαλον ἐμαυτόν, συνάρασθαι μὲν κἀκείνου καὶ ὅλῃ χειρὶ συμπνεῦσαι (1) τὸ πρῶτον ὑπισχνουμένου, μετ' οὐ πολὺ δ' ἐν αὐταῖς τοῦ ἔργου ταῖς εἰςβολαῖς δρασμὸν μεμελετηκότος, καὶ νύκτωρ ἀναχωρήσαντος, καὶ ἀμεταστρεπτὶ πρὸς τὰ Ἱεροσόλυμα καταπλεύσαντος. Πλεῖστα τοιγαροῦν μογήσας ἐγώ, καὶ μυρίους ἱδρῶτας καὶ πόνους ὑπενεγκὼν ἐν οὕτω καιροῖς δυςκόλοις καὶ πάντῃ τῶν ἀναγκαίων σπανίζουσι, τῇ ἄνωθεν συνεργείᾳ ναὸν ἐκ βάθρων ἐδειμάμην καὶ εἰς τέλος ἀπήρτισα περικαλλῆ τε καὶ ὡραιότατον, ἐπ' ὀνόματι τοῦτον ἱδρύσας τῆς ἁγνῆς Θεομήτορος. Καὶ μέν τοι καὶ θριγκίον (2) καὶ κέλλας (3) καὶ τἄλλα ἐποιησάμην, ὅσα τὸ αὐτοτελὲς καὶ ἀπηρτισμένον χαρακτηρίζουσι φροντιστήριον (4)· οὗπερ ἀγάμενοι τὴν εὐπρέπειαν, καὶ ἀρετῆς ἀτεχνῶς αὐτὸ λογισάμενοι

(1) Γραπτ. ἴσως: **Συμπονῆσαι.**

(2) Τοῦθ' ὅπερ ἐν τῷ κωδικέλλῳ αὐτοῦ (ἀριθ. 3 τῶν ἐν τῷ γραμματοφυλακίῳ ἐκκλησ. ἐγγράφων) **Καστέλλιον** ὀνομάζει (ἀπὸ τοῦ λατιν. Castellum)· **Θριγκίον** γὰρ παρὰ τοῖς νεωτέροις ἐκαλεῖτο τὸ περιτείχισμα, ὡς ἔχει καὶ παρὰ Νικηφ. τῷ Βρυεννίῳ: «**Θριγκίῳ πλινθίνῳ ἀναπεπταμένον πεδίον ἐστὶ κυκλούμενον**» [Ἱστορ. Δ', λδ'.]. Σώζεται δ' ἔτι αὐτό τε τὸ περιτείχισμα καὶ ὁ ἔνδον αὐτοῦ ναὸς τῆς Θεοτόκου, πρόπαλαι μὲν παρημελημένος, εἰςέτι δ' οὖν ὑποφαίνων τοῦ προτέρου κάλλους τὸν τύπον. Ἐπ' αὐτῆς δὲ τῆς τοῦ βουνοῦ ἄκρας ἵστανται τὰ τείχη φρουρίου βυζαντινοῦ, ὅπερ ἦν κατεχόμενον πρώην μὲν ὑπὸ τῶν τῆς Ῥόδου Ἱπποτῶν τῶν ἑλόντων καὶ τὴν Κῶν τῷ 1314, καὶ ἄχρι τοῦ 1522 ἀρξάντων αὐτῆς, ὕστερον δὲ καὶ ὑπὸ τῶν Ὀθωμανῶν· ἀλλ' ἀπὸ τοῦ ἐξοικισμοῦ τοῦ Πηλείου ἐγκαταλέλειπται καὶ αὐτὸ ἔρημον φρουρᾶς.

(3) Ἔκφυλον καὶ τοῦτο, παρὰ τὸ λατιν. Cella (ἑλ. Κοιτών, Ταμιεῖον), ὅθεν τὸ ὑποκοριστ. **Κελλίον.** Ἔοικε δὲ παρειςαχθεῖσα ἡ τῆς λέξεως χρῆσις ἀπὸ τῆς τοῦ μοναχικοῦ βίου συστάσεως, τουτέστι μετὰ τὸ δεύτερον ἥμισυ τῆς Γ' ἑκατονταετηρίδος. Πρῶτον γάρ, ὅσον ἐγὼ οἶδα, ἀπαντᾷ παρ' Ἀμμωνίῳ τῷ Σιναΐτῃ: **Κελλεῖον** γεγραμμένη [σελ. 89 τῆς ὄπισθεν ἐν σελ. 67 ὑποσ. 3 μνημονευθείσης ἐκδόσεως]. Ὅθεν καὶ ὁ θεῖος Χρυσόστομος: «**Ἔχε οἴκημα ἔνθα Χριστὸς παραγίνεται· εἰπέ, τοῦτο τὸ κελλίον τοῦ Χριστοῦ** κτλ. [**Ὁμιλ. εἰς τὰς Πράξ. με'**. Τόμ. Θ', σελ. 343. Venet.].

(4) Συνωνυμεῖ τῷ: **Μοναστήριον.**

ἐργαστήριον τῶν οἰκητόρων τῆς ῥηθείσης νήσου οἱ εὐσεβέστεροι καὶ φιλόχριστοι, προσενέξεις, ὡς ἰσχύος ἕκαστος εἶχε καὶ προαιρέσεως, ἐν αὐτῷ πεποιήκασιν, οὐκ ἐν κινητοῖς μόνον, ἀλλὰ καὶ ἐν ἀκινήτοις θεωρουμένας. Ἐφ᾽ οἷς δὴ πᾶσι, τοῖς τε δηλονότι τοῦ Σκηνουρίου κτησειδίοις καὶ τοῖς διενεγκοῦσιν (1) ἡμῖν ἀπὸ προσενέξεων, καὶ χρυσόβουλλον *λόγον* ἐπορισάμην τοῦ τηνικαῦτα τῶν ῥωμαϊκῶν σκήπτρων ἐπειλημμένου κυροῦ Νικηφόρου τοῦ Βοτανειάτου (2), τὴν αὐτῶν ἡμῖν κατοχὴν ἐδράζοντα καὶ στηρίζοντα.

Η΄. Καὶ τάχα πρὸς βραχὺ ἐδόξαμεν ἠρεμεῖν. Ἀλλ᾽ ὅτι μεταξὺ τῶν οἰκουμένων ἦμεν διάγοντες, καὶ τοῖς ἡμῖν ἀνακειμένοις ἀγχιτερμονοῦσαι τῶν ἐποίκων τῆς τοιαύτης νήσου κτήσεις ἐτύγχανον, πράγματα εἶχον οἱ σὺν ἐμοὶ ἀδελφοί, καὶ διαφοραὶ αὐτοῖς πρὸς τοὺς πλησιάζοντας ἀπετίκτοντο· κἀντεῦθεν ὄχλησις ἡμῖν ἐπεγίνετο, τῶν ἀστικῶν θορύβων οὐδὲν διαλλάττουσα. Ὑπέθραττεν οὖν με *δέος οὐκ ἀδεές*, τοῦτο δὴ τὸ παροιμιῶδες (3), μήποτε ἄρα τῶν ἐμῶν ἀδελφῶν ἐγκαλινδουμένων κατὰ πᾶσαν ἀνάγκην, καί, ἵν᾽ οὕτως εἴπω, ἰλυσπωμένων τῇ συρφετώδει τύρβῃ τῶν βρασμῶν τῶν βιωτικῶν, καὶ κοσμικοῖς ἀνδράσι συμμιγνυμένων, καὶ δόσεις πρὸς αὐτοὺς καὶ λήψεις ἐργαζομένων, καὶ διαμάχας ὡς τὰ πολλά, συμβαίη τινὰ τοῦ πονηροῦ τοῖς λόγοις περιπαρῆναι, καὶ ταῖς ἐκείνου φεῦ! γενέσθαι πάγαις ἁλώσιμον, καί γε *ψυχὴν* ὁ τάλας *ζημιωθήσομαι*, ἧς οὐδ᾽ *ὁ κόσμος ἅπας*, κατὰ τὸ ἱερὸν καὶ θεῖον ἔπος (4), πέφυ-

(1) Δηλαδὴ τοῖς περιελθοῦσιν εἰς τὴν ἡμῶν κυριότητα, κατὰ νεολογικὴν τοῦ ῥήματος ἐκδοχήν.

(2) Οὐκ ἀπεσώθη τὸ χρυσόβουλλον τοῦτο.

(3) Τουτέστι φόβος οὐκ ἄνευ λόγου, καὶ ὡς ἂν εἴποιμεν κοινότερον: **Φόβος φοβερός.** Εὕρηται δὲ ἡ παροιμία παρὰ Πλάτωνι [**Συμποσ.** σελ. 108. Bekk.], ἔνθα ὁ Σχολιαστής: «**Ἀδεὲς δέος ἐπὶ τῶν τὰ μὴ ἄξια φόβου δεδιότων. Ὅμοιον τούτῳ καὶ τὸ ψοφοδεὴς ἄνθρωπος**». Παρὰ δὲ Σουίδᾳ ἔχει οὕτως: «**Ἀδεὲς δέδιας δέος, λεγόμενόν τι ἐστὶν ἐπὶ τῶν τὰ μὴ φοβερὰ φοβουμένων**» [λέξ. **Ἀδεές.**— Πρβλ. καὶ Διογενειαν. Α΄. 16].

(4) Ματθ. ις΄, 26. — Μάρκ. ή, 36. — Λουκ. θ΄, 25.

κεν *ἰσοστάσιος*. Οὗτος ὁ φόβος, τοῦτο τὸ δέος αὐτῆς μου μέσης ἥπτετο τῆς καρδίας, καί μοι συνέτριβε τὰ ὀστᾶ, ἐξεμύζα δὲ καὶ τοὺς μυελούς, καὶ διέσπα τὰ νεῦρα, καὶ τὰς σάρκας διεμερίζετο, καὶ συνεχῶς ἐπῇδον κατ' ἐμαυτοῦ: *Μεταναστεύου*, τάλαν, *ὡς στρουθίον* (1) ἐπὶ τὰς ἀοικήτους πάντῃ καὶ πανερήμους· οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἤρεμον ἀνῦσαί σε βιοτήν, *ἕως οὗ εὕρῃς τόπον*, κοσμικῶν ἐπιμιξίας τέλεον ἀνεπίδεκτον, *σκήνωμα* (2) ἡσυχίας σαυτῷ καὶ τοῖς μετὰ σοῦ, καὶ κατοικίαν πρὸς τὸ τῆς σωτηρίας ἔργον συντείνουσαν ἐς τὰ μάλιστα.

Θ΄. Ταῦτα διανοηθείς, καὶ τοὺς ἀδελφούς μου συνῳδά μοι περὶ τούτων εὑρηκὼς προαιρουμένους τε καὶ διαλεγομένους, εἰςηγουμένους τε περὶ τοῦ νησίου τοῦ πρὸς ἕω μὲν κειμένου τοῦ πόντου τοῦ Ἰκαρίου (3), τῆς ἠπείρου δὲ καὶ τῶν περιβλέπτων νήσων πάμπαν ἀπῳκισμένου· Πάτμος ἡ κλῆσις τῷ νησιδίῳ· ὡς ἔρημος μὲν ἀνθρώπων ἡ ἐσχατιά, ἀθόρυβος δὲ ἡ διαμονὴ καὶ ἀπαρόδευτος ἡμέροις πλοίοις (4) ἡ ἐλλιμένισις, ὅλος ἐγενόμην τῆς τοῦ νησίου τοῦδε ἐφέσεως. Ἐπέτεινε δέ μοι τὸν πόθον καὶ ἡ ἐν αὐτῷ τοῦ ἐν ἀποστόλοις ἀγαπητοῦ τῷ Χριστῷ, τοῦ Εὐαγγελιστοῦ καὶ παρθένου ἐμφιλοχώρησις (5), καὶ ἡ ἀοίδιμος ὀπτασία καὶ παμμακάριστος ἐκείνου ἔκστασις καὶ ἀλλοίωσις (6), ἥ τε τῆς θεολογίας ὑψηλὴ καὶ οὐράνιος μυσταγωγία, καὶ ἡ τοῦ Εὐαγγελίου βροντώδης καὶ θεόφθογγος ὑπαγό-

(1) Ψαλμ. ι΄, 1.

(2) Καὶ τοῦτο παρὰ τὸ Δαβιτικόν: « **Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακὼβ** » [Ψαλμ. ρλά, 5].

(3) Τὰς δύο ταύτας λέξεις γράφων ὁ ὅσιος πατὴρ εἶχε πάντως ἐν νῷ τὸ ὁμηρικόν:

**Κινήθη δ' ἀγορή, ὡς κύματα μακρὰ θαλάσσης**
**Πόντου Ἰκαρίοιο** . . . . . . . . ['Ιλ. Β. 144].

(4) **Ἥμερα πλοῖα** ἐκάλεσε τροπικῶς τὰ μὴ ληστρικά, τουτέστι τὰ ἐμπορικά. Οὕτω καὶ Πλάτων: **Ἡμερωτάτας ὁδοὺς** εἶπε τὰς ἀσφαλεῖς ἀπὸ κακοποιῶν ἀνθρώπων [**Νόμ.** ς΄, σελ. 761].

(5) Διὰ τὸ εὔφημον ἴσως ἐχρήσατο τῷ: **Ἐμφιλοχώρησις,** ἵνα μὴ εἴπῃ: **Ὑπερορία.** Ἡ λέξις δ' αὕτη λείπει ἐν τοῖς λεξικοῖς.

(6) Ὁπότε δηλονότι ἑώρακε καὶ ἔγραφε τὴν **Ἀποκάλυψιν.**

ρευσις (1)· δι' ἃ πάντα καὶ τῷ Σιναίῳ παραβάλλων τὴν Πάτμον, ἐκείνου ταύτην ὑπερετίθουν (2), κατὰ τοσοῦτον τὸ πρωτεῖον ταύτῃ ἐπιδιδούς (3), καθ' ὅσον προτιμοτέραν οἶδα τῆς σκιᾶς, τὴν χάριν· καὶ τῶν ἐμφάσεων, τὴν ἀλήθειαν· τοῦ γράμματός τε, τὸ πνεῦμα· καὶ τῆς ἐν πλαξὶ νομοθεσίας, τὸ Εὐαγγέλιον. Ἀμέλει καὶ τὴν ἄνωθεν ῥοπὴν συνέριθον ἐπικαλεσάμενος ἀφικνοῦμαι πρὸς τὸν εὐσεβῆ καὶ θεοκυβέρνητον ἡμῶν αὐτοκράτορα, τὸν μέγαν ἐν βασιλεῦσι κῦριν Ἀλέξιον. Εἰσάγομαι πρὸς αὐτόν, δεξιᾶς ἀξιοῦμαι τῆς ὑποδοχῆς, ἀμέσως ἐντυγχάνω τῷ θειοτάτῳ κράτει αὐτοῦ, κοινοῦμαι τὴν γνώμην, ἀναφέρω τὰ τοῦ σκοποῦ, ἀνακαλύπτω τὰ τῆς ἐφέσεως, θερμῶς ἀντιβολῶ περὶ τοῦ νησίου τῆς Πάτμου, καὶ λαβεῖν αὐτὸ διὰ δωρεᾶς βασιλικῆς παντελεύθερον ἐξαιτῶ. Ἀλλ' ὅ γε κράτιστος βασιλεὺς τὰ μὲν τῆς οἰκείας εὐμενείας βασιλικῶς ἡμῖν ἐδίδου καὶ δαψιλῶς, ἐλιπάρει δ' οὖν ὅμως τὴν οἰκτρότητα τὴν ἐμὴν μονονοὺ καὶ αὐτὴν τὴν στεφηφόρον ὑποκλίνων μοι κεφαλήν, ὡς μὴ κατὰ τὴν Πάτμον ἐκπερᾶναι τὰ τοῦ σκοποῦ, ἀναδέξασθαι δὲ τήν τινος ὄρους, ᾧ κλῆσις ἦν *Κελλία* καὶ *Ζαγορά* (4) (μοναχοῖς δὲ ἄρα τοῦτο πάλαι πέφυκεν ἀνακείμενον), προστασίαν. Καί με ἴσως πέπεικεν ἂν ἡ τῆς βασιλικῆς μεγαλειότητος ἔνστασις, εἰ μὴ τοὺς αὐλιζομένους κατὰ τὸ τοιοῦτον ὄρος εὕρισκον μοναχοὺς

(1) Ἀσπάζεται ἄρα καὶ ὁ ἱερὸς οὗτος ἀνὴρ τὴν γνώμην τινῶν τῶν τῆς Ἐκκλησίας ἀρχαιοτέρων πατέρων, καθ' οὓς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον ἐγράφη μὲν ἐν Πάτμῳ, ἐξεδόθη δὲ ἐν Ἐφέσῳ.

(2) Ἐκ τοῦ ἀχρήστου ποιητικοῦ θέματος: **Τιθέω - ῶ.** Τό μέν τοι σύνθετον τοῦτο οὐχ εὕρηται ἐν τοῖς λεξικοῖς.

(3) Γρ. ἴσως: **Ἀποδιδούς.**

(4) Ζαγορὰ καλεῖται καὶ τὴν σήμερον ἡ ὑπὸ τῶν πάλαι μὲν **Θετταλικὴ Μαγνησία** λεγομένη, **Δεβελτὸς** δὲ μετέπειτα. **Ζαγορὰ** δ' ἐκλήθη ὑπὸ τῶν Βουλγάρων, ᾗ φησι Ζωναρᾶς [**Χρον.** σελ. 156. Paris.] καὶ Κεδρηνὸς [**Σύν. Ἱστορ.** σελ. 541. Paris.]. Ἡ δὲ σλαβικὴ αὕτη λέξις δηλοῖ χωρίον ὄπισθεν ἢ μέσον ὄρους κείμενον [Βλ. Κ. Οἰκον. **Περὶ τῆς συγγεν. τῆς σλαβωνο-ρωσ. γλώσσης πρὸς τὴν ἑλλην.** Τόμ. Β', σελ. 140]. **Κελλίων** δὲ μέμνηται καὶ Ἄννα ἡ Κομνηνὴ ἐν τούτοις: **Καὶ τοῖς μέρεσι τῆς Λαρίσσης ἐγγίσας, καὶ διελθὼν διὰ τοῦ βουνοῦ τῶν Κελλίων,** κτλ. [**Ἀλεξιάδ.** Ε', σελ. 110. Venet. μετὰ τῶν σημειώσ. τοῦ Δουκαγγίου].

ἑτεροῖον τὸν τρόπον ἔχοντας, καὶ τῆς ἐμῆς βουλῆς καὶ γνώμης καὶ πρός γε τὸν μονότροπον βίον (εἰ μὴ φορτικὸν εἰπεῖν) ἀκριβεστέρας διαγωγῆς παντάπασιν ἀποδέοντα (1). Ὡς οὖν δῆλον ἐγεγόνει καὶ αὐτῷ βασιλεῖ τὸ τῶν μοναχῶν πρὸς τὸν ἐμὸν σκοπὸν τελέως ἀσυγκατάθετον, αὖθις ἐξελιπάρουν ἐγὼ καὶ τὴν βασίλειον ᾔτουν περιωπὴν ἐπινεῦσαί μου τῷ περὶ τῆς Πάτμου θελήματι. Καὶ δὴ μεσιτευσάσης εἰς τοῦτο καὶ τῆς μακαρίτιδος δεσποίνης τῆς τοῦ βασιλέως μητρός (2), καὶ πρεσβευσάσης ὑπὲρ ἐμοῦ, τὴν τῆς ἐμῆς οἰκτρότητος αἴτησιν ὁ κραταιὸς ἐπέραινε βασιλεύς· καὶ τέλος, ἵνα μὴ μακρὸν τὸν περὶ τούτων ἀποτείνω λόγον, ὑπεξέστην μὲν ἐγὼ τῷ μέρει τοῦ δημοσίου πάντων τῶν ἀπό τε τοῦ Σκηνουρίου, ἀπό τε ἄλλων προσώπων προςκτηθέντων μοι ἔν τε τῇ Κῷ καὶ ἐν τῇ Στροβήλῳ, μόνα ὑποκρατήσας τὰ ἐν τῇ νήσῳ Λέρνῳ δύο προάστεια (3) ἐκ τοῦ πολλάκις

(1) Ἴδε ἔμπροσθεν τὰ περὶ τούτου ἐν πλάτει ἱστορούμενα ἐν τῷ αὐτοῦ **Βίῳ** § Θ'. καὶ Ι'.

(2) Ἄννα Δούκαινα ἡ Δαλασσηνὴ ἦν ἡ τοῦ Ἀλεξίου μήτηρ, ἧς τὰς ἀρετὰς διὰ μακρῶν ἱστορεῖ ἡ ὁμώνυμος ἔκγονος αὐτῆς [**Ἀλεξιάδ.** Γ', σελ. 67—74.], ἐξ ὧν τὰ βραχέα ταῦτα παρατιθέμεθα: «**Τοσοῦτο ἦν φιλομήτωρ** [ὁ Ἀλέξιος], **καὶ τὴν δεξιὰν ἐδίδου τῆς ἐκείνης γλώττης ὑπηρέτιν, καὶ τὴν ἀκοὴν τῶν ἐκείνης φωνῶν εἰς ἀκρόασιν, καὶ εἰς ἅπαντα ταύτῃ ὁ βασιλεὺς συγκατένευεν ἢ ἀνένευεν, ἐφ' οἷς ἄρα ἐκείνη κατανεύσειεν ἢ ἀνανεύσειεν. Ἐκεῖνος μὲν γὰρ σχῆμα βασιλείας εἶχεν, ἡ δὲ τὴν βασιλείαν αὐτήν. Καὶ ἡ μὲν ἐθεσμοθέτει, διῴκει, τὸ πᾶν ἐπρυτάνευεν, ὁ δὲ τὰς διοικήσεις ἐκείνης καὶ τὰς ἐγγράφους, καὶ τὰς ἀγράφους, τὰς μὲν χειρί, τὰς δὲ φωναῖς ἐπεσφράγιζε. Καί, ὡς οὕτω γε φάναι, ὄργανον ἦν αὐτῇ βασιλείας, οὐ βασιλεύς**». Καὶ μετ' ὀλίγα: «**Ἱερέας δὲ καὶ μοναχοὺς διαφερόντως ἐτίμα, καὶ ξυνδειπνοῦντας εἶχε, καὶ οὐδενὶ ἄτερ μοναχῶν τὴν αὐτῆς τράπεζαν θεάσασθαι ἐνῆν». Δέσποινα** δὲ ὑφ' ἁπάντων προσηγορεύετο, «**τοῦ φιλομήτορος βασιλέως τοῦτο βουλομένου**» [Αὐτόθ. σελ. 63.— Πρβλ. καὶ Ζωναρ. σελ. 296. Paris.].

(3) Κτήματα, ὡς παρὰ τῇ πόλει κείμενα. Ἀδιαφόρως δὲ ἐκάλουν τὴν νῆσον οἱ νεώτεροι Βυζαντινοὶ ὁτὲ μὲν ὀρθῶς: **Λέρον**, ὁτὲ δὲ ἐπενθέσει τοῦ ν: **Λέρνον**, καὶ πάλιν αὖ μεταπλασμῷ τοῦ δευτεροκλίτου εἰς πρωτόκλιτον: **Λέρνην**. Εἰ δὲ καὶ ἀπαντᾷ παρὰ Φωτίῳ καὶ Σουΐδᾳ [ἐν λέξ. **Μελεαγρίδες**] ἡ γραφή: **Λέρνη**, ἀλλ' ἀποδοτέα αὕτη εἰς διαστροφὴν τῶν ἀντιγραφέων μᾶλλον ἢ εἰς πλάνην τοῦ κριτικωτάτου Φωτίου, ὃν οὐδεὶς ποτε, οἶμαι, ὑπολάβοι ἂν τὸ τῆς νήσου ὄνομα τῇ Ἀργολικῇ λίμνῃ συγχῦσαι· κἂν γὰρ μὴ ὑποθῇ τις αὐτὸν τοῦτον εἶναι τὸν ἐν τῇ κατωτέρω μνημονευομένῃ **Διατυπώσει** ὀρθῶς αὐτὸ γράψαντα, πάντως ὅμως συμφήσει μοι ὅτι οὐχ ὅλως ἀθέατος τῆς τοιᾶσδε γραφῆς ἀπελείφθη ὁ ἐν πᾶσιν ὀξυδερκέστατος πατριάρχης. Ὅθεν καλῶς ποιῶν ὁ σοφὸς

ἤδη μνημονευθέντος Σκηνουρίου καὶ τοῦ Καβαλλουρίου (1) κατὰ λόγον δεσποτείας περιελθόντα μοι· ἐδωρήθη δέ μοι διὰ χρυσοβούλλου βασιλικοῦ τό τε νησίον ἡ Πάτμος ἐξ ὁλοκλήρου, τῶν δημοσιακῶν δικαίων καθάπαξ ἀποσπασθέν, καὶ τὰ πλησιάζοντα τούτῳ νησίδια, οἱ Ναρκίοι καὶ ἡ Λειψώ (2), ἔτι τε καὶ

Βόχαρτος προὔτεινε τὴν γνησίαν γραφὴν τοῦ ὀνόματος [Βλ. Sam. Bochart. Hierozoic. τόμ. Β', σελ. 132], τοῦθ' ὅπερ καὶ κριτικῶν ἀπεδέξαντο παῖδες. Κατὰ ταῦτα ἄρα καὶ ὁ τῆς νήσου ἐπίσκοπος καὶ καθ' ἡμᾶς ἔτι οὐκ ὀρθῶς: **Ὁ Λέρνης** καὶ λέγεται καὶ γράφεται· ἐν γὰρ τοῖς παλαιοτέροις χρόνοις **Λέρου** ἐγράφοντο οἱ ἐπίσκοποι αὐτῆς. Οὕτω π. χ. ἀπαντᾷ, α') ἐν τῇ Ε' οἰκουμεν. Συνόδῳ (τῷ 583): **Ἰωάννης ἐπίσκοπος Λέρου.** β') Ἐν τῇ Ζ' (τῷ 783): **Σέργιος ἐπίσκοπος Λέρου.** γ') Ἐν τῇ καλουμένῃ Η' (τῷ 879): **Ἰωσὴφ ἐπίσκοπος Λέρου** [Ὅρα Le Quien Oriens Christian. τόμ. Α', σελ. 945]. δ') Ἐν τῇ ἐπὶ Λέοντος τοῦ Σοφοῦ καὶ Φωτίου πατριάρχου γενομένῃ **Διατυπώσει τῶν μητροπόλεων καὶ ἐπισκοπῶν** (τῷ 883): **Ὁ Λέρου** [Κωδιν. σελ, 291. Venet.]. ε') Οὐ μὴν ἀλλὰ κἀν τοῖς πλείστοις βασιλικοῖς, πολιτικοῖς τε καὶ καὶ ἐκκλησιαστικοῖς ἐγγράφοις ἀπὸ τῆς ΙΑ' ἕως τῆς ΙΔ' ἑκατονταετηρίδος, τοῖς ἐν τῷ τῆς μονῆς γραμματοφυλακίῳ διατηρουμένοις, οὐ μόνον τὸ τῆς νήσου ὄνομα ὀρθῶς εὕρηται γεγραμμένον, ἀλλὰ καὶ τὸ τῆς ἐπισκοπῆς· οἷον, ἐν ἀριθ. 50 (τῷ 1087): **ἐπισκοπὴ Λέρου.** ϛ') Ἐν ἀριθ. 8 καὶ 9 ἐκκλ. ἐγγρ. (τῷ 1187), ὡς τεκμαίρομαι): **Κωνστάντιος ἐπίσκοπος Λέρου.** ζ') Ἐν ἀριθ. 31, ὅπερ ἐστὶ σιγίλλιον πατριαρχικὸν (τῷ 1254—58: **Νεῖλος ἐπίσκοπος Λέρου.** η') τέλος δὲ καὶ κατ' αὐτὴν ἔτι τὴν ΙϚ' ὑπερμεσοῦσαν ἑκατονταετηρίδα ἀπαντᾷ: **Κάλλιστος Λέρου** [Crus. Turcogræc. σελ. 506]. Πρῶτον τοίνυν ἔγωγε εὑρίσκω τὴν γραφὴν: **Λέρνην** ἐν χρυσοβούλλῳ Μιχ. τοῦ Παλαιολόγου τῷ 1259 ἐκδεδομένῳ (ἀριθ. 27 πολιτ. ἐγγρ.)· καὶ ἴσως ἔκτοτε ἐπεκράτησεν αὕτη ἀντὶ τῆς ὀρθῆς. Καὶ γὰρ κἀν τῇ ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Ἀνδρονίκου τοῦ πρεσβυτέρου περὶ τελευτῶσαν τὴν ΙΓ' ἑκατονταετηρίδα γεγονυίᾳ **Ἐκθέσει** κτλ.: **Ὁ Λέρνης** γράφεται· ἀλλ' οὐ παρὰ ταῦτα εὔλογον τὴν πολιὰν περιορᾶν ἀρχαιότητα.

(1) Ἴδε ὄπισθεν σελ. 71, ὑποσημ. 1.

(2) Ἀμφότεραι αἱ νησῖδες αὗται κεῖνται πλησίον ἀλλήλων, πρὸς ἀνατολὰς τῆς Πάτμου· ὧν τὰ ἀρχαῖα ὀνόματα τρεῖς καὶ μόνοι, ὅσον ἐγὼ οἶδα, τῶν παλαιῶν, ὁ Πλίνιος, ὁ Ἀγαθήμερος καὶ ὁ Ἀνώνυμος συγγραφεὺς τοῦ **Σταδιασμοῦ ἤτοι Περίπλου τῆς μεγάλης θαλάσσης,** μνημονεύουσι. Καὶ ἡ μὲν Λειψὼ (τανῦν ὁ **Ληψὸς**) καλεῖται παρὰ Πλινίῳ **Ληψία** (Lepsia [Hist. Natur. V,36])· τοὺς δὲ Ναρκίους (τανῦν **Ἀρκοί**) ὁ μὲν Ἀγαθήμερος **Ἀκρίτην** καλεῖ: «**ἀπὸ Δρεπάνου Κῶας ἐπ' Ἀκρίτην νῆσον, στάδια** σλ'» [**Γεωγρ. Ὑποτυπ.** Α', δ']· ὁ δὲ Ἀνώνυμος **Ἀκρίταν**: «**Ἀπὸ Ποσειδίου** (νόει μοι τοῦ Μιλησίων) **εἰς τὴν Ἀκρίταν στάδια** σμ'» [Βλ. Geographi minores Græci, ἔκδ. C. Muller, σελ. 501. §. 290]. Ἔγωγε μέντοι ἑτέραν προειλόμην διάφορον γραφήν, παρὰ τοῦ σοφοῦ Γρονοβίου ἐκ χειρογράφου τεύχους σημειουμένην, τήν: **Ἀρκῖτις,** διὰ τὸ πεφυλάχθαι ἄχρι τοῦ νῦν τὴν ῥίζαν τῆς λέξεως ἐν τῷ κοινῷ τῆς νησῖδος ὀνόματι. Μέσον δ' αὐτῆς καὶ τῆς Ληψίας συστάς ἐστιν ἐννεακαίδεκα νησιδίων, ὧν ἕκαστον ἰδίῳ γνωρίζεται ὀνόματι. Ἀναμφήριστον μὲν οὖν ὅτι εἰσὶ ταῦτα αἱ τοῦ Πλινίου **Ἀργίαι** (Argiæ), ἅσπερ εἴκοσι τὸν ἀριθμὸν λέγει (συμπεριλαμβανομένης

αὐτὰ τὰ ἐν τῇ Λέρνῳ, ἃ καὶ προκατεῖχον, ὡς ἔφθην εἰπών, δύο προάστεια, φημὶ δὴ τὸ Παρθένιον καὶ τὸ Τεμένιον (1).

Ι΄. Καὶ προέβη τὸ ἐπὶ τούτοις πᾶσι χρυσόβουλλον κατὰ τὴν ἐμὴν θέλησιν καὶ αἴτησιν καὶ ἀρέσκειαν· ὥςτε εἶναι τά τε ἄλλα τῶν δωρηθέντων ἡμῖν καὶ αὐτὴν δὴ πᾶσαν τὴν νῆσον Πάτμον

δηλονότι καὶ τῆς Ἀρκίτεως), προσεχῶς τῇ Καρίᾳ τοποθετῶν αὐτὰς μετὰ τῆς Ὑετούσσης (Ἀγαθονησίου), Ληψίας καὶ Λέρου [Πλίν. ἔνθα ἀνωτ.]. Παρὰ τοῖς νεωτέροις γε μὴν γεωγράφοις τε καὶ περιηγηταῖς οὐδείς πω περὶ αὐτῶν λόγος. Πρῶτος δ' ὧν οἶδα ὁ τὸν τελειότερον τοπογραφικόν τε καὶ ἱστορικὸν ἄτλαντα τῆς Ἑλλάδος σχεδογραφήσας Κείπερτος (H. Kiepert Topographisch-Historischer Atlas von Hellas etc. Berl. 1846), τῶν νησιδίων τούτων τὴν θέσιν ὁρίσαι ἐπιβαλόμενος, ἐν μὲν τῷ XIX πίνακι, ἔνθα ἡ Ἰωνία καὶ Αἰολίς, ἐκτόπως ἔθηκεν αὐτὰς μεταξὺ Μύνδου καὶ Καλύμνου, ὅπου οὐδὲ τὰ ἡμίση τούτων ὑπάρχουσιν· ἐν δ' αὖ τῷ ἐχομένῳ, ὃς δευτέρα δοκεῖ μᾶλλον διεσμιλευμένη ἔκδοσις τοῦ αὐτοῦ πίνακος, ὀρθῶς ὀνομάζει Ἀργίας τὴν Ἀρκῖτιν σὺν τοῖς παρακειμένοις νησιδίοις. Καὶ ἔπεισιν ἄρα νοεῖν ἐκ τῶν τοῦ Πλινίου, ὅτι Ἀργίαι μὲν ἐκαλεῖτο σύμπασα τῶν νησιδίων ἡ συστάς, Ἀρκῖτις δὲ τὸ μεῖζον αὐτῶν.

(1) **Παρθένιον** καὶ νῦν ἔτι ὀνομάζεται τῶν προαστείων τούτων τὸ πρότερον. Καὶ διδασκόμεθα λοιπὸν ἀπὸ τῆς τοῦ τόπου ὀνομασίας, ὅτι αὐτόθι ὑπῆρχεν ἀναμφηρίστως τὸ ἱερὸν τῆς **Παρθένου** [Ἀρτέμιδος], οὗ μνείαν ποιεῖται ὁ ἀπὸ Μιλήτου περιπατητικὸς φιλόσοφος Κλύτος ἐν τούτοις: « **Περὶ δὲ τὸ ἱερὸν τῆς Παρθένου ἐν Λέρῳ εἰσὶν οἱ καλούμενοι ὄρνιθες μελεαγρίδες. Ὁ δὲ τόπος ἐστὶν ἐλώδης ἐν ᾧ τρέφονται** » [Παρ' Ἀθην. **Δειπνοσοφ.** ΙΔ΄. τμ. 71.—Πρβλ. καὶ Αἴλιαν. **Περὶ ζῴων φύσ.** Δ΄, μβ΄.]. Ἔστι δὲ καὶ μῦθος περὶ τῶν ὀρνίθων τούτων, ὁ ἑξῆς: **Γόργη, Εὐρυμήδη, Δηϊάνειρα, καὶ Μελανίππη ἀδελφαὶ ἦσαν Μελεάγρου. Διὰ δὲ τὸ θρηνεῖν αὐτὰς ἀδιαλείπτως παρὰ τὸ σῆμα τοῦ ἀδελφοῦ, ἡ Ἄρτεμις ἀψαμένη ῥάβδῳ μετεμόρφωσεν εἰς ὄρνιθας καὶ ἀπῴκισεν εἰς Λέρον, ὀνομάσασα Μελεαγρίδας.** Ταῦτα περὶ αὐτῶν φησι Νίκανδρος ἐν Γ΄ **Ἑταιροιουμένων** [παρ' Ἀντων. Λιβεράλ. **Μεταμορφ.** 6΄]. Ἀλλὰ καὶ Ἴστρος ὁ ἱστορικὸς λέγει: **τὰς ἐν Λέρῳ Μελεαγρίδας ὑπὸ μηδενὸς ἀδικεῖσθαι τῶν γαμψωνύχων ὀρνέων** [παρ' Αἴλιαν. ἀνωτ' Ε΄, κζ΄]. Ἀπέχει δὲ τῆς πόλεως τριάκοντά που σταδίους, πρὸς ἄρκτον, ἔνθα καὶ λιμὴν ὁμώνυμος, κάλλιστος μὲν καὶ εὐρυχωρότατος τῶν λοιπῶν τῆς νήσου, δύσκολον δὲ καὶ οὐκ ἀκίνδυνον ἔχων τὴν καταγωγήν, διὰ τὴν κατὰ μέσον τοῦ στομίου ὕφαλον πέτραν. Σώζονται δὲ ἀρχαῖα ἐρείπια ἐν τῇ περιοχῇ τοῦ αὐτόθι μετοχίου τῆς τοῦ Θεολόγου μονῆς. Τοῦ Παρθενίου μέμνηται καὶ ὁ Ἀνώνυμος συγγραφεὺς τοῦ **Σταδιασμοῦ τῆς Μεγάλης θαλάσσης**, οἷον: «**Ἀπὸ Λέρου ἐπὶ τὸ Παρθένιον σταδίους ξ΄.—Ἀπὸ** [τοῦ Παρθενίου τῆς] **Λέρου ἐπὶ τὸ τῆς Πάτμου Ἀμαζόνιον σταδίους σ΄**». Ἐκ δὲ τοῦ παραυτίκα ἐπιφερομένου: « **Ἀπὸ τοῦ Ἀμαζονίου ἐπὶ τὴν Κορσίαν σταδίους υ΄.** », πρόδηλον ὅτι Ἀμαζόνιόν ἐστι τὸ βόρειον τῆς Πάτμου ἀκρωτήριον, ὃ νῦν **Γερανὸς** καλεῖται, ὑπ' οὐδενὸς δὲ ἄλλου τῶν παλαιῶν γεωγράφων μνημονευόμενον. Κορσία δ' ἐστὶν ἡ νῦν **Κρουσοὶ** (οἱ) λεγομένη, περὶ ἧς ἔπιθι τ' ἀλλαχοῦ σημειωθέντα μοι [**Πανδ.** τόμ. ΙΓ΄, σελ. 371]. Ἀντὶ μέντοι τοῦ ἀριθμοῦ υ, ἀνάγνωθι ρ΄, ὥςπερ ὁ κλεινὸς ἐκδότης ὀρθότατα ἐσημειώσατο αὐτόθι, ὑπὸ τοῦ Ἀγαθημέρου ὁδηγούμενος [Ὅρα Geogr. minor. Græci,

ἐλευθέραν τὸ καθόλου καὶ παντὸς ὑπερανῳκισμένην (1) δημοσιακοῦ βάρους καὶ οἱουδήτινος λειτουργήματος· ἃ δὴ πάντα τρανότερον ὁμοῦ καὶ ἀριδηλότερον ἡ χρυσόβουλλος αὕτη διαγορεύει *γραφή*· ἀλλὰ μὴν καὶ τὸ μὴ κατοικεῖν ἐν Πάτμῳ κοσμικοὺς ἄνδρας, γυναῖκας ἔχοντας καὶ παιδία, ἢ νέους τινὰς τὴν ἡλικίαν μειρακιώδεις καὶ μήπω τὸν ἴουλον ἐξανθήσαντας, ἢ εὐνούχους· τάχα γὰρ *ἐκ πρώτης*, ὅ φασι, *γραμμῆς* (2), περιαιρῆσαι πάσης ἐπηρείας σατανικῆς ὑπόθεσιν καὶ προῤῥίζους ἐξελεῖν τὰς ἀφορμὰς τῆς βλάβης ἔσπευδον, καὶ τὴν βλάστην τῶν πτωμάτων ῥιζοτομῆσαι προθέλυμνον. Ἔνθεν τοι καὶ τὸν κράτιστον κατεδυσώπησα βασιλέα ἐντεθῆναι καὶ τὴν τοιαύτην μου θέλησιν τῷ χρυσοβούλλῳ τῆς δωρεᾶς· καὶ μέν τοι καὶ ἐνετέθη, μὴ πάνυ τι ἐκείνου πρὸς τοῦτο πρότερον κατανεύοντος, ὡς ἐπαχθοῦς εἰς τὸ μετέπειτα τῇ μονῇ ἐσομένου τοῦ μὴ κεκτῆσθαι λαϊκούς τινας ὑποχειρίους γυναιξὶ συνοικοῦντας ἔνδον που τοῦ νησίου, καὶ ὑπὸ ζυγὸν τυγχάνοντας γαμικόν, ἐφ᾽ ᾧ δι᾽ αὐτῶν τὰς γεωργικὰς καὶ λοιπὰς ἐργατικωτέρας δουλείας ἐξανύεσθαι τῆς μονῆς. Καί γε ἦν ἐκεῖνος *βάπτων εἰς νοῦν*, ἵν᾽ εἴποιμι τὸ τὸ τοῦ Ζήνωνος (3), ὡς αὐτὸ τὸ πρᾶγμα ὕστερον ἀνεδίδαξε, καὶ

σελ. 499, ἔκδ. Κ. Μυλλέρου]. Ἐκ τούτου δὲ τοῦ χωρίου ἀγόμενος, ὡς ἔοικεν, ὁ Κείπερτος, οὐκ ἐν τῇ Λέρῳ, ἀλλ᾽ ἀλλαχοῦ ἐξέλαβε τὸ Παρθένιον κεῖσθαι· ὅθεν καὶ ὠνόμασεν οὕτως ἐν τῷ Ἄτλαντι αὐτοῦ νησίδιόν τι παρὰ τὴν Ληψίαν, ὅπερ οἱ Πάτμιοι **Χαλαυροπὰ** (τὰ) καλοῦσι [Βλ. H. Kiepert Topographisch-Historischer Atlas von Hellas etc. Berl. 1846]. Τὸ δὲ **Τεμένιον, Τημένια** (τὰ) νῦν λεγόμενον, πρὸς τὰ δυσμικὰ κεῖται τῆς πόλεως, ἐν ἀποστάσει σταδίων εἴκοσι.

(1) Ὅτι ἡ δισύνθετος αὕτη λέξις νοεῖ τό: **ἐξῃρημένην παντὸς δημοσίου βάρους,** αὐτὸς ὁ λόγος δηλοῖ· εἰ καὶ τὸ σύνθετον **Ἀνοικίζομαι** σημαίνει πρὸς τοῖς ἄλλοις καὶ τό: Ἀφίσταμαι, ἀπομακρύνομαι· πλὴν εἰ μή τις εἴποι, ὅτι ἐγέγραπτο ἴσως ἐν τῷ ἀρχετύπῳ: **Ὑπεράνω κειμένην.**

(2) Παρέξεσται εἰς παροιμίαν ὁ λόγος ἀπὸ τοῦ πρώτου σημείου, ἐφ᾽ οὗ ἵσταντο οἱ σταδιοδρομοῦντες, ἕως ἂν ἀποσημανθῇ αὐτοῖς ὁ δρόμος: «**Γραμμή, ἡ ἀρχή, ἀφετηρία, ἡ λεγομένη βαλβίς**» [Σουΐδ. ἐν λέξ.].

(3) «**Δεῖ τὸν φιλόσοφον εἰς νοῦν ἀποβάπτοντα προφέρεσθαι τὴν λέξιν**» ἔλεγε Ζήνων ὁ Κιττιεὺς [Πλούτ. Φωκ. έ.]. Σεσιώπηται δὲ τῷ Λαερτίῳ τὸ χρυσοῦν τοῦτο ἀπόφθεγμα, τὰ τοῦ Ζήνωνος ἄλλως διὰ μακρῶν ἱστορήσαντι. Ὁ μέν τοι Στοβαῖος ἐν τῷ **Περὶ Ἀδολεσχίας** [Λόγ. ΛΖ΄, 23], μέμνηται τοῦ λογίου ἐν τούτοις:

τὸ τῇ μονῇ συνοῖσον μᾶλλον ἐμοῦ ἡ *βασιλικὴ καρδία* προεφοιβάζετο, *ἐν χερσὶ* πάντως *οὖσα Θεοῦ* διὰ περιουσίαν εὐσεβείας, κατὰ τὸ λόγιον (1). Ἀλλ᾽ ἐπανιτέον ὅθεν ἐξέβημεν.

ΙΑ΄. Προέβη τὰ τῆς ἐν μέρει ἀνταλλαγῆς, τὸ καθόλου δὲ εἰπεῖν βασιλικῆς δωρεᾶς· συνετελέσθη τὰ τῆς χρυσοβούλλου *γραφῆς*· συνεταξάμην (2) τῷ βασιλεῖ· προεπέμφθην δεξιᾶς ἀπολελαυκὼς καὶ βασιλικῆς τῷ ὄντι φιλοφροσύνης· κατέπλευσα πρὸς τὴν Κῶ ἔχων ἐφεπόμενόν μοι καὶ ἄνθρωπον (3) τοῦ θεοφρουρήτου βασιλέως ἡμῶν, ᾧ καὶ παραδοὺς ἔγωγε δικαίῳ τοῦ δημοσίου τὰ ἐν τῇ Σροβήλῳ καὶ τῇ νήσῳ Κῷ διενεγκόντα (4) μοι πάντα ἀκίνητα, παρέλαβον αὐτὸς τὴν νῆσον Πάτμον ἐξ ὁλοκλήρου καὶ τὰ λοιπά, ὧν ὁ λόγος ἀνωτέρω διεμνημόνευσε. Κἀγὼ μὲν ἐσκίρτων καὶ ἠγαλλόμην, τῷ ἐρημικῷ τῆς νήσου καὶ ἡσυχίῳ ἐπευφραινόμενος, καὶ ὅτι ἄβατος ἐτερπόμην, καὶ θησαυρὸν ἐνόμιζον παρακλήσεως τὸ ἀπῳκισμένον ταύτης καὶ ἀπαράκλητον. Οἱ δέ μοι συνομαρτήσαντες ἀδελφοί, εἰ καὶ πολὺ τὰ πρῶτα τὸ πρόθυμον ἐπεδείκνυντο, ἀλλ᾽ οὖν γε τότε, καθάπερ *ὀστράκου μεταπεσόντος* (5), αἰφνηδὸν εἰς τοὔμπαλιν μετεβάλ-

**«Τῶν τις ἐν Ἀκαδημίᾳ νεανίσκων περὶ ἐπιτηδευμάτων διελέγετο ἀφρόνων. ὁ δὲ Ζήνων, Ἐὰν μὴ τὴν γλῶσσαν, ἔφη, εἰς νοῦν ἀποβρέξας διαλέγῃ, πολὺ πλείω ἔτι καὶ ἐν τοῖς λόγοις πλημμελήσεις.**

(1) Παροιμ. κϐ΄, 10.

(2) Ἀπεχαιρετίσθην, ὡς ἂν εἴποι τις τὸ τῆς κοινῆς συνηθείας.

(3) Οὗτος ἦν πάντως ὁ τῶν Κυκλάδων νήσων ἀναγραφεὺς Νικόλαος ὁ Τζάνζης, οὗ τὸ περὶ τῆς Πάτμου **Πρακτικὸν** βλέπε ὄπισθεν ἐν τέλει τοῦ Προλόγου μετὰ τὸ χρυσόβουλλον.

(4) Ἴδε ὄπισθεν σελ. 74, ὑποσημ. 1.

(5) Ἐκ τοῦ Πλάτωνος ἡ παροιμία [Φαῖδρ. σελ. 241], ἥτις καί: «**Ὀστράκου περιστροφή**» ἐλέγετο [Βλ. Σουΐδ καὶ Φώτ. ἐν λέξ.]. Εἴρηται δὲ ἐπὶ τῶν διὰ τάχους εἰς φυγὴν ὁρμώντων ἀπὸ παιδιᾶς τῆς καλουμένης **Ὀστρακίνδα,** ἐχούσης οὕτω, κατὰ τὸν Σχολιαστὴν αὐτοῦ: «**Διελόντες ἑαυτοὺς οἱ παῖδες, ὡς ἰσαρίθμους ἑκατέρους γενέσθαι, οἱ μὲν πρὸς ἀνατολὴν ἵστανται, οἱ δὲ πρὸς δυσμάς. Ἄλλος δέ τις μεταξὺ ἑκατέρων καθήμενος, ὄστρακον εἶχεν, ἐκ μὲν τοῦ ἑνὸς μέρους κεχρισμένον λευκῷ, ἐκ δὲ θατέρου μέλανι, καὶ ἐῤῥιπτε τοῦτο ὀρθόν. Καὶ εἰ μὲν κατεφέρετο τὸ λευκὸν μέρος ἄνω, οἱ πρὸς ἀνατολὰς ἑστῶτες ἐδίωκον τοὺς πρὸς ταῖς δυσμαῖς. Εἰ δὲ τὸ μέλαν ἄνω, οἱ πρὸς ταῖς δυσμαῖς ἐδίωκον, ἕως ἂν καταλάβοιεν. Καταληφθέντες δὲ ἐβαστάζοντο ὑπ᾽ αὐτῶν ἀφ᾽ οὗ κατελήφθησαν τόπου, ἕως ἐπανέλθωσιν ἐπὶ τὸν τόπον ἀφ᾽ οὗ τὴν ἀρχὴν ἔφυγον**

λοντο. Κἀντεῦθεν ἐδυσφόρουν, ἤσχαλλον, ἠνιῶντο· τῶν τῆς Κῶ χαρίτων ἐμέμνηντο· πρὸς τὸ βραχὺ τῆς Πάτμου καὶ ἀγλευκὲς ἐδυσχέραινον· ἐμέμφοντο τὸ πραχθέν· τὴν οἰκονομίαν ἐπαινεῖν οὐκ εἶχον τὴν ἡμετέραν· ἀβέλτερον αὐτοῖς ἐδόκει τὸ γεγονός, ἐπισφαλές, ὀλέθριον, ἐπιζήμιον· *χάλκεα χρυσείων* (1) ἡμᾶς ἀλλάξασθαι καὶ προδήλως ᾤοντο, καὶ λάθρα ὑπετονθόρυζον· ὤκνουν πρὸς τὴν ἐγχείρησιν (2) τῶν κτισμάτων· ἀνεδύοντο πρὸς τὴν πειθάρχησιν τῶν ἡμετέρων ἐπιταγμάτων· ἐμερίζοντο καθ᾽ ἑαυτούς· ἐπολιορκοῦντο τοῖς λογισμοῖς· πάντ᾽ ἔπασχον, καὶ μεστὴν εἶχον τὴν διάνοιαν ταραχῆς. Τέλος εἰς προὖπτον ἤγαγον τὸν σκοπόν, διαιρεθέντες ἀπ᾽ ἀλλήλων καὶ εἰς ἐναντιογνωμονούσας δύο μοίρας διακριθέντες· ὧν ἡ μία καὶ μείζων τὴν ἀφ᾽ ἡμῶν διάστασιν ἐνενόησε, καὶ μέν τοι καὶ κατεπράξατο, πρότερον τῆς ὀλιγωρίας εἴτουν μικροψυχίας συγγνώμην αἰτήσασα, καὶ παρ᾽ ἡμῶν αὐτίκα ταύτην ἀνειληφυῖα· ἡ δὲ ἑτέρα ἐλάσσων καὶ ἀγαθή, ὅσοι δηλαδὴ τῇ ἐμῇ προείλοντο συγκακοπαθεῖν καὶ συναποθανεῖσθαι ἀναξιότητι, ἑτοίμους ἑαυτοὺς παρεῖχον εἰς τὴν τοῦ ἡμετέρου (σὺν Θεῷ δὲ φάναι ψυχωφελοῦς) βουλήματος ἐκπεράτωσιν (3)· καί με ἀνεκτῶντο μᾶλλον αὐτοὶ καὶ πρὸς τὸ

[Τόμ. Θ', σελ. 5. — Πρβλ. καὶ Πολυδεύκην βιβλ. Θ', μικρῷ παραλλάττουσαν τὴν παιδιὰν ταύτην περιγράφοντα, καὶ Διογενειαν. Παροιμ. ϛ', 95]. Ἡ δ᾽ αὐτὴ παροιμία ἀπαντᾷ καὶ παρὰ Λουκιανῷ [**Ἀπολογ. Περὶ τῶν ἐπὶ μισθ. συνόντ.** ά, καὶ Σχολ. αὐτόθι].

(1) Ἔδει εἰπεῖν: **Χρύσεα χαλκείων**· διότι τὸ μὲν πρὸς ἀνταλλαγὴν διδόμενον τίθεται κατ᾽ αἰτιατικήν, τὸ δὲ λαμβανόμενον κατὰ γενικὴν ἐλλειπτικὴν προθέσεως τῆς **Ἀντί**, ἢ **Διά**, ἢ **Πρός**. Οὕτως ἔχει καὶ παρ᾽ Ὁμήρῳ ἡ φράσις, ἐξ οὗ πάντως εἴληφεν αὐτὴν ὁ ὅσιος πατήρ:

> Ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε᾽ ἄμειβεν,
> **Χρύσεα χαλκείων**, ἑκατόμβοι᾽ ἐννεαβοίων [Ἰλ. Ζ. 235].

πλὴν εἰμή τις ἐκλάβοι τὸν λόγον καθ᾽ ὑπαλλαγήν, ὡς εὕρηται παρ᾽ Εὐριπίδῃ: «**Ἀλλάξασ᾽ Ἀΐδα θαλάμους**» [Ἑκάβ. 478], τουτέστιν ἀντιστρόφως ἀντὶ τοῦ **Ἀλλαξαμένη Ἀΐδαν τῶν θαλάμων**, ὡς φησιν ὁ Σχολιαστὴς αὐτόθι.

(2) Τὸ χειρόγρ.: **Ἐγχείρισις**. Οὕτω δ᾽ ἔγραψα τὴν λέξιν ὅπως ἀπαντᾷ ὀρθῶς καὶ κατωτέρω ἐν § Ιϛ' καὶ Κϛ'.

(3) Ἡ λέξις αὕτη πρῶτον ἤδη κατεχωρίσθη ἐν τῇ ἀνωτέρω μνημονευθείσῃ **Συναγωγῇ** τοῦ Κουμανούδη ἀπὸ τοῦ ἱστοριογράφου Νικήτα τοῦ Χωνιάτου ἐρανισθεῖσα.

προκείμενον τῶν οἰκοδομημάτων ἔργον διήγειρον, παρέθηγον, παρεθάῤῥυνον: — Οἵδε (1) ἡμεῖς, λέγοντες, ὑπηρετήσομέν σοι διὰ παντός· τοῖς θεαρέστοις σου κελεύσμασιν ὑπουργήσομεν καὶ ταῖς ἐπιταγαῖς σαῖς ἐπαποθανούμεθα.

ΙΒ'. Τοιγάρτοι καὶ ἀναθαρσήσας αὐτός, ἐρωτί τε τῆς Πάτμου διὰ τὸν ἠγαπημένον τῷ Κυρίῳ ἡμῶν Θεολόγον ἁλούς, ταύτην συνάμα τοῖς περιλειφθεῖσιν εὐλαβέσι μοι ἀδελφοῖς ἀπόβασίν τε τῆς μακρᾶς ἡμῶν πλάνης καὶ κατάπαυσιν αἰωνίαν, τό γε εἰς τὸν ἀνθρώπινον βίον ἧκον, ἐθέμεθα. Αὐτίκα γοῦν τοῦ θεμελιοῦν ἠρξάμεθα καὶ τοῦ κτίζειν, ἀπρὶξ ἐχόμενοι τοῦ σκοποῦ, καὶ περιτειχίζειν ἐρυμνῶς, καὶ ὁπόση δύναμις ἀνυψοῦν τὸν τοῦ φρουρίου τοῦδε περίβολον ἐπειγόμενοι. Τότε δὴ τότε, καὶ τὸ τῆς ἐμῆς προτέρας βουλήσεως περὶ τοῦ μηδένα τῶν ἑλκόντων τὸν τοῦ γάμου ζυγόν τὴν νῆσον οἰκεῖν, διὰ τὴν τῶν γυναικῶν καὶ τῶν παίδων πρόφασιν, ἀδύνατον κατενόουν, καὶ τοῦ αὐτοκράτορος ἐμεμνήμην, καὶ τὴν βασιλικὴν τῷ ὄντι φρένα, καὶ τὴν προγνωστικὴν περὶ τούτου πρόῤῥησιν, καὶ τὸ τῶν στοχασμῶν ἀδιάπτωτον ἐξεθείαζον, καὶ τὰ παροιμιωδῶς τοῖς παλαιοῖς ἐν ταῖς ὑστεροβουλίαις λεγόμενα οὐκ ἀπεικότως ἥρμοττον ἐμαυτῷ: «*Ῥεχθὲν δέ τε νήπιος ἔγνω* (2)», καί: «*Πληγεὶς ἁλιεὺς νοῦν οἴσει* (3)».

ΙΓ'. Ταύτῃ τοι, καὶ διὰ τὸ μὴ εὑρίσκειν ἄζυγας λαϊκούς, τοὺς καὶ τηνικαῦτα ἐν ταῖς οἰκοδομίαις, καὶ διηνεκῶς ἐν ταῖς

(1) Ἀντὶ δεικτικοῦ ἐπιῤῥήματος, παρὰ ποιηταῖς μόνον.

(2) Παροιμιῶδες τὸ ἔπος· ἔστι δὲ Ὁμηρικὸν ['Ιλ. Ρ. 32], ἔνθα τῶν τις Σχολιαστῶν σημειοῦται: «**Ὁ ἄφρων μετὰ τὸ περιπεσεῖν ἁμαρτήματι, γινώσκει ὅτι κακῶς ἔπραξεν. Ὁ δὲ φρόνιμος προπερισκέπτεται καὶ προπερινοεῖ τὰ ἐσόμενα,** κτλ.» [Πρβλ. καὶ Πλάτ. Συμπ. σελ. 466 καὶ τὸν αὐτ. Σχολ.]. Ὅμοιον τούτῳ καὶ τὸ Ἡσιόδειον: «**Παθὼν δέ τε νήπιος ἔγνω**» [Ἔργ. καὶ Ἡμ. 202].

(3) Οὕτως ἀναφέρει Σουίδας [λέξ. **Ἁλιεὺς**] τὴν παροιμίαν ταύτην: «**Ἁλιεὺς πληγεὶς νοῦν οἴσω. Ἁλιεὺς τοὺς ἁλισκομένους ἰχθύας μετεχειρίζετο· καί ποτε ὑπ' αὐτῶν πληγείς, νοῦν οἴσω φησίν. Ὁμοία ἐστὶ τῷ Ῥεχθὲν δέ τε νήπιος ἔγνω**». Παρὰ δὲ τῷ τοῦ Πλάτωνος Σχολιαστῇ διαφόρως γράφεται ἡ τελευταία λέξις: «**Ἁλιεὺς πληγεὶς νοῦν φύσει**» [εἰς Συμπ. ἔνθ. ἀνωτ. — Πρβλ. καὶ Ζηνοβ. Παροιμ. Β'. 14, καὶ Διογενειαν. Α'. 61.].

τῆς μονῆς ἐργαστικαῖς δουλείαις ὑπουργεῖν ὀφείλοντας, ἐξεχώρησα κατὰ πᾶσαν ἀνάγκην καί τινας ὑπὸ γυναίοις, ὡς ὁρᾶτε, τὴν ὑφ' ἡμᾶς ταύτην *τὴν* (1) νῆσον τὴν Πάτμον οἰκεῖν· πλὴν οὐκ ἀνέτως, οὐδὲ φύρδην, οὐδ' ὅπη βούλονται, ἀλλ' ἐν ἰδιάζοντι μέρει τῆς νήσου καὶ συνεπτυγμένως, ὥςπερ ἄρα καὶ φαίνονται ποιούμενοι τὴν κατοίκησιν (2). Εἰ μὲν οὖν ἐγγένηταί μοι, καθ' ὃν ἔχω σκοπόν, πρὸ τελευτῆς ἀνελθεῖν καὶ εἰς ὁμιλίαν ἐλθεῖν τῷ εὐσεβεστάτῳ καὶ ἁγίῳ (3) μου βασιλεῖ, γενήσεται πάντως ἐξ αἰτήσεώς μου διὰ βασιλικῆς οἰκονομίας ἡ τούτου διόρθωσις· πέποιθα γὰρ ὡς οὐ παρόψεται οὐδὲ τὴν τοιαύτην μου αἴτησιν ἡ διακριτικωτάτη τοῦ βασιλέως ψυχή, ἀλλ' ἐπαναδραμεῖται πρὸς τὴν οἰκείαν κρίσιν, καί, ὃ μὴ τότε διὰ τὴν ἐμὴν ἐσφαλμένην ἔνστασιν ἐξειργάσατο, εὐδοκήσει τὸ κράτος αὐτοῦ πρεπόντως ἄρτι περατωθῆναι. Εἰ δέ με φθάσαν προαρπάσειε τὸ χρεών, βούλομαι καὶ διατάττομαι, τὴν τῶν κοσμικῶν ἐντὸς τῆς νήσου μετὰ τῶν γυναικῶν καὶ τέκνων αὐτῶν οἴκησιν μὴ ἄλλως ποτὲ παραχωρηθῆναι γενέσθαι, ἀλλ' ἢ ὡς νῦν ἐπ' ἐμοῦ, πόῤῥω πη τῆς μονῆς, ἐν εὐπεριγράπτῳ τοῦ νησίου ἄκρῳ καὶ εἶναι καὶ διαμένειν, πρὸς τὸ βόρειον δηλονότι μέρος, ἀπὸ τοῦ ἀκρωτηρίου τοῦ λεγομένου *Βαΐου*, ἕως τοῦ ἑτέρου τοῦ λεγομένου *Ὁ ἅγιος Νικόλαος ὁ εἰς τὸ Εὔδηλον* (4), καὶ ἄχρις αὐτῆς ἁγίας Μαρί-

(1) Περιαιρετέον δοκεῖ μοι τὸ ἄρθρον ὡς παρέλκον.

(2) Ἐν γὰρ τῷ τότε κατῴκουν οἱ τοιοῦτοι πόῤῥω τῆς μονῆς, κατὰ τὴν θέσιν τὴν λεγομένην σήμερον: **Χωριδάκια.**

(3) **Ἁγίους** προσηγόρευον οἱ Βυζαντινοὶ τοὺς ἑαυτῶν βασιλεῖς, διότι κατὰ τὴν τελετὴν τῆς στέψεως ὁ πατριάρχης χρίων σταυροειδῶς τὴν κεφαλὴν τοῦ βασιλέως τῷ θείῳ μύρῳ ἐπέλεγε μεγάλῃ τῇ φωνῇ τό: **Ἅγιος**· οἱ δὲ ὄντες ἐν τῷ ἄμβωνι πάντες περὶ τὸν πατριάρχην, διαδεχόμενοι τὴν φωνὴν ἔλεγον καὶ αὐτοὶ ἐκ τρίτου τό: **Ἅγιος**· ὁμοίως δὲ καὶ ὁ λαὸς ἅπας ἔλεγον ἐκ τρίτου τὸν αὐτὸν λόγον [Κωδιν. ΙΖ', 18, σελ. 122. Paris.]. Ὁ δὲ Θεσσαλονίκης Συμεὼν οὕτω φησί: «**καὶ τό: Ἅγιος ἀνακράζει** [ὁ πατριάρχης], **δεικνὺς ὅτι ἐκ τοῦ ἁγίου καθαγιάζεται καὶ καθιεροῦται βασιλεὺς τῶν ἡγιασμένων εἶναι ἀπὸ Χριστοῦ**» [Περὶ τῶν ἱερ. τελετ. κεφ. ρμϛ', σελ. 134. Ἰάσ.]. Ἴδε καὶ Καντακουζηνὸν περιγράφοντα τὴν τελετὴν τῆς τῶν βασιλέων στέψεως [Ἱστορ. Α'. μά, σελ 123. Paris.].

(4) Τῶν ἀκρωτηρίων τούτων τὸ μὲν πρῶτον ὀνομάζεται σήμερον: **Γερανός** (Ἀμαζόνιον τὸ πάλαι), τὸ δέ: **Αὔδελος.** Πρόδηλον δ' ἐκ τῶν ἀναφερομένων, ὅτι καὶ ὁ τοῦ

νης· περαιτέρω δὲ τὴν μετὰ συζυγίας κατοίκησιν μὴ προβαίνειν, μήτε μὴν τὰ διαληφθέντα ὅρια παρεξέρχεσθαι ποιεῖν τὰς αὐτῶν γυναῖκας ἢ τὰ παιδία καὶ ἐνδοτάτω τοῦ νησίου χωρεῖν, πάντῃ καὶ τοῦτο ἀπαγορεύω καὶ δεσμὸν ἐντίθημι καὶ ἀρὰν ἐφ' ᾧ τηρεῖσθαι τὴν ἐντολήν μου ταύτην μέχρις ἂν ὁ παρὼν αἰὼν διαρκοίη ἀδιαλώβητόν τε καὶ ἀπαράθραυστον. Οἵ γε μὴν ἄνδρες οἱ λαϊκοὶ προσεδρευέτωσαν καὶ διακαρτερείτωσαν εἰς τὰς τῆς μονῆς δουλείας ἐν αὐτῷ τε τῷ μοναστηρίῳ καὶ ἀλλαχοῦ, ἔνθα ἂν παρὰ τοῦ *καθηγουμένου* ἢ τοῦ *οἰκονόμου* προστάσσοιντο, ἐφ' ὅλης ἑκάστης ἑβδομάδος ἡμέρας πέντε· κατὰ δὲ τὴν τῆς παρασκευῆς ἑσπέραν, λαμβάνοντες εὐλογίαν ἀπιέτωσαν ἐν ταῖς οἰκίαις αὐτῶν. Οὕτω γὰρ ποιεῖν αὐθαιρέτως αὐτοὶ προείλοντο καὶ ᾐτήσαντο, ἵνα τὰς δύο ταύτας ἡμέρας λουτροῦ τε καὶ ἀνέσεως καὶ τῆς μετὰ τῶν οἰκείων συνδιαιτήσεως ἀπολαύοντες, αὖθις,τῆς μετὰ τὴν κυριακὴν δευτέρας ὑπαυγαζούσης,φοιτῶσιν ὄρθρου πρὸς τὴν μονὴν καὶ τῶν δουλειῶν αὐτῆς ἅπτοιντο, καθώς περ ἄρα καὶ ἐπιτρέποιντο, ἀόκνως πάντως καὶ ἀρρᾳθύμως. Παρεγγυῶμαι δὲ καὶ τοῖς ἀδελφοῖς μου τοῖς νῦν τε καὶ εἰς τὸ μετέπειτα ἐσομένοις ἐν τῇ καθ' ἡμᾶς μονῇ μοναχοῖς, μηδαμῶς ποτε μηδένα τούτων ταῖς τῶν κοσμικῶν οἰκίαις ἐπιδημεῖν, πάρεξ τοῦ *οἰκονόμου* (1). Οὗτος γὰρ ἀφίξεται σπανίως, ὁπηνίκα τις ἐπισταίη ἀνάγκη, διὰ κατεπείγουσαν τῆς μονῆς δουλείαν καὶ ἀπαραίτητον· πλὴν ἐφεπομένους ἕξει τούτῳ (2) καὶ δύο τῶν ἀδελφῶν.

ΙΔ'. Ταῦτα περὶ τῆς ἔνδον τοῦ νησίου τῶν λαϊκῶν κατοικήσεως βούλομαί τε καὶ διατάττομαι, οὐκ ἐκ μικρᾶς ἀνάγκης

ἁγίου Νικολάου ναΐσκος, καὶ ὁ κατὰ τὴν τοποθεσίαν τὴν λεγομένην : **Λεῦκαι** ἱδρυμένος τῆς ἁγίας Μαρίνης, ἐκτίσθησαν περιόντος ἔτι τοῦ ὁσίου πατρός,ἵν' ἔχοιεν ἐκκλησιάζεσθαι ἐν αὐτοῖς οἱ τῇ μονῇ μισθαρνοῦντες λαϊκοί.

(1) Ἐκ τούτου λέγεται ἄχρι τοῦ νῦν **Τοῦ οἰκονόμου**, ἡ ὑποκάτωθεν τοῦ τῆς μονῆς προπυλαίου τοποθεσία. Αὐτόθι γὰρ ἔκειτο οἴκημα, ἔνθα οὗτος φοιτῶν παρήγγελλε τοῖς ἐργάταις τὰ δέοντα.

(2) Γρ. ἴσως: **Αὐτῷ.**

ἐλθὼν εἰς τὸ ποσῶς ἐκχωρῆσαι τοῦτο καὶ ἀνασχέσθαι, ἀλλ' ἐκ μεγίστης τε καὶ ἀπαραιτήτου, ὡς ὁ κρυφιογνώστης οἶδε Θεός. Ἐξασφαλίζομαι δ' οὖν καὶ προὔργου τίθεμαι, καὶ μετὰ σφοδρότητος ἐπισκήπτω συντηρεῖσθαι ταῦτα οὕτω καὶ μὴ ἀλλοιοῦσθαι. Εἰ δέ τις τῶν λαϊκῶν ἐς τοσοῦτον ἀπονοίας καὶ ἰταμότητος φθάσειεν, ὡς τολμῆσαι πώποτε τῶν τεθέντων ὅρων ὀλιγωρῆσαι, καὶ παραχωρῆσαι τῇ ἰδίᾳ συζύγῳ ἢ θυγατρὶ ἤ τινι ἁπλῶς γυναικί, καθ' ἥντιναοῦν σχέσιν ἢ συγγένειαν αὐτῷ προσῳκειωμένῃ, ἐνδοτέρω τοῦ νησίου παρεξελθεῖν ἐπ' ἀθετήσει τῶν ἀνωτέρω διωρισμένων, αὐτίκα τοῦτον καὶ τῆς νήσου παντελῶς ἐκβάλλεσθαι, καὶ πανσυδὶ μετὰ τῶν οἰκείων πάντων ἀποδιώκεσθαι παρακελευόμεθα, κἂν χρειώδης εἴη, κἂν διαφερόντως ἀναγκαῖος ταῖς τῆς μονῆς δουλείαις διαγινώσκοιτο. Ἀλλὰ καὶ εἴτις τῶν μοναχῶν ποτὲ τῶν καιρῶν παρὰ φαῦλον θείη τὰ τεθεσμοθετημένα καὶ ἀπελεύσεται ἄτερ τοῦ *οἰκονόμου*, παρ' ἐντολὴν τοῦ *καθηγουμένου* πάντως, ἐν ταῖς οἰκίαις τῶν λαϊκῶν, ἔνθα δηλονότι γυναικὶ αὐτὸν ἐνδέχεται ἐντυχεῖν, ἐπιτιμίῳ καθυποβληθήτω ξηροφαγίας καὶ ἀποχῆς οἴνου ἐφ' ἡμέραις εἴκοσιν, ἐάν περ ἅπαξ τουτὶ προπεπλημμεληκὼς ἔμπικρον εὐθὺς ἐνδείξηται τὸν μετάμελον. Εἰ δὲ καὶ δὶς ἢ καὶ τρίς, ὅπερ οὐδὲ εἰπεῖν ἀνεχόμεθα, τῶν μοναχῶν τις εὑρεθείη ἁλοὺς τῷ πανδείνῳ τούτῳ καὶ ὀλεθρίῳ τῆς παρακοῆς καὶ τῆς καταφρονήσεως ἀτοπήματι, ὡς γάγγραιναν τοῦτον καὶ λοιμώδη νόσον ἐκκοπτέτω ὁ *καθηγούμενος* τοῦ εὐαγοῦς τῆς ἀδελφότητος σώματος, καὶ τῶν τῆς μονῆς δικαίων παντάπασι διωκέτω, ἵν' ἔχῃ μαθὼν ὡς οὐ θεοφιλὲς οὐδὲ ὅσιον *μεθιστᾶν αἰώνια ὅρια πατράσιν* ἁρμοδίως *τεθεσπισμένα* (1)· καὶ τῇ ἀποβολῇ τοῦ ἀτασθάλου τούτου καὶ ἀτάκτως περιπατήσαντος ἡ πᾶσα τῶν ἀδελφῶν ὁμήγυρις προσεκτικῶς καὶ ἀπαραβάτως τῶν ἐντεταλμένων πάντων ἐπιμελή-

(1) Παρὰ τὸ Σολομώντειον: «**Μὴ μέταιρε ὅρια αἰώνια, ἃ οἱ πατέρες σου ἔθεντο**» [Παροιμ. κβ', 28 καὶ κγ', 10. — Παρβλ. καὶ Δευτερον. ιθ', 14].

σεται: «*Ἔξελε γάρ, φησί* (1), *λοιμὸν ἐκ συνεδρίου καὶ συνεξελεύσεται νεῖκος*». Τοῦτο τοίνυν, τὸ περὶ τῶν κοσμικῶν δηλαδὴ κεφάλαιον, προεισόδιον τῶν διαταγμάτων ἡμῶν ποιησάμενοι καὶ ὑποθέμενοι τοῖς φιλτάτοις ἡμῖν τεκνίοις καὶ ἀδελφοῖς μου φυλάττειν καὶ διασώζειν, ὡς ψυχικῆς ἀταραξίας καὶ ἀκινδύνου βιοτῆς ἐσόμενον πρόξενον, φέρε καὶ τὰ λοιπὰ τῆς διαταγῆς περὶ τῶν ἐν τῇ μοναχικῇ ὑμῶν καταστάσει διαληψώμεθα.

ΙΕ΄. Ἀλλὰ δεῦρο συντείνατέ μοι τὴν ἀκοήν, τιμιώτατα καὶ ποθεινότατα τέκνα, καὶ τῶν λεγομένων συνετῶς ἐπαΐετε· ἄρξομαι γὰρ ἐκ τοῦ συνεκτικωτέρου τῶν ἡμετέρων καὶ περιληπτικωτέρου καλοῦ. Τοῦτο δὲ τί ἂν εἴη ἕτερον ἢ ὁ καθ᾿ ἡμᾶς κοινωνικὸς καὶ ἀδιαίρετος βίος, καὶ ἡ πνευματικὴ ἕνωσις καὶ συμβίωσις; «*Τί τούτου λαμπρότερον, ἢ ὑψηλότερον, ἢ χαριέστερον παρὰ ἀνθρώποις πολίτευμα;*» (κατὰ τὸν μέγαν ἐρεῖν (2) Βασίλειον)· τὸ παράπαν οὐδέν, εἰ δεῖ γε ἁπλῶς ἀνθρώπινον ἀλλὰ μὴ ἀγγελικόν, εἰκότως τουτὶ τὸ ἀπαράμιλλον ὀνομάζειν κατόρθωμα· ἐπεί τοι καὶ τὴν τῶν ἀγγέλων ζωὴν ὡς ἀληθῶς ἐζηλώκασιν οἱ τὸ κοινωνικὸν δι᾿ ἀκριβείας τηροῦντες ἀληθινοὶ ἀσκηταί, τὴν ἐνάρετον αὐτῶν κοινωνίαν καὶ πολιτείαν ἀκραιφνὲς μίμημα τῆς ἀγγελικῆς καταστάσεως παριστῶντες. «*Κοινωνία γε μὴν βίου τελειοτάτη ἐκείνη κατονομάζεται, ἐν ᾗ κτήσεως μὲν ἰδιότης ἐξώρισται, γνώμης δὲ ἐναντίωσις ἀπελήλαται· κοινὰ δὲ τὰ σύμπαντα, ψυχαί, γνῶμαι, σώματα, καὶ ὅσοις τὰ σώματα τρέφεται καὶ θεραπεύεται· κοινὰ τὰ ἀγωνίσματα, κοινὸν τὸ τῆς ἐλπίδος ἐμπόρευμα, κοινοὶ καὶ οἱ στέφανοι· ὥστε μίαν ἐν πλείοσι σώμασι ψυχὴν θεωρεῖσθαι, καὶ πλεῖστα σώματα μιᾶς ψυχῆς ὄργανα δείκνυσθαι*» (3). Ταύτην

(1) Παροιμ. κβ΄, 10. Ἐν δὲ τῇ ἐκδόσει τῆς Μόσχας γράφεται: **Ἔκβαλε.**

(2) Συνήθης τοῖς Βυζαντινοῖς ἡ παράχρησις ἀπαρεμφατικοῦ μέλλοντος ἀντὶ ἀορίστου. Ἀπὸ μνήμης δὲ πάντως ἐξήνεγκε τοὺς λόγους τοῦ θείου πατρός· οὕτω γὰρ ἔχουσι: **«Τί ταύτης τῆς πολιτείας ἴσον; τί δὲ μακαριώτερον; τί τῆς συναφείας καὶ τῆς ἑνώσεως ἀκριβέστερον; τί τῆς τῶν ἠθῶν καὶ τῶν ψυχῶν συγκράσεως χαριέστερον;»** [Τόμ. Β΄, σελ. 561. Paris. 1722].

(3) Καὶ ἡ περίοδος αὕτη πᾶσα εἴληπται ἐκ τῶν τοῦ Μ. Βασιλείου: **«Κοινωνίαν γὰρ**

τοίνυν τὴν ἀξιύμνητον διαγωγήν, κατὰ τὰς ἀσκητικὰς ὑποτυπώσεις τοῦ μεγάλου Βασιλείου, καὶ ὑμεῖς καὶ οἱ μεθ' ὑμᾶς ἐνταῦθα βιωσόμενοι μετελεύσεσθε.

ΙϚ'. Ἥγε μὴν καθ' ἡμᾶς αὕτη τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου μονὴ μετὰ τῶν αὐτῇ νυνί τε ὑπαρχόντων καὶ ἐςύστερον ὑπαρξόντων καὶ προσεπικτηθησομένων, ἐλευθέρα ἐσεῖται (1) καὶ αὐτεξούσιος, καὶ μήτε βασιλικοῖς ἢ ἐκκλησιαστικοῖς δικαίοις ὑποβαλλομένη, μήτε προσωπικῇ οἱᾳδηποτοῦν ἢ ἀρχοντικῇ χειρὶ καὶ διακατοχῇ τρόπῳ τινὶ ὑποπίπτουσα, ἄχρι καὶ ψιλῆς ἐφορείας· ἀλλ' αὐτοδέσποτος ἐς τὸν αἰῶνα τὸν ἅπαντα διαμένουσα. Οὐκ ἐξέσται οὖν οὐδενὶ τῶν ἁπάντων, ἢ τὴν ῥηθεῖσαν ἔνθεσμον κοινοβιακὴν ζωὴν ἐν τῷ καθ' ἡμᾶς φροντιστηρίῳ καταλύειν καὶ ἀνατρέπειν, ἢ καθ' ἡντιναοῦν αἰτίαν ἢ λόγον τὴν μονὴν αὐτὴν ἤ τι τῶν ὑποκειμένων αὐτῇ πειρᾶσθαι καταδουλοῦν, καὶ τὴν ἐλευθερίαν ταύτης παραχαράττειν, ἐάν περ μὴ τῷ Δαθὰν καὶ Ἀβειρὼν (2) συγκατακριθήσεσθαι μέλλοι ὁποῖος ἂν καὶ εἴη ὁ πρὸς τοιαύτην ὅλως ἐγχείρησιν ἐλευσόμενος. Ταῦτα μὲν οὖν ἐς τοσοῦτον· περὶ δὲ τῶν λοιπῶν διαταγμάτων αὐτίκα μάλα λελέξεται.

ΙΖ'. Πρό γε μέν τοι παντός, περὶ τοῦ πρώτου καὶ ἀληθοῦς ἡμῶν ἔργου, λέγω δὲ τῆς πρὸς Θεὸν δοξολογίας, ἁρμοδίως εἰρήσεται. Διὰ γὰρ αὐτὸ τοῦτο καὶ ἐκ τοῦ μὴ ὄντος, ὡς ἐμαυτὸν πείθω, εἰς τὸ εἶναι παρήχθημεν, καὶ λόγῳ καθωραΐσθημεν, ἵνα τὸν δημιουργὸν ἀσιγήτοις ὑμνολογίαις γεραίρωμεν. Πάντως δὲ καὶ τὸ καλεῖσθαι ἀγγελικὸν τῆς μοναχικῆς πολιτείας τὸ σχῆμα

**βίου** (φησὶ) **τελεωτάτην ἐγὼ καλῶ, ἐν ᾗ κτήσεως μὲν ἰδιότης ἐξώρισται, γνώμης δὲ ἐναντίωσις ἀπελήλαται, ταραχὴ δὲ πᾶσα, καὶ φιλονεικία, καὶ ἔριδες ἐκ ποδῶν ἐστήκασι· κοινὰ δὲ τὰ σύμπαντα, ψυχαί, γνῶμαι, σώματα, καὶ ὅσοις τὰ σώματα τρέφεται καὶ θεραπεύεται· κοινὸς ὁ Θεός, κοινὸν τὸ τῆς εὐσεβείας ἐμπόρευμα, κοινὴ ἡ σωτηρία, κοινὰ τὰ ἀγωνίσματα, κοινοὶ οἱ πόνοι, κοινοὶ οἱ στέφανοι, εἷς οἱ πολλοί, καὶ ὁ εἷς οὐ μόνος, ἀλλ' ἐν πλείοσι».** [Αὐτόθ. σελ. 561].

(1) Δωριστὶ ἐξήνεγκε τὸν μέλλοντα.

(2) Οὓς ζῶντας κατέπιε ῥαγεῖσα ἡ γῆ ['Αριθμ. ιϛ'.—Δευτερον. ιά,6.—Ψαλμ. ρέ,18].

καὶ ἐπιτήδευμα εἰς τοῦτο φέρει. Ἐντεῦθεν γὰρ *ἀγγέλων ἀντίφωνον*, κατὰ τὴν θεηγόρον γλῶσσαν εἰπεῖν (1), τὸ τοῦ Θεοῦ πλάσμα ὁ ἄνθρωπος ἀναδείκνυται, ὡς τὸ ἐκείνων ἔργον κατὰ τὸ ἐφικτὸν τῇ οἰκείᾳ φύσει ἀπομιμούμενος. Εἴη δ' ἂν ἐκεῖνος ὕμνος διηνεκὴς καὶ ἀπέραντος. Ὅθεν οἱ μακάριοι καὶ θεοφόροι πατέρες ἡμῶν, παντοίας σχέσεως ἀνθρωπίνης καὶ γηΐνης φροντίδος ἀπεῤῥωγότες, καὶ τῷ ἀκροτάτῳ τῶν ἐφετῶν, ὡς οἷόν τε, νοερῶς συναφθέντες, ὅλον *τὸν τῆς παροικίας χρόνον* (2) ἐν προσευχαῖς τε καὶ ὕμνοις πνευματικοῖς διηνύκασι, κατὰ τὸ κυριακὸν ἐν Εὐαγγελίοις λόγιον: *τὴν ἐντὸς αὐτῶν οὖσαν τῶν οὐρανῶν βασιλείαν* (3) ἀνολιγώρως καὶ καρτερῶς ἐκζητήσαντες, καὶ διὰ τῆς ἐπιμόνου προσευχῆς καὶ μονολογίστου ἐλπίδος αὐτὴν εὑράμενοι, ἐμφρόνως τε καὶ μάλα συμφερόντως πραγματευσάμενοι, καὶ κατὰ τὸν μακαριζόμενον *ἔμπορον*, τῶν ὁρωμένων πάντων *τὸν τίμιον* εἰκότως *μαργαρίτην ἀντωνησάμενοι* (4). Νουνεχῶς γὰρ ἠκηκόεισαν τοῦ μὲν ἱεροψάλτου Δαβὶδ βοῶντος: «*Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου,*

(1) Τὴν χρῆσιν ταύτην ἐξήνεγκεν ἐκ τῆς ἐν ταῖς παλαιοτέραις μὲν ἐκδόσεσι τῶν τοῦ Θεολόγου συγγραμμάτων ἐλλειπούσης **Δοξολογίας**, φερομένης δὲ ἐν τρισὶ τῶν τῆς Πατμιακῆς βιβλιοθήκης χειρογράφων τευχῶν, ἤτοι τῷ ΛΓ', ΛΔ' καὶ ΛΕ'. Ἐκδέδοται δὲ τὸ πρῶτον, ὅσον ἐγὼ γινώσκω, ἐν τῷ **Συντάγματι τῶν ἀρχαίων Ἑλλήνων ποιητῶν** [τόμ. Δ', σελ. 189. Colon. Allobrog. 1614], οὐχὶ μέντοι γε πλήρης, ἅτε ἐν τῷ 28 καταλήγουσα στίχῳ. Ὁλόκληρος δ' εὕρηται ἐκδεδομένη ἐν τῇ Γαλλανδίου **Βιβλιοθήκῃ τῶν ἀρχαίων Πατέρων** [Andr. Gallandii Biblioth. Patr. τόμ. ς', σελ. 446], **Ὕμνος ἑσπερινὸς** ἐπιγεγραμμένη· ἣν κατέταξε καὶ ὁ Migne ἐν τῇ **Ἑλληνικῇ Πατρολογίᾳ** αὐτοῦ [τόμ. ΛΖ', σελ. 513]. Ἡ τοίνυν περικοπή, εἰς ἣν ἀναφέρεται τοῦ ὁσίου ἡ χρῆσις, ἐστὶν ἥδε:

Σὺ μὲν βάλοις ἐλαφρὸν
Ὕπνον ἐμοῖς βλεφάροις,
Ὡς μὴ γλῶσσαν ὑμνῳδὸν
Ἐπὶ πολὺ νεκροῦσθαι,
Μήτε **ἀντίφωνον ἀγγέλων**
**Πλάσμα σὸν** ἡσυχάζει.

[Παράβαλε δὲ καὶ ἐν τοῖς τοῦ θείου πατρὸς ἔπεσι τὸν **Περὶ ταπεινοφροσύνης, σωφροσύνης καὶ ἐγκρατείας** ἐπιγεγραμμένον ΙΗ' Λόγον, στίχ. 918-923. Τόμ. Β'.]

(2) Α', Πέτρ. ά, 17.

(3) Λουκ. ιζ', 21. (4) Ματθ. ιγ', 45.

*ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου»* (1)· καὶ αὖθις: «*Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου»* (2)· τοῦ δὲ Ἀποστόλου σαφῶς παραινοῦντος: *Ἀδιαλείπτως προσεύχεσθε»* (3), ἀλλὰ καὶ αὐτοῦ τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν ὁτὲ μὲν παραβολὴν *πρὸς τὸ δεῖν προσεύχεσθαι καὶ μὴ ἐκκακεῖν* (4), ἐξυφαίνοντος, ὁτὲ δέ: «*Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν»* (5), προστακτικῶς ἀποφαινομένου καὶ φάσκοντος, καὶ προθύμως πεπειθαρχήκασι, καὶ ἀκριβῶς τετηρήκασιν. Ἀλλ᾽ ἐκεῖνοι μέν, ὡς εἴρηται, ὅλην αὐτῶν τὴν ζωὴν τῷ πνεύματι καθιέρωσαν. Ἡμεῖς δέ, εἴπερ τῆς οἰκείας κἂν ἀσθενείας ἐπιγνώμονες χρηματίσαντες, τῆς αὐτομεμψίας μὴ ἀφεξοίμεθα, και μηδὲ τῆς κατὰ δύναμιν τῶν εὐχῶν ἐργασίας καταμελήσαιμεν. Πιστεύομεν τοῖς οἰκτιρμοῖς τοῦ φιλανθρώπου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ καὶ δωρεὰν ὡςπεροῦν καὶ οὕτω δωρεὰν σώζοντος τοὺς ἐπ᾽ αὐτὸν ἠλπικότας, ὡς οὐ παντάπασιν ἀποβληθησόμεθα, οὐδὲ τῆς ἀγαθῆς ἐλπίδος πόῤῥω πεσούμεθα, γνησίους ἔχοντες μεσίτας καὶ πρεσβευτὰς τὴν ὑπερφυῶς αὐτὸν σαρκὶ τεκοῦσαν ὑπέραγνον Παρθένον καὶ θεομήτορα, καὶ τὸν ἠγαπημένον μύστην αὐτοῦ τὸν Εὐαγγελιστὴν καὶ Θεολόγον, Ἰωάννην λέγω τὸν πάνυ, τὸν παρθένον καὶ ἐπιστήθιον. Οἶδε γὰρ ἡ τῆς σοφίας πηγὴ καὶ τῆς ἀγαθότητος, καὶ *Παύλου τὴν φυτείαν* ὡς Παύλου δέχεσθαι, καὶ *Ἀπολλὼ τὴν ἀρδείαν* (6), καὶ τὰ *δύο λεπτὰ τῆς χήρας* (7), καὶ *τοῦ τελώνου τὴν ταπείνωσιν* (8), καὶ *τοῦ Μανασσῆ τὴν ἐξαγόρευ-*

(1) Ψαλμ. ο', 8.
(2) Ψαλμ. λγ', 2.
(3) Α', Θεσσαλ. έ, 17.
(4) Λουκ. ιή, 1.
(5) Ματθ. κς', 41.
(6) Παρὰ τό: «**Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισε**» [Α', Κορινθ. γ', **6**].
(7) Μάρκ. ιβ', 42.
(8) Λουκ. ιή, 10-14.

*σιν* (1). Τοιγαροῦν ἐπιτρέπω καὶ διατάττομαι, τὴν ἐκκλησιαστικὴν ὑμνῳδίαν, καὶ πᾶσαν ἁπλῶς τὴν ἐν ψαλμῳδίαις καὶ προςευχαῖς ἀκολουθίαν προβαίνειν ἐν τῷ ἱερῷ καὶ σεβασμίῳ τουτῳὶ σεμνείῳ ἡμῶν κατὰ τὸ τυπικὸν τῆς ἐν Ἱεροσολύμοις λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα καὶ μεγάλου τῆς ἐρήμου καθηγητοῦ. Καὶ κατὰ πᾶσαν μὲν δεσποτικὴν ἑορτήν, ἔτι δὲ καὶ εἰς τὰς τῆς ἁγίας τεσσαρακοστῆς κυριακάς, αἱ ἀγρυπνίαι μετὰ καὶ τοῦ μεγάλου ἑσπερινοῦ, ὡς τὸ μνημονευθὲν διέξεισι τυπικόν, ἀπαραβάτως ἐκτελεσθήσονται· ἐν δὲ ταῖς ἄλλαις πάσαις τοῦ χρόνου κυριακαῖς καὶ ταῖς ἑορταῖς, οἰκονομικώτερόν πως, ἤτοι συγκαταβατικώτερον, περὶ τὰς ἀγρυπνίας διατεθήσεσθε, καθὼς ἄρα ἡ τοῦ *καθηγουμένου* διάκρισις βούλοιτο. Ἐπισκήπτω τοίνυν τυπικὸν ἐκτεθῆναι τῆς ἐκκλησίας, ἤτοι συναξάριον, κατὰ λεπτὸν δηλοῦν πᾶσαν τὴν δι' ἔτους ἐκτελουμένην τοῖς εἰρημένοις Ἱεροσολυμίταις εἴτουν Ἁγιοσαββίταις ἐν ψαλμικαῖς τε καὶ εὐκτικαῖς ἀκολουθίαις ἀκρίβειαν, καὶ καθ' ὃν εἰρήκαμεν τρόπον ἐκπληροῦσθαι καὶ ἐνεργεῖσθαι παρ' ὑμῖν τοῖς εὐλαβέσιν ἀδελφοῖς καὶ τέκνοις μου, καὶ φυλάττεσθαι. Ἤδη δὲ καὶ περὶ ἐκλογῆς καὶ προχειρίσεως τῶν μετὰ τὴν ἐμὴν ἀποβίωσιν κατὰ διαδοχὰς προστησομένων ὑμῶν καὶ τὸ τῆς ἡγουμενείας ἀναδεξομένων ἀξίωμα διαληπτέον.

ΙΗ'. Κρίσει κοινῇ καὶ ψήφῳ τῶν τε προκρίτων τῆς ἀδελφότητος καὶ πάντων ἁπλῶς τῶν τῆς ἱερᾶς ἡμῶν μονῆς μοναχῶν, τὴν τοῦ καθηγουμενεύσοντος ἐκλογὴν προβαίνειν ἐντέλλομαι. Τοῦτο γὰρ καὶ ἐν τῇ συγγραφῇ τοῦ βίου τοῦ μεγάλου πατρὸς ἡμῶν Παχωμίου, καὶ ἐν τῷ βίῳ τοῦ ὁσίου καὶ θεοφρουρήτου (2) πατρὸς Εὐθυμίου, ὡς καλῶς ἔχον προκεκριμένον εὑρήκαμεν. Ἀλλὰ καὶ ὁ ἐν βασιλεῦσιν ἀείμνηστος Ἰουστινιανὸς ἐναργῶς οὕτω περὶ τῆς τοιαύτης ἐκλογῆς ἐν ταῖς ἑαυτοῦ τεθεσμοθέτηκε

(1) Β' Παραλειπ. λγ'. Πᾶσαι δὲ αἱ ῥήσεις, αἷς ἐν τῇ περιόδῳ ταύτῃ ἐχρήσατο, μετελήφθησαν ἀπαραλλάκτως ἀπὸ Γρηγορίου τοῦ Θεολόγου [**Ὁμιλ. εἰς τὴν χειροτον. Δοάρων.** Τόμ. Α', σελ. 494, καὶ **Λόγ. εἰς τὸν Ἐξισ. Ἰουλιαν.** σελ. 153].

(2) Ἐγέγραπτο πάντως ἐν τῷ ἀρχετύπῳ: **Θεοφορήτου.**

διατάξεσι (1). Τὸν οὖν ἐκλεγέντα πάντες οἱ ἀδελφοὶ συμπαραλαμβάνοντες ἐν τῇ ἐκκλησίᾳ εἰςιέτωσαν, καὶ τοῦ ἱερέως εὐλογήσαντος τὸν Θεόν, τριςάγιον ψαλήσεται παρὰ πάντων καὶ ψαλμοὶ τρεῖς, ὁ πεντηκοστός, ὁ ἑξηκοστὸς ἔννατος, καὶ ὁ ἐννενηκοστός, καὶ αὖθις τριςάγιον, ἀπολυτίκιόν τε τῶν ἁγίων πατέρων καὶ ἡ μετὰ τέλος εὐχή. Εἶθ' οὕτως λήψεται τὴν ποιμαντικὴν ῥάβδον ὁ ἱερεύς, ἔνδον τῶν ἱερῶν κιγκλίδων (2) πρὸ τοῦ ἁγίου θυσιαστηρίου κειμένην, καὶ τῷ εἰς ἡγουμενείαν προκριθέντι ταύτην ἐγχειρίσει, καὶ τοῦτον ἀσπάσεται· εἶτα καθεξῆς αὐτὸν οἱ ξύμπαντες ἀσπάσονται ἀδελφοί· καὶ μετὰ τὸν ἀσπασμὸν ἀγαγόντες τὸν ἤδη *προεστῶτα* (3) γενόμενον, τῷ ἡγουμενικῷ θρόνῳ ἐγκαθιδρύσουσιν, ἐπιφωνοῦντες τό: *Ἄξιος*, καὶ παρερχόμενοι εἷς ἕκαστος τὴν συνήθη μετάνοιαν μετ' εὐλαβείας ποιήσονται. Ἔκτοτε δ' οὗτος μὲν ὁ ἐγκριθεὶς εἰς τὴν προστασίαν, ποιμένος καὶ διδασκάλου, κρεῖσσον δὲ εἰπεῖν πατρὸς ἢ κεφαλῆς χώραν ἐπέχων, πάντων τῶν τῆς μονῆς καὶ τῶν ὑπ' αὐτὴν ἀναμφηρίστως ὀφείλει κρατεῖν, τῶν μὲν ἐνασκουμένων αὐτῇ πάντων ἀδελφῶν ὡς υἱῶν γνησίων καὶ μελῶν οἰκείων ἐπιμελόμενος καὶ περιεχόμενος, καὶ τῆς κατὰ λόγον αὐτῶν ψυχικῆς βελτιώσεως καὶ σωματικῆς αὐταρκείας φροντίζων ἅμα καὶ προμηθούμενος· τῶν δὲ τῇ μονῇ διαφερόντων ὅλων ἁπαξαπλῶς τὴν πρόνοιαν καὶ οἰκονομίαν, διὰ τῶν ἐν ἑκάστῃ διακονίᾳ τεταγμένων ἀδελφῶν, κυρίως καὶ κατὰ τὸ αὐτῷ δεδογμένον ποιούμε-

(1) Ἡ περὶ ἐκλογῆς **ἡγουμένων** διάταξις τοῦ βασιλέως ἐκείνου ἔχει οὕτω: « **Κελεύομεν, τὸν ἀββᾶν ἢ τὸν ἀρχιμανδρίτην, τοὺς ἐν ἑκάστῳ μοναστηρίῳ προβάλλεσθαι, μὴ πάντως κατὰ τοὺς βαθμοὺς τῶν μοναχῶν, ἀλλ' ὃν πάντες οἱ μοναχοί, ἢ οἱ καλλίονος ὑπολήψεως ὄντες, ἐπιλέξονται, προκειμένων τῶν ἁγίων Εὐαγγελίων, λέγοντες, ὡς οὐ διὰ φιλίαν, ἢ δι' ἄλλην οἱανδήποτε σχέσιν, ἀλλὰ γινώσκοντες αὐτὸν καὶ τῇ πίστει ὀρθόν, καὶ τῷ βίῳ σώφρονα, καὶ τῆς διοικήσεως ἄξιον, καὶ δυνάμενον τὴν τῶν μοναχῶν ἐπιστήμην, καὶ πᾶσαν τὴν τοῦ μοναστηρίου κατάστασιν, χρησίμως φυλάξαι, αὐτὸν ἐπελέξαντο,** κτλ. » [Ἴδε Βασιλικ. Βιβλ. Δ', τίτλ. Α', κεφ. 6', ἔκδ. Heimbach].

(2) Τῶν παρ' ἡμῶν βαρβάρως **Τέμπλου**, ὑπὸ δὲ τῶν ἀρχαίων **Δρυφάκτων** λεγομένων [Σωζόμ. 'Εκκλ. Ἱστορ. Ζ', κδ'].

(3) Καὶ ἐν τοῖς ἐφεξῆς ὁτὲ μὲν **ἡγούμενον**, ὁτὲ δὲ **προεστῶτα** κατὰ συνωνυμίαν καλεῖ τὸν τῆς μονῆς ἀρχηγόν.

νος. Εἰ γάρ, κατὰ τοὺς ἱεροὺς κανόνας εἰπεῖν (1), τιμίας ἀνθρώπων *ψυχὰς* αὐτῷ ἐγχειρίζομεν, ὧν *οὐδὲ μιᾶς ὁ κόσμος ἅπας ἀντάξιος* (2), τί περὶ τῶν ἀνθρωπίνων καὶ ὑλικῶν προςῆκε λογίζεσθαι; Οἱ δέ γε ὑπ' αὐτῷ τεταγμένοι, ἀπὸ τοῦ πρώτου καὶ τιμιωτάτου μέχρι τοῦ δοκοῦντος ἐσχάτου καὶ τελευταίου, μαθητῶν καὶ ὑπηκόων εὐπείθειαν καὶ ὑπακοὴν σὺν αἰδοῖ πολλῇ καὶ ταπεινοφροσύνῃ τῷ *προεστῶτι* ἔσονται διασώζοντες, κατ' οὐδὲν τῆς κατὰ σῶμα πρὸς κεφαλὴν συμφυΐας καὶ εὐαρμοστίας ἢ ἀλληλουχίας ἀπολειπόμενοι.

ΙΘ΄. Οὐκοῦν ἴθι μοι, ὦ πάτερ καὶ ἀδελφὲ ἐν Κυρίῳ, ὅστις ἂν εἴης ὁ τὸν ζυγὸν τῆςδε τῆς διακονίας καὶ προεδρίας ὑπειςιών. Ἐπειδή γε πρὸς σὲ λοιπὸν ὁ λόγος τὸν *καθηγούμενον*: « *Ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου* », κατὰ τὸ γεγραμμένον (3), καί: « *Δέξαι ῥήσεις χειλέων ἐμῶν, καὶ ῥῆσιν ἐμῆς ἐντολῆς, ἣν εἰ παρὰ σεαυτῷ τηρήσεις,* ὥς που Σολομὼν ὁ σοφὸς παρηγγύησεν (4), *ἐπακούσεται σοφίας τὸ οὖς σου, καὶ παραβαλεῖς καρδίαν εἰς σύνεσιν· παραβαλεῖς δὲ καὶ αὐτὸς ταύτην εἰς νουθέτησιν τῷ υἱῷ σου.— Ὅτι λύχνος ἐντολή, νόμος δὲ φῶς* ». Ἰδοὺ γὰρ παρατίθημί σοι ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων αὐτοῦ πᾶσαν τὴν ἐν Χριστῷ ἀδελφότητα. Ὅρα οὖν ὅπως αὐτὴν εἰςδέξῃ, πῶς δὲ προςλάβοις ἢ ὁδηγήσεις καὶ διατηρήσεις, ὡς μέλη σου φίλτατα θάλπων καὶ περιέπων, κατὰ τὸ ἴσον τῆς ἀγάπης μέτρον· διέγειρόν σου τὸ πρόθυμον τῆς ψυχῆς ἐν ἀνδρίᾳ· προπόρευσαι αὐτῶν ἐν πάσῃ ἀγαθοεργίᾳ· ὑπεράσπισον, διευθέτησον, εἰςάγαγε αὐτοὺς εἰς τὸν τῆς ἀρετῆς τόπον, καὶ τὴν γῆν τῆς ἀπαθείας αὐτοῖς κληροδότησον, τύπος ἔμψυχος

(1) Ἀγνοῶ ὁποίους τινὰς κανόνας ἐνταῦθα ὑπονοεῖ. Μή ποτε τοὺς τῶν ἁγίων Συνόδων λέγει, ἢ τοὺς ἑτέροις ἁγίοις πατράσιν, οἷον Βασιλείῳ καὶ λοιποῖς περὶ πολιτείας μοναχικῆς τεθεσμοθετημένους; Σὺ δέ μοι ὅρα τῆς λεγομένης Α΄ καὶ Β΄ Συνόδου τὸν Γ΄ κανόνα.

(2) Ματθ. ιϛ΄, 26.

(3) Ἰὼβ λή, 3.

(4) Παροιμ. 6΄, 1-3, καὶ ϛ΄, 23. Ἐν τῇ ἐκδόσει μέν τοι τῆς Μόσχας γράφεται: **«Ὅτι λύχνος ἐντολὴ νόμου καὶ φῶς».**

καὶ κανὼν ἀρίστων πράξεων τούτοις γινόμενος, ἀλλὰ μὴ *τῆς θαυμασίας ἀρετῆς κακὸς ζωγράφος φαινόμενος, καὶ πλέον* (ἵνα καὶ αὖθις τοῖς τῆς θεηγόρου γλώττης χρήσωμαι ῥήμασι)(1), *κατὰ ἀρετὴν τῶν ὑποκειμένων προέχων, ἢ ὁπόσον ὑπερέχεις* τῷ τῆς ἀρχῆς *ἀξιώματι*. Οὔκουν, ἀδελφέ, τῆς πρὸς Θεὸν ἀγάπης πώποτέ τι προτιμήσειας, οὔτε μὴν τῆς τῶν πιστευομένων σοι ψυχῶν σωτηρίας κερδαλεώτερον οὐδὲ προὐργιαίτερον τὸ παράπαν νομίσεις, εὖ μάλα εἰδώς, ὅτι καὶ προκινδυνεύειν τοῦ ποιμνίου, καὶ *τὴν ψυχὴν* εὐαγγελικῶς (2) *ὑπὲρ* τῆς *τῶν ποιμαινομένων* σωτηρίας *τιθέναι ὅ γε καλὸς ποιμὴν καὶ οὐχὶ μισθωτὸς*, οὐδὲ *ἐν πίθῳ*, τὸ ᾀδόμενον, *τὴν κεραμείαν ἀσκούμενος* (3), κεχρεώστηκε· καὶ ὅτι, ὁ μὴ κατὰ προαίρεσιν οὕτω διακείμενος καὶ φρονῶν, οὐδὲν ἕτερον, ὡς εἰκός, ἀκούσεται ἢ τὰ παρὰ τῶν προφητῶν ἀπειλητικῶς ἐκ προσώπου τοῦ Θεοῦ πρὸς τοὺς οὐκ ἀγαθοὺς ποιμένας λεγόμενα: « *Ῥομφαία ἐξεγέρθητι ἐπὶ τοὺς ποιμένας, καὶ πατάξω τοὺς ποιμένας, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας* » (4) — « *καὶ ἐκζητήσω τὰ πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν* » (5)· διατί; « *Ὅτι τὸ ἠσθενηκὸς οὐκ ἐνισχύουσι, καὶ τὸ συντετριμμένον οὐ καταδεσμοῦσι, καὶ τὸ πλανώμενον οὐκ ἐπιστρέφουσι, καὶ τὸ ἀπολωλὸς οὐκ ἐκζητοῦσι, καὶ τὸ ἰσχυρὸν οὐ φυλάττουσιν* » (6). Ἀρκεῖ ταῦτα εἰς παραγγελίαν τῷ *ἡγουμένῳ*.

Κ΄. Ἐπεὶ δὲ ἀκαταπίστευτός πως ἐστὶν ἡ φύσις ἡμῶν, καὶ

(1) Γρηγόρ. ὁ Θεολ. ἐν τῷ **Ἀπολογητ. ἢ Περὶ ἱερωσύν.** σελ. 7.

(2) Ἰωάν. ι΄, 11.

(3) « **Ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν** »· **παροιμία ἐπὶ τῶν τὰς πρώτας μὲν μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ εὐθέως τῶν μειζόνων· ὡς εἴ τις μανθάνει κεραμεύειν πρὶν μαθεῖν πίνακας ἢ ἄλλο τι τῶν μικρῶν πλάττειν, πίθον ἐγχειροίη ποιεῖν** [Ζηνόβ. **Παροιμ.** Γ΄, 65]. Ἡ δὲ παροιμία ἀναφέρεται καὶ ἐν τῷ μνημονευθέντι **Ἀπολογητικῷ** Γρηγορίου τοῦ Θεολόγου [τόμ. Α΄, σελ. 20]. Μέμνηται δ' αὐτῆς καὶ Πλάτων [**Γοργ.** σελ. 147, καὶ **Λάχ.** σελ. 268 μετὰ τῶν αὐτόθι σχολίων].

(4) Ζαχαρ. ιγ΄, 7.

(5) Ἰεζεκ. λδ΄, 10.

(6) Ὁ αὐτ. λδ΄, 4.

οὐδὲν οὕτως ὀξύτρεπτόν τε καὶ εὐμετάβολον ζῷον ὡς ἄνθρωπος (1), οὐκ ἄκαιρον οἶμαι ὀλίγα ἄττα εἰπεῖν καὶ περὶ τοῦ μὴ ὡς δέον ἡγουμενεύοντος. Ὁπόταν καθ' οἱονδήτινα τρόπον ὁ *προεστὼς* ἀθετοίη τι τῶν ἡμετέρων τούτων διαταγμάτων, ὧν ἐν τῷ παρόντι δηλονότι ἐγγράφῳ ἄνωθεν ἀρξάμενοι διεμνημονεύσαμεν, ἢ καὶ προϊόντες ἄχρι τέλους ἐπιμνησθείημεν, ἢ τὴν τῆς κοινοβιακῆς πολιτείας ἀκρίβειαν φανείη παραχαράττων ἐξ οἰκείας ἴσως φιληδονίας, ἢ τὰς τῆς μονῆς προσόδους παρακερδαίνειν βουληθείη, καὶ νοσφιζόμενος ἀπελέγχοιτο, μὴ εὐθὺς ἀτάκτως αὐτοῦ τοὺς πάντας κατεξανίστασθαι, ἀλλ' ἐξεῖναι βουλόμεθα τοῖς εὐλαβεστέροις καὶ προκρίτοις τῶν ἀδελφῶν, ἤγουν τῷ *οἰκονόμῳ*, τῷ *ἐκκλησιάρχῃ*, καὶ τοῖς ἱερεῦσιν, ἠπίως ἄγαν καὶ μετὰ προσήκοντος τοῦ σεβάσματος ὑπομιμνήσκειν περὶ τοῦ πλημμελήματος, καὶ τὸ τῆς φιλοπατορίας τε καὶ τῆς φιλαδελφίας καλὸν ἐπιδείκνυσθαι διὰ τοῦ σπεύδειν ὁλοσχερῶς εἰς τὴν ἐκείνου διόρθωσιν· τοῦτο δὲ οὐχ ἅπαξ ποιεῖν, ἀλλὰ καὶ πολλάκις μετὰ πολλῆς τῆς προσηνείας καὶ ἱλαρότητος. Καὶ εἰ μὲν ἑαυτοῦ ποτε γενόμενος, τῶν ἀπηγορευμένων ἐκεῖνος ἔργων ἀπόσχοιτο, ἔστω πάλιν καὶ ἡγουμενευέτω· εἰ δὲ καὶ μετὰ τὰς κοινὰς καὶ ἰδιαζούσας παραινέσεις ἰσχυρογνώμων μένει πρὸς τὸ κακὸν καὶ παντελῶς ἀδιόρθωτος, μετακινεῖσθαι τοῦτον τῆς προστασίας ἀθορύβως τε καὶ ἀφιλονείκως διοριζόμεθα, ἕτερον δὲ πάλιν, καθ' ὃν εἰρήκαμεν τρόπον, ἐκλέγεσθαί τε καὶ προχειρίζεσθαι. Ἔφορον δὲ τῆς ἡμετέρας ἐπὶ τῇ ἐκλογῇ τῶν κατὰ διαδοχὰς μελλόντων ἡγουμενεῦσαι κρίσεως, τὸ πανδερκὲς ὑμῖν τῆς Δίκης ὄμμα ἐνίστημι, καὶ παρεγγυῶμαι δίχα πάθους ἀνθρωπίνου τοῦ οἱουδήτινος καὶ τὴν πρόκρισιν ποιεῖσθαι, καὶ αὖθις, εἴποτε συμβαίη (ὅπερ ἀπείη), τοῦ φανέντος ἴσως ἀδοκίμου καὶ

(1) Οὕτω καὶ Πλάτων ἔφθη περὶ ἀνθρώπου ὁρισάμενος. Ἑλίκωνι γὰρ τῷ Κυζικηνῷ (φησὶ Πλούταρχος ἐν τῷ **Περὶ δυςωπ.** ιά) διδοὺς πρὸς Διονύσιον ἐπιστολήν, ἐπῄνεσεν αὐτόν, ὡς ἐπιεικῆ καὶ μέτριον· εἶτα προςέγραψε τῇ ἐπιστολῇ τελευτώσῃ: **Γράφω δέ σοι ταῦτα περὶ ἀνθρώπου, ζώου φύσει εὐμεταβόλου.** Σημειούσθω δέ, ὅτι οὔπω ἐθησαυρίσθησαν ἐν τοῖς λεξικοῖς αἱ λέξεις: **'Ακαταπίστευτος** καί: **'Οξύτρεπτος.**

ἀδιορθώτου τὴν μετακίνησιν. Εἰδ' οὖν, ἀλλ' εὖ ἴστε, ὡς ὁ προδοὺς ἐν τούτοισι τοῖς κεφαλαίοις τὸ δίκαιον οὐκ ἐκφευξεῖται τὴν φοβερὰν ἀπειλὴν τοῦ δικαίου κριτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῆς τῶν κρυφίων ἀποκαλύψεως, ὅτε καί: «*Ἐνθύμιον ἀνθρώπου*, κατὰ τὸν θεῖον φάναι Δαβὶδ (1), *ἐξομολογήσεται τῷ Θεῷ, καὶ ἐγκατάλειμμα ἐνθυμίου εἰς ἑορτὰς αὐτῷ λογισθήσεται*». Καὶ τούτων μὲν ἅλις.

ΚΑ΄. Χρεὼν δὲ καὶ περὶ τῆς τῶν διακονητῶν διαλαβεῖν προβολῆς τε καὶ προχειρίσεως. Ὁ *καθηγούμενος* ἐκλέξεται τὸν ἀρετῇ, καὶ ὑπολήψει, καὶ ἐνεργείᾳ ἐν πάσῃ τῇ ἀδελφότητι ὑπερφέροντα, καὶ προχειριεῖται αὐτόν, εἰδήσει καὶ τῶν προκρίτων ἀδελφῶν, τῆς μονῆς καὶ τῶν ὑπ' αὐτὴν καὶ περὶ αὐτὴν κτημάτων καὶ πραγμάτων καθολικὸν *οἰκονόμον*, τρισαγίου γινομένου ἐν τῇ ἐκκλησίᾳ, παρούσης τῆς ἀδελφότητος· εἶθ' οὕτω προβαινούσης παρὰ τοῦ *καθηγουμένου*, κατὰ τὸ εἰωθός, καὶ τῆς προχειρίσεως. Καὶ ἔκτοτε ἔσται πάντα ἐνεργῶν ὁ *οἰκονόμος* κατὰ τὴν τοῦ *καθηγουμένου* θέλησιν· ἐνεργήσει δὲ ὅλως οὐδὲν ἄνευ τῆς αὐτοῦ βουλῆς καὶ γνώμης καὶ κρίσεως. Καὶ *ἐκκλησιάρχης* δὲ ὑπὸ τοῦ *καθηγουμένου* ὁμοίως προχειρισθήσεται ὁ καὶ εὐλαβείας ἐπιεικῶς ἀντιποιούμενος, καὶ πρὸς τὴν ἐκκλησιαστικὴν εὐταξίαν καὶ παντοίαν κατάστασιν ἐπιδεξίως ἔχων, καί, ὡς οἷόν τε, ἐπιστημόνως. Αὐτὸς δὲ οὗτος ὁ *ἐκκλησιάρχης* καὶ τὰ βιβλία, καὶ μέν τοι καὶ τὰ χαρτῷα τῆς μονῆς δικαιώματα (2), καὶ εἴ τι ἄλλο τῆς ἐκκλησίας ἐστίν, ὀφείλει μετὰ ἀπογραφῆς παραλαμβάνειν καὶ σὺν ἐπιμελείᾳ πλείστῃ φυλάττειν. Ἀλλὰ καὶ δύο προβαλεῖται *δοχειαρίους* (3), καθ' ὃν εἰρήκαμεν τρόπον, ὁ *καθηγούμενος*· ὧν ἅτερος μέν, τὴν τῶν ἐκ τοῦ ἐλέους τοῦ

(1) Ψαλμ. οε΄, 11.

(2) Χαρτῷα δικαιώματα ἐννοεῖ, ὡς ἔγωγε οἶμαι, τὰ περὶ τῶν προνομιῶν καὶ ἄλλων τῆς μονῆς δικαίων βασιλικά τε καὶ πατριαρχικὰ θεσπίσματα, τὰ τῶν κτημάτων αὐτῆς ἔγγραφα καὶ τὰ παραπλήσια· ὅθεν καὶ γραμματοφύλακα καθίστησι τὸν ἐκκλησιάρχην.

(3) Καὶ ἐν ἄλλοις μοναστηρίων Τυπικοῖς **Δοχειάριοι** ὀνομάζονται οἱ τὴν ἐνταῦθα διαγραφομένην διακονίαν ὑποδυόμενοι.

Θεοῦ καὶ τοῦ ἀνεξαντλήτου πελάγους τῆς πλουσιοπαρόχου αὐτοῦ καὶ μεγαλοδώρου χρηστότητος ὁθενδήποτε προςποριζομένων τῷ κοινοβίῳ νομισμάτων λεπτομερεστέραν ἔξοδον ἐπεργάσει (1), ἐκ πάσης μὲν εἰςόδου γινομένης τε καὶ ἀπογραφομένης ἐνώπιον τοῦ *καθηγουμένου*, τοῦ *οἰκονόμου*, τοῦ *ἐκκλησιάρχου*, καὶ αὐτοῦ δὴ τοῦ *δοχειαρίου*, σφραγιζομένων τε παρ᾽ αὐτῶν καὶ φυλαττομένων τῶν νομισμάτων παρὰ τοῦ *ἐκκλησιάρχου*, ὡς καὶ τῶν λοιπῶν τιμίων καὶ εὐχρήστων τυγχάνοντος φύλακος, ἐξαγομένων δὲ καὶ διδομένων τῷ *δοχειαρίῳ* χάριν ἐξόδου ἡμερησίας, προβαινούσης ἀδηρίτως ὁρισμῷ τοῦ *ἡγουμενεύοντος*, εὐαριθμήτων νομισμάτων ἀρκεσόντων τυχὸν ἐπὶ μηνιαίῳ χρόνῳ, ἢ μικρῷ πλείονι ἢ ἐλάσσονι. Ὁπότε γε μὴν ἐξαντληθεῖεν παρὰ τοῦ αὐτοῦ *δοχειαρίου*, διὰ λεπτῆς ἀπογραφῆς εἰς τὰς ὑπὸ τοῦ *καθηγουμένου* κελευομένας ἐξόδους τῆς μονῆς, τὰ φθάσαντα ἐκβληθῆναι καὶ δοθῆναι νομίσματα, γενήσεται συμψηφισμὸς αὐτῶν καὶ ἐκλογισμὸς παρὰ τῶν ἀνωτέρω δηλωθέντων προςώπων, καὶ αὖθις ἕτερα ἐκβληθήσονται, καὶ ὁμοίως αὐτῷ δοθήσονται, καὶ οὕτω καθεξῆς τὰ τῶν νομισματικῶν εἰςόδων, καὶ μέν τοι καὶ τῶν ἐξόδων, ἔσονται ἐνεργούμενα. Ὁ δ᾽ ἕτερος *δοχειάριος* ὀφείλει κρατεῖν τὰ δι᾽ ὑφασμάτων εἰςοδιαζόμενα καὶ ἐξοδιαζόμενα, τὰ περιβόλαιά τε τῶν ἀδελφῶν καὶ τὰ σκεπάσματα, καὶ ὅσα πρὸς ἐνδυμενίαν ἁπλῶς τῶν ἐν τῇ μονῇ μοναχῶν ἢ καὶ τῶν δουλευτῶν κοσμικῶν, δι᾽ ἐπιμελείας τίθεσθαι. Πρὸς τούτοις καὶ τὸ εἰςοδιαζόμενον ὁθενδήποτε κηρίον ἅπαν, ἀλλὰ μὴν καὶ τὸ ἔλαιον, ἀφ᾽ ὧν ὀφείλουσι παραδίδοσθαι τῷ *ἐκκλησιάρχῃ*, προτροπῇ καὶ ὁρισμῷ τοῦ *καθηγουμένου*, τὰ ἀρκοῦντα τῇ ἐκκλησίᾳ καθ᾽ ἕκαστον τετράμηνον ἔλαιόν τε καὶ κηροί, πρότερον κατασκευαζόμενοι δι᾽ ἐπιστασίας τοῦ *προεστῶτος*, ὡς αὐτῷ προςῆκον δοκοίη, καὶ οὕτω τῷ *ἐκκλησιάρχῃ* διδόμενοι. Ἀλλὰ καὶ ἕτερόν τινα εὐλαβῆ καὶ ἱκανὸν προβαλεῖται ὁ *καθηγούμενος*, ἐφ᾽ ᾧ παραλαμβάνειν καὶ

(1) Γρ. Ἐπεργάσεται.

οἰκονομεῖν τά τε εἰςοδιαζόμενα ἤτοι ἐξωνούμενα σίδηρα καὶ ὅσα διὰ σιδήρων ἐργαλεῖα· ὃς δὴ καὶ τὸ προςφάγιον τῶν ἀδελφῶν, καὶ εἴ τι ἕτερόν ἐστιν εἰς ἔξοδον τῶν κοσμικῶν, ὀφείλει κρατεῖν. Προχειριεῖται ὡςαύτως καὶ *οἰνοχόον* ἐγκρατείᾳ κεκοσμημένον καὶ σταθηρότητι, τὸν μέλλοντα ποιεῖσθαι τὴν τοῦ εἰςοδιαζομένου παντὸς οἴνου εἴςοδόν τε καὶ ἔξοδον· ὁμοίως καὶ *κελλαρίτην* (1), ἐκ τῶν τῆς ἀδελφότητος εὐλαβεστέρων τε καὶ ἐμπειροτέρων, τά τε ἄλλα ἐπιεικείᾳ καὶ συνέσει καὶ πραΰτητι καλλυνόμενον καὶ πρὸς τὴν τοιαύτην διακονίαν ἐπιτηδείως ἔχοντα· ᾧτινι καὶ δύο *παρακελλαρῖται* καὶ *μάγειρος* εἰς ὑποτακτικὴν συνεργίαν δοθήσονται. Καὶ ἕτερος δὲ τῶν ἀδελφῶν εἰς τὸ εἶναι *τραπεζάριος* προβληθήσεται. Καὶ πάντες ἁπαξαπλῶς μετ' ἐλευθερίας πάσης καὶ παντελοῦς τοῦ ἰδίου θελήματος θνήσεως, ἐν εἰλικρινεῖ πίστει καὶ ἀνοθεύτῳ καὶ ὀρθῇ σπουδῇ καὶ προαιρέσει διακονήσουσι, τοῖς τοῦ *καθηγουμένου* πειθαρχοῦντες διηνεκῶς ἐπιτάγμασιν ἄτερ δισταγμοῦ καὶ διχονοίας τῆς οἱαςδήτινος, πείθοντες ἑαυτοὺς ὡς ἄντικρυς Θεῷ καὶ ἀγγέλοις ὑπηρετοῦσι, τοῖς ἀδελφοῖς ἐν πατρικοῖς κελεύσμασιν ἐκδουλεύοντες, μᾶλλον δέ, ἵνα τὸ μεῖζον εἴπω καὶ ὑψηλότερον, αὐτὸν ὡς ἐφικτὸν μιμοῦνται Χριστὸν τὸν Θεὸν ἡμῶν, τρανῶς ἐν τοῖς Εὐαγγελίοις (2): « *Οὐκ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι* » καὶ ποιοῦντα καὶ φάσκοντα· οὗ δὴ καὶ κληρονόμοι τῶν ἀποῤῥήτων γενήσονται ἀγαθῶν, εἰ τὸ τῆς διακονίας ἔργον ἀκίβδηλον διασώζοιεν.

ΚΒ΄. Οὐδὲν ἴδιον ἔχειν οὐδενὶ τῶν ἀδελφῶν ἐξέσται, πλὴν τῶν ἀναγκαίων περιβλημάτων καὶ σκεπασμάτων. Ἀναγκαῖα δ' ἐκεῖνα φαμέν, τὰ ὧν ἄνευ, ἀδύνατον ζῆν. Ἔστω δὲ χρῆμα καὶ πλοῦτος ἑκάστῳ ἡμῶν ἡ πασῶν τῶν ἀρετῶν ἐργάτις ἀκτημοσύνη, τὸ συνεκτικώτατον τῆς ἀσκητικῆς ἡμῶν πολιτείας κεφάλαιον· ἐφ' ᾧ καὶ νικᾶν ἄλλος ἄλλον ἀφιλονείκως σπουδά-

(1) Καὶ τοῦτο ἀπὸ τοῦ Λατιν. Cellarius (Ἑλ. Ταμίας. Ὅρα καὶ ὄπισθεν σελ. 73, ὑποσημ. 3). Ἔστι δὲ ὁ τὴν φυλακὴν τῆς ὀψοδόχης διαπεπιστευμένος.

(2) Ματθ. κ΄, 28. — Πρβλ. καὶ Λουκ. κβ΄, 27.

ζοιτε,τὴν ἀρίστην ἅμιλλαν ἁμιλλώμενοι. Χρυσὸν δὲ καὶ ἄργυρον καὶ χρῆμα πᾶν ὑλαῖον καὶ γήϊνον,τά γε πρὸς ἰδίαν κτῆσιν, ἀπὸ καρδίας μισήσατε. Μηδεὶς ὑμῶν εἰς ἴδιον κέρδος τὸ οἱονοῦν μεταχειριζέσθω ἐργόχειρον· ἀλλ᾽ εἴτε καλλιγραφεῖν τις ἠσκήθη, εἴτε τι ἕτερον μετιέναι, εἰδήσει καὶ προστάξει τοῦ *καθηγουμένου* ὀφείλει ἐργάζεσθαι πρὸς ὅπερ ἕκαστος πέφυκε, διδομένων μὲν τῶν ὑλῶν ἐκ τοῦ κοινοβίου, εἰςκομιζομένου δὲ τοῦ ἔργου μετὰ τὸν ἀπαρτισμὸν αὖθις εἰς τὸ κοινόβιον.

ΚΓ΄. Οὐδὲν δὲ ἀπεικὸς εἰ καὶ τῶν εἰς ἔρωτα ἡσυχίας ἴσως ἐλευσομένων ἀπὸ τῶν ἀδελφῶν ἡμῶν ὁ λόγος ἐπιμνησθείη. Ἐπειδὴ γὰρ πολλὴν ἔχει τὴν ἐρημίαν ἡ νῆσος,καὶ θέσεις τόπων εἰσὶν ἐν αὐτῇ τὸ ἠρεμαῖον πάντῃ καὶ ἀθόρυβον ἐνδεικνύμεναι, οἴομαι καὶ πρὸς τὴν ὑψηλὴν ταύτην καὶ τοῖς ὑπὸ παθῶν ὀχλουμένοις ἔτι δυςπρόςιτον διαγωγήν, ἵνα μὴ λέγω καὶ τελέως ἀνέφικτον, τινὰς ἐντεῦθεν ἐρεθισθήσεσθαι. Ταύτῃ τοι καὶ ἐντέλλομαι, ὡς εἴ τινα ἴδοι ὁ *καθηγούμενος* ταῖς τοῦ κοινοβίου πρότερον ἀγωγαῖς καὶ τοῖς τῆς ὑποταγῆς ἀθλήμασι στεῤῥῶς ἐνευδοκιμήσαντα, ἔπειτα μέν τοι καὶ πρὸς τὸ τῆς ἡσυχίας στάδιον προθύμως ἀποδύσασθαι προαιρούμενον, ἐφεῖναι μὲν αὐτῷ καὶ μὴ ἐμποδὼν γενέσθαι πρὸς κτῆσιν μείζονος ἀγαθοῦ· φθόνος γὰρ οὐδεὶς παρὰ πατρὸς υἱοῖς νουνεχῶς εἰς νοερὰν ἐπειγομένοις ἀνάβασιν· ἐφεῖναι δὲ οὐχ ἁπλῶς οὐδ᾽ ὥςτε τοῦ λοιποῦ τοὺς ἡσυχάζειν προελομένους αὐθαιρέτως βιοῦν καὶ γνώμαις ταῖς οἰκείαις στοιχεῖν, ὡς ἤδη τὸν τῆς ὑπακοῆς ζυγὸν ἀφ᾽ ἑαυτῶν ἀποῤῥίψαντας, καὶ τῆς τοῦ *προεστῶτος* ζεύγλης τοὺς ἰδίους αὐχένας ἐλευθερώσαντας· μὴ εἴη τοῦτο μηδ᾽ ἐφ᾽ ἑνί, μηδ᾽ ἀνεκτὸν φανείη τοῖς μεθ᾽ ἡμᾶς τῆς καθ᾽ ἡμᾶς εὐαγεστάτης μάνδρας προστησομένοις, καὶ τοῖς ὑπ᾽ αὐτῶν ὁσίως ποιμαινομένοις λογικοῖς τοῦ Χριστοῦ προβάτοις καὶ ἀγαπητοῖς ἐν Κυρίῳ τέκνοις μου· ἀλλ᾽ ἔστω μὲν καὶ αὖθις ὁ μέλλων ἡσυχάσαι, ὅςτις ἂν καὶ εἴη, ποιμένα ἔχων καὶ προεστῶτα τὸν *καθηγούμενον*, καὶ τὴν ὑποταγὴν αὐτῷ καὶ τὴν ὑπακοὴν τηρείτω διὰ παντὸς ἀπα-

ράθραυστον· ἐν ἀπωτάτῳ δὲ τῆς μονῆς, εἰς ἀποῤῥῶγα πέτραν ἢ σπήλαιον ἢ κελλίον μόνος καθήμενος, καὶ τὰς ὑποθημοσύνας ἐκ τοῦ ποιμένος δεχόμενος, ὕμνοις καὶ προσευχαῖς καὶ νοεραῖς ἐνθέοις ἐργασίαις προσασχολείσθω. Παρεχέτω δὲ αὐτῷ εἰς φίμωτρον ἀκηδίας καί τινα ὕλην ἐργοχείρου ὁ *καθηγούμενος*, ὡς ἂν ἀπαρτίζων τὸ κελευόμενον εἰσκομίζοι τῷ *προεστῶτι*, ὃν τρόπον καὶ οἱ λοιποὶ τῶν ἀδελφῶν οἱ ἐργοχειράριοι, ὡς ἀνωτέρω φθάσαντες ἐδηλώσαμεν.

ΚΔ΄. Ἡ γε μὴν δίαιτα τῷ ἡσυχαστῇ κατὰ τὰς πέντε τῆς ἑβδομάδος ἡμέρας ἄπυρος ἔσται καθόλου καὶ ἀμαγείρευτος. Τραφήσεται δὲ καθ' ἑκάστην ἡμέραν ἅπαξ μετὰ τὴν ἐννάτην ὥραν ξηροφαγῶν, διδομένων αὐτῷ προστάξει τοῦ *ἀββᾶ* ἐκ τοῦ κοινοβίου τῶν πρὸς διοίκησιν· κατὰ δὲ τὴν τοῦ σαββάτου λειτουργίαν ἐλεύσεται ἐν τῇ μονῇ καὶ συνεστιαθήσεται τῇ ἀδελφότητι, καὶ συνδιάξει ἔν τε τῷ λυχνικῷ καὶ τῇ ἀγρυπνίᾳ, παραμενεῖ τε τῇ θείᾳ μυσταγωγίᾳ τῆς κυριακῆς μεταληψόμενος τῶν ἁγίων τοῦ Χριστοῦ μυστηρίων, εἰ ἐπιτρέψει ὁ *καθηγούμενος* (ἄτερ γὰρ τῆς ἐπιτροπῆς ἐκείνου, οὐδὲ τῶν ἁγιασμάτων, ὥσπερ οὐδέ τις ἄλλος τῶν ἀδελφῶν, καταξιωθήσεται), αὖθίς τε ἀπολαύσει τῆς κοινῆς τραπέζης τῶν ἀδελφῶν, καὶ κατὰ τὴν τῆς αὐτῆς ἡμέρας, ἤγουν τῆς κυριακῆς, ἑσπέραν, λαβὼν τὰ εἰς τὴν ἐπιοῦσαν ἑβδομάδα, ἢ μᾶλλον εἰς τὸ τῆς ἑβδομάδος πενθήμερον ζωαρκῆ, καὶ τὰ πρὸς τὸ ἐργόχειρον ἐπιτήδεια, τὴν ἑαυτοῦ μονίαν καταλήψεται· καὶ καθεξῆς οὕτως ἔσται ποιῶν, μηδενὶ μηδὲν ἐν ταῖς συνάξεσιν ὁμιλῶν, πλὴν μόνου τοῦ *προεστῶτος*, εἰμὴ τυχὸν αὐτὸς ὁ *καθηγητὴς* καὶ πρὸς ἕτερόν τινα τῶν ἀδελφῶν ποιήσασθαι ὁμιλίαν τῷ ἡσυχαστῇ διορίσοιτο. Εἰ δὲ καὶ μεταξὺ τῆς ἑβδομάδος δεσποτική τις ἑορτὴ ἀπαντήσοι, καὶ τελεσθῆναι μέλλει παννύχιος ἀγρυπνία ἐν τῇ μονῇ, παραβαλεῖ κἂν ταύτῃ ἀφ' ἑσπέρας ὁ ἡσυχάζων καὶ διακαρτερήσει παραπλησίως ὥσπερ δὴ καὶ ἐν πάσῃ κυριακῇ. Ἐν τῷ ἡσυχαστικῷ δὲ αὐτοῦ κελλίῳ καθήμενος, οὐδενὶ παραβαλόντι

ἀνοίξει ἢ ὁμιλήσει, εἰ μὴ πρότερον ὑπὸ τοῦ *καθηγητοῦ* ἀπεστάλθαι πληροφορίαν δέξηται. Οὐκ ἀπελεύσεταί ποτε πρὸς ἐκεῖνο τὸ μέρος, ἐν ᾧ οἰκεῖν τοὺς λαϊκοὺς ἄνω που τῶν διαταγμάτων ἀπαρχόμενοι δεδηλώκαμεν· οὐ ποιήσει τι, οὐ μικρόν, οὐ μέγα, οὐ βλαβερόν, οὐκ ὠφέλιμον, ἵνα συλλήβδην ἐρῶ (1) καὶ μὴ ἀπαριθμῶμαι καθ᾽ ἕκαστον, ἄτερ βουλῆς καὶ κρίσεως τοῦ *ἡγουμενεύοντος*. Εἰ δέ τι τοιοῦτον τῶν τοιουτοτρόπως τὴν ἡσύχιον ἀσπασαμένων βιοτὴν φωραθείη τις πεποιηκώς, καὶ μὴ ἀξιόλογον αὐτίκα μάλα τὴν διόρθωσιν ἐπιδείξαιτο, ἀλλ᾽ ἰδιοῤῥύθμως ἐπιμένει τῷ παραπτώματι, εὐθὺς ἐξέσται τῷ *ἡγουμένῳ* εἰςάγειν αὐτόν, καὶ ἄκοντα, πρὸς τὸ πλῆθος τῆς ἀδελφότητος, ὥςτε τοῦ λοιποῦ διάγειν μετὰ πάντων ἐν τῷ κοινοβίῳ καὶ ὑποτάσσεσθαι ὡς ἀρχάριον· εἰ δὲ μὴ τοῦτο καταδεχόμενος φαίνοιτο, ἐκδιωκέσθω τέλεον καὶ τῆς μονῆς καὶ τῆς νήσου, καὶ ὡς μέλος σεσηπὸς ἀποκοπτέσθω τοῦ ἱεροῦ τῆς εὐαγοῦς ἡμῶν ποίμνης σώματος. Αὕτη ἡ ἀκρίβεια τῶν ὀρθῶς καὶ πρὸς τήν δε τὴν ἀνάβασιν προκόπτειν ἐσπουδακότων. Τοῦτο τὸ ἔργον τῶν μεθ᾽ ὑποταγῆς τὴν ἡσυχίαν ἐν Κυρίῳ κατὰ τήνδε τὴν ἡμετέραν, μᾶλλον δὲ τοῦ ἠγαπημένου τῷ Χριστῷ Θεολόγου, νῆσον μετιέναι βουλευσομένων. Ἔσονται δὲ καὶ οὗτοι, ἤγουν οἱ ἀνὰ μέρος ἐν πετρίνοις ὀπαῖς καὶ αὐτορόφοις δωματίοις ἢ καὶ ἀναχωρητικοῖς μονοκελλίοις ἡσυχάζειν ὃν εἰρήκαμεν τρόπον μέλλοντες, ἐάν γε καί τινες τοῦτο προαιρούμενοι καὶ ἱκανοὶ κρινόμενοι ἐφευρίσκοιντο, μὴ τὸν τῶν δώδεκα ἀριθμὸν ὑπερβαίνοντες. Ταῦτα καὶ περὶ τούτων.

ΚΕ΄. Ἐβουλόμην ἐνταυθοῖ ῥητῶς ἐπισκῆψαι καὶ περὶ τῆς Θεῷ φίλης ἐλεημοσύνης καὶ πτωχοτροφίας εἴτουν *φιλοξενίας*, *δι᾽* ἧς, γραφικῶς εἰπεῖν (2), *ἔλαθόν τινες ξενίσαντες ἀγγέλους*, καὶ τῆς τῶν ναυαγούντων ἢ ἄλλως στενουμένων, καὶ εἴτε ἐκ προμηθείας, εἴτε κατά τινα περιπέτειαν εὑρισκομένων ἐν τῇ

(1) Παράχρησις κἀνταῦθα ὁριστικοῦ μέλλοντος ἀντὶ ἀορίστου ὑποτακτικοῦ.

(2) Ἑβρ. ιγ΄, 1. Ἀγγέλους δ᾽ ἐξένισαν λεληθότως Ἀβραάμ τε καὶ Λώτ. [Γεν. ιή-ιθ΄].

νήσῳ καὶ προςαιτούντων, ἐπικουρίας· σφόδρα γὰρ κήδομαι τῶν τοιούτων, ἢ τἀληθὲς εἰπεῖν ὑπεραλγῶ τε καὶ περικαίομαι. Ἀλλ' ἐπειδὴ τέως οὐχ ἱκανή τις εὐπορία πρόςεστι τῇ μονῇ, οὐκ ἔκρινα δεῖν ὡρισμένην τυπῶσαι ποσότητα δόσεως. Παραινῶ δὲ καὶ ἀδελφικῶς ἐν Χριστῷ παραγγέλλω πᾶσι τοῖς ἐφεξῆς τοῦ καθ' ἡμᾶς φροντιστηρίου τοῦδε προστησομένοις πνευματικοῖς πατράσι καὶ ἀδελφοῖς μου φροντίζειν, ὡς οἷόν τε, τῶν εἰρημένων καὶ προνοεῖν, καὶ πολὺν ἀεὶ τῆς φιλοπτωχείας καὶ μεταδόσεως τίθεσθαι λόγον, καὶ μὴ διαλιμπάνειν ἀναλογοῦσαν ἑκάστοτε τῇ τῆς μονῆς εὐπορίᾳ ποιεῖσθαι τὴν τῶν ἐνδεῶν θεραπείαν καὶ χορηγίαν.

ΚϚ'. Περὶ τῆς παραδοχῆς τῶν ἀπὸ κόσμου παραβαλλόντων πρὸς τὴν μονὴν ἐφ' ᾧ ἀποτάξασθαι, καὶ τὸν ἀσκητικὸν ἐπανελέσθαι βίον κατὰ τὰς ἀνωτέρω δηλωθείσας ὑποτυπώσεις, ἀναγκαῖον εἰπεῖν. Ὁπότε τις ἀφίκοιτο λαϊκὸς ἀντιβολῶν δεχθῆναι εἰς τὴν μονήν, ὡς τὸ τῆς ὑποταγῆς διὰ Χριστὸν ὑπεισιέναι βουλόμενος στάδιον, προηγουμένως ὑπὸ τοῦ *καθηγουμένου* περὶ τῶν καθ' ἑαυτὸν ἐπιμελῶς ἀνερωτάσθω, καὶ ἀκριβῶς πολυπραγμονείσθω, μή ποτε οὐ κατὰ φιλοθεΐαν ἁπλῶς καὶ ψυχικῆς σωτηρίας ἔφεσιν, ἀλλὰ κατά τινα βιωτικὴν περιπέτειαν, ὑπὸ δανειστῶν τυχὸν ἢ πενίας ἄκρας καὶ πρὸς τὸ ἐργάζεσθαι ῥαθυμίας, ἢ πολυτεκνίας, ἤ τινος τοιούτου συνελαυνόμενος ἐλήλυθε πρὸν τὸν μοναχόν (1), καθάπερ εἴς τι κρησφύγετον ποριστικὸν ῥᾳστώνης καὶ ἀπόνου ἀνέσεως. Εἰ οὖν τοιαύτη τις οὖσα διαγινώσκοιτο ἡ κρηπὶς τῆς αὐτοῦ ἐγχειρήσεως, καὶ οὕτω σαθρὰ καὶ διαλελυμένα γεῖσσα (2) τῇ πολυμόχθῳ τῆς ἀρετῆς οἰκο-

(1) Κατὰ συνεκδοχὴν ἀντί: **Πρὸς τὸν μοναχικὸν βίον.**

(2) **Γεῖσσα** καὶ **Γεῖσσον** ἑνικῶς, ὠνόμαζον οἱ ἀρχαῖοι τὴν ἐξέχουσαν ἄκραν εἴτε στεφάνην τῶν οἰκοδομῶν, οἷον οἴκων, ἐπάλξεων, κτλ. καθ' Ἡσύχιον, Σουΐδαν, καὶ τὸν Σχολιαστὴν Εὐριπίδου [Φοίνισ. 1158]. Κατὰ δὲ Πολυδεύκην [Α', η'], τὸ προέχον τοῦ ὑπερθύρου, ὅπερ καὶ **Γείσσωμα** ἐλέγετο. Ἀλλ' ἐπὶ Βυζαντινῶν εἰς τὴν τοῦ ἐναντίου μετέπεσε σημασίαν, ὅπως εὕρηται παρὰ Λέοντι τῷ Διακόνῳ [**Ἱστορ.** Β', ζ'. Bonn.]. Τοῦτο δ' αὐτὸ παραινίττεταί πως καὶ ὁ τοῦ Εὐριπίδου Σχολιαστής, οἷον: **«Γεῖσσα κυρίως τὰ θεμέλια»** [Ὀρέστ. 1565]. Οὕτω καὶ ἐν τοῖς ΛΒ' καὶ ΤΚ' χειρογράφοις

δομῇ ὑποτίθησι, δεῖ τῆς κατὰ δύναμιν ἐλεημοσύνης αὐτὸν ἀξιοῦν, καὶ ἱλαρῶς μετ' εὐποιίας καὶ τῆς προσηκούσης παραινέσεως ἀποπέμπειν· εἰ δὲ ταῖς ἀληθείαις φανείη κατὰ λόγον ὀρθὸν καὶ θεοφιλῆ σκοπὸν ὁ προσερχόμενος ἀφικόμενος, προσδεχέσθω κατὰ τοὺς ἱεροὺς κανόνας, καὶ πρὸς τοὺς τῆς δοκιμασίας ἄθλους ἀποδυέσθω. Καὶ τέως μὲν ἐντὸς τεσσαράκοντα ἡμερῶν παραινείτω αὐτῷ ὁ *προεστὼς* συνεχῶς, εἰσηγούμενός τε τὰ περὶ τοῦ καθ' ἡμᾶς βίου καὶ ἐξασφαλιζόμενος· εἶτα παρουσίᾳ τῆς ἀδελφότητος ὑπαναγνοὺς αὐτῷ τὸ ἐκ τῶν λεγομένων *Μικρῶν ἀσκητικῶν τριάκοντα κεφαλαίων* τοῦ μεγάλου Βασιλείου (1) ἑπτακαιδέκατον, οὗ ἡ ἀρχή: «*Χρὴ μέν τοι καὶ τοῦτο πεπεῖσθαι σαφῶς, ὅτι ὁ ἅπαξ εἰς σύνδεσμον καὶ συνάφειαν ἐλθὼν πνευματικῆς ἀδελφότητος, οὐχ οἷός τ' ἂν εἴη* (2) *ἀποκόπτεσθαι καὶ χωρίζεσθαι τούτων, οἷς συνηρμόσθη*», καὶ καθεξῆς τὸ ὅλον κεφάλαιον, οὕτως ἀμφιεννύτω αὐτὸν τὸ εἰσαγωγικὸν ἔσθημα (3) καὶ τὸ μέλαν τῆς κεφαλῆς περικάλυμμα. Καὶ διαγέτω ἔκτοτε οὗτος ἐν τῷ *ἀποτακτικῷ* καλουμένῳ παρὰ τῶν πατέρων *ἐνδύματι*, τοῖς τῆς ὑποταγῆς ἔργοις ἐγγυμναζόμενος ἄχρις ἂν ὁ τῆς ἀποκάρσεως (4) χρόνος ἐνστῇ, κατὰ τὴν οἰκονο-

**Γλωσσαρίοις** τῆς Πατμιακῆς βιβλιοθήκης: **«Γεῖσσον· τὸ θεμέλιον»**. Τὸ οὖν **Γείσσωμα**, ἐπὶ τῆς πρώτης σημασίας, σώζεται μέχρι τοῦ νῦν παρὰ Ναξίοις· καλοῦσι γὰρ **Γεισσώματα** τὰ ὑπὲρ τὴν ὀροφὴν τῶν οἴκων καὶ παντὸς τειχίου ἀπαξαπλῶς ἐξέχοντα στεφανώματα· τὴν μέν τοι γε λέξιν προφέρουσι λεπτῷ τινι πνεύματι, οἷον ἀπετέλει τὸ αἰολικὸν δίγαμμα: **Fείσσωμα.**

(1) Καθ' ἣν εἴχομεν ἀνὰ χεῖρας τῶν τοῦ θείου πατρὸς συγγραμμάτων ἔκδοσιν Ἰουλιανοῦ τοῦ Γαρνιέρου (Garnier), ἡ τῶν **Ἀσκητικῶν** τούτων διάταξις ἀπαρτίζει τριάκοντα καὶ πέντε κεφάλαια. Τὸ οὖν ἐνταῦθα ἀναφερόμενον ἑπτακαιδέκατον, ἔστιν ἐκεῖ εἰκοστὸν πρῶτον τὴν τάξιν.

(2) Ἐν τῇ αὐτῇ ἐκδόσει φέρεται: **Οὐχ οἷός τ' ἂν ᾖ.** Ὑποσημειοῦται μέν τοι καὶ διάφορος γραφή: **Εἴη**, ὅπως ἔχει καὶ τὸ ἡμέτερον κείμενον [Τόμ. Β', σελ. 566].

(3) Ταὐτὸν καὶ τῷ αὐτίκα ἀναφερομένῳ: **Ἀποτακτικῷ ἐνδύματι.** Ἔστι δὲ τοῦτο τὸ τριβώνιον, δι' οὗ δῆλοι ἦσαν οἱ τῆς κοσμικῆς τύρβης ἀποταξάμενοι καὶ εἰς τὴν μοναχικὴν εἰσαχθέντες πολιτείαν· ὅπερ ὑπὸ τῶν μοναχῶν: **Ῥάσον** καλεῖται (ἀπὸ τοῦ Λατιν. Rasum. Ἑλ. Ἀπεξυρημένος, διὰ τὸ ἄχνουν δηλονότι τοῦ τοιούτου ὑφάσματος)· ἐξ οὗ ἔπλασαν καὶ τὰ βαρβαροσύνθετα: **Ῥασοφόρος, Ῥασοφορία, Ῥασοφορῶ.**

(4) Τῆς **Τριχοκουρίας**, ὡς λέγουσι νῦν οἱ μοναχοί.

μικὴν διαφοράν, καὶ κατὰ πᾶσαν ἁπλῶς τὴν περίληψιν τοῦ πέμπτου κανόνος τῆς ἐν τῷ πανσέπτῳ ναῷ τῶν ἱερῶν Ἀποστόλων συναθροισθείσης πρώτης καὶ δευτέρας Συνόδου (1), σαφῶς οὑτωσὶ δηλοῦντος: «*Ὥρισεν ἡ ἁγία Σύνοδος, μηδένα τοῦ μοναχικοῦ καταξιοῦσθαι σχήματος, πρὶν ἂν ὁ τῆς τριετίας χρόνος εἰς πεῖραν αὐτοῖς ἀφεθείς, δοκίμους αὐτοὺς καὶ ἀξίους τῆς τηλικαύτης* (2) *βιοτῆς παραστήσῃ* (3)· *καὶ τοῦτο κρατεῖν παντὶ τρόπῳ παρεκελεύσατο. Πλὴν εἰμή που τις βαρεῖα προσπεσοῦσα νόσος, τὸν χρόνον ἀναγκάσει* (4) *συσταλῆναι τῆς δοκιμασίας· ἢ εἰμή που τις εἴη ἀνὴρ εὐλαβής, καὶ τὸν μοναχικὸν βίον ἐν τῷ κοσμικῷ διανύων* (5). *Ἐπὶ γὰρ τοῦ τοιούτου ἀνδρός, εἰς ἀπόπειραν παντελῆ, ὁ ἐξαμηνιαῖος* (6) *ἀρκέσει χρόνος*». Ἀλλὰ ταῦτα μὲν περὶ τῶν ἀπὸ κοσμικοῦ βίου προσερχομένων. Ἐπεὶ δὲ εἰκός ἐστι καὶ ἀφ' ἑτέρων μοναστηρίων τινὰς προσιέναι, γινέσθω καὶ ἐπ' αὐτοῖς τὰ τοῖς θείοις κανόσι τεθεσμοθετημένα· πρὸς δέ, καὶ ἅπερ ὁ ἱερὸς καὶ Μέγας Βασίλειος ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ συντάγμασι περὶ τούτων παρεκελεύσατο.

ΚΖ΄. Ἀλλ' ὦ Χριστὲ σῶτερ, ἐνυπόστατε Λόγε Θεοῦ, ὦ τῷ Πατρὶ συνάναρχε, καὶ τῷ Πνεύματι ὁμοούσιε καὶ ὁμότιμε, ὦ νέε Ἀδὰμ ὅλον τὸν παλαιὸν φορέσας Ἀδάμ, πλὴν τῆς ἁμαρτίας, καὶ μείνας ὃ ἦς, καὶ γεγονὼς ὅπερ ἐκεῖνος, ἵν' ἐκεῖνον ἀποτελέσῃς ὅπερ αὐτός, καὶ μετὰ τὴν ἄρρητον ἕνωσιν φυλάξας ἀσυγχύτους τὰς ἑκατέρας φύσεως ἰδιότητας, καὶ παθὼν ἀπαθῶς διὰ τὸν παθόντα, καὶ θανὼν σαρκικῶς διὰ τὸν θανόντα, καὶ καταβὰς εἰς ᾅδην διὰ τὰς ἐν ᾅδου κατεχομένας ψυχάς, καὶ τῇ

(1) Τῷ 861 ἔτει [Ἴδε **Πηδάλιον** σελ. 239. ἔκδ. Λειψίας, οὗ τὰς ἀπαντώσας διαφόρους γραφὰς παρασημειούμεθα ἐνταῦθα].

(2) Δ. Γ. **Τοιαύτης.**

(3) Δ. Γ. **Καταστήσει.**

(4) Δ. Γ. **Ἀναγκάσοι.**

(5) Δ. Γ. Ἐν τῷ κοσμικῷ διανύων **σχήματι.**

(6) Δ. Γ. **Καὶ** ἐξαμηνιαῖος.

θεϊκῇ σου δυνάμει « *πύλας χαλκᾶς*, προφητικῶς φάναι (1), *καὶ μοχλοὺς σιδηροῦς συντρίψας* » — « *καὶ θάνατον καταργήσας, καὶ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου καταπατήσας διάβολον* » (2), καὶ διὰ τοῦ ἡμετέρου φυράματος ἐγκαινίσας ἡμῖν ἐν σεαυτῷ τὴν ἀνάστασιν, καὶ συνυψώσας καὶ συγκαθιδρύσας ἡμᾶς τῷ πατρικῷ θρόνῳ, καὶ συνδοξάσας εἰς ζωὴν αἰώνιον καὶ ἀκήρατον, δέχοιο τὴν εὐτελῆ καὶ οἰκτράν μου παράκλησιν, ταῖς πρεσβείαις τῆς ὑπερφυῶς καὶ ἀποῤῥήτως κυησάσης σε ἀειπαρθένου καὶ Θεομήτορος, καὶ τοῦ ἠγαπημένου σου μαθητοῦ καὶ Θεολόγου, καὶ μὴ ἐάσῃς ἀνήνυτα καὶ ἄπρακτα καταλειφθῆναι τὰ παρ᾽ ἐμοῦ πρὸς σὴν εὐαρέστησιν τοῖς ἐμοῖς ἀδελφοῖς καὶ τέκνοις διαταγέντα, μηδὲ ὡς *τὰ παρὰ τὴν ὁδόν*, ἢ *τοὺς πετρώδεις τόπους σπαρέντα καταπατηθῆναι*, ᾗ φησι τὸ ἱερὸν καὶ πάνσεπτον Εὐαγγέλιον (3), ἢ *ξηρανθῆναι* καὶ ἀτελεσφόρητα μεῖναι, ἀλλ᾽ ἐνεργὰ καὶ ἔμπρακτα γένοιντο, Κύριε και Θεέ, καὶ πολύχουν τῷ γεωργῷ προσφέροντα τὸν καρπόν.

ΚΗ΄. Ἐμοὶ μὲν οὖν, ὦ ἀδελφοὶ καὶ πατέρες, ὁ παρὼν τῆς διαταγῆς ὑπετέθη θεμέλιος ὡς ἡ τοῦ Θεοῦ χάρις ἐπένευσεν· ὑμῶν δὲ ἕκαστος βλεπέτω πῶς ἐποικοδομεῖ· « *Ἑκάστου γάρ*, κατὰ τὸν εἰπόντα (4), *ὁποῖον ἐστὶ τὸ ἔργον, φανερὸν γενήσεται* »·—« *καὶ μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος εὑρήσει ποιοῦντα ὡς προσετάγη* » (5). Ἄκουε τοίνυν ὁ προεστὼς τί φησιν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος (6) : « *Οὗτος ὅρος πάσης πνευματικῆς προστασίας, πανταχοῦ τὸ καθ᾽ ἑαυτὸν περιορᾷν* (7) *πρὸς τὸ τῶν ἄλλων συμφέρον* ». Ἀγάπησον οὖν σου τὴν ἀδελφότητα· τῶν ὑπὸ σοὶ τεταγμένων πάντων ὡς ἰδίων τέκνων ἀντιποιήθητι, καὶ ὡς οἰκείων σπλάγχνων ἐπιμελήθητι· πρέπουσαν ἑκάστῳ πρόσαγε καὶ κατάλληλον τὴν κυβέρνησιν, τῷ ἰσχυρῷ, τῷ ταλαιπώρῳ, τῷ συνετῷ, τῷ ἀμαθεῖ, τῷ νέῳ,

(1) Ἡσ. μέ, 2. (2) Ἑβρ. β΄, 14. (3) Λουκ. ή, 5-7.
(4) Α΄ Κορινθ. γ΄, 13. (5) Ματθ. κδ΄, 46.
(6) Ἐν τῷ **Ἀπολογητικῷ ἢ Περὶ ἱερωσύνης** [Τόμ. Α΄, σελ. 24].
(7) Δ. Γ. τῆς ἐκδόσεως: **Παρορᾷν**.

τῷ γέροντι· «*Ἐπίστηθι* καὶ αὐτός, ἀποστολικῶς εἰπεῖν (1), *εὐκαίρως, ἀκαίρως· ἔλεγξον, παρακάλεσον, ἐπιτίμησον*», εἰρήνευσον, παίδευσον, συνέτισον, διαίτησον ἑκάστῳ τὸ πρόσφορον, μήτε διὰ δόξαν ἐπιεικείας καὶ κολακείαν ἐφησυχάζων τοῖς πταίουσι, μήτε δι' ἀπέχθειαν ἢ μικροψυχίαν ἀνθρωπίνην ἀκρίτως ἐπεξιών. Ὑμεῖς δέ, ὦ τέκνα καὶ ἀδελφοί, τηρήσατέ μοι τὰς πατρικὰς ἐντολάς· ἐπιμελεῖσθε πρὸς τοῖς ἄλλοις καὶ τῆς ἐν ἤθεσιν εὐταξίας καὶ κοσμιότητος· ἀποσκορακίσατε ἀργολογίαν καὶ γέλωτα ἀκρατῆ· μισήσατε συνελεύσεις ἀκαίρους καὶ φατρίας, καὶ ἑταιρίας, καὶ ἔριδας· μηδεὶς ἔστω λαθροφαγῶν ἢ λαθροποτῶν (2) ἤ τι τῶν τῆς μονῆς ὁπωσδήποτε νοσφιζόμενος· μηδεὶς δεχέσθω γράμμα γνώμης ἄτερ τοῦ *προεστῶτος*, ἢ καὶ αὐτός που κρύβδην ἀποστελλέτω· πρὸς ἀλλήλους μὲν κέκτησθε σύμπνοιαν, εὐλάβειαν, φιλαδελφίαν, εἰρηνολογίαν (3), καὶ εἴ τι τούτοις ἐστὶν ἑπόμενον· πρὸς δὲ τοὺς ἐν Χριστῷ πνευματικοὺς πατέρας ὑμῶν, ἤτοι τοὺς *ἡγουμένους*, εἰλικρινῆ καὶ ἀνυπόκριτον ἀγάπην, καὶ πίστιν, καὶ ὑπακοὴν διασώζετε, εἴ γε βούλοισθε κρείττους πειρασμῶν ἀεὶ πεφηνέναι καὶ τῶν τοῦ ἀντικειμένου βελῶν ὑπερίπτασθαι. *Καὶ ὁ Θεὸς τῆς εἰρήνης καταρτίσαι ἡμᾶς εἰς πᾶν ἀγαθὸν* (4), καὶ τῇ αὐτοῦ χάριτι ἀξιωθείημεν ποίμνη τε ὁμοῦ καὶ ποιμένες τῆς αἰωνίου ζωῆς. Ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἡ μέν τοι παροῦσα διάταξις ἐπιστώθη τῇ ἐμῇ αὐτοχείρῳ ὑπογραφῇ μηνὶ Μαΐῳ ή, ἰνδικτιῶνος ιδ', ἔτει ͵ςφϟθ' (5).

† **Ὁ εὐτελὴς καὶ ἁμαρτωλὸς μοναχὸς Χριστόδουλος ὁ Λατρηνὸς τὴν παροῦσάν μου διάταξιν βεβαιῶν οἰκειοχείρως ὑπέγραψα** †

(1) Β', Τιμόθ. δ', 2.
(2) Καὶ ἡ καλὴ λέξις αὕτη οὔπω τεθησαύρισται ἐν τοῖς λεξικοῖς.
(3) Οὐδὲ αὕτη κατεχωρίσθη ἐν τοῖς λεξικοῖς.
(4) Ἑβρ. ιγ', 20-21. (5) Ὅ ἐστι σωτήριον 1091.

## ΟΙ ΕΝ ΤΑΙΣ ΣΗΜΕΙΩΣΕΣΙΝ ΕΙΣ ΜΑΡΤΥΡΙΑΝ ΛΗΦΘΕΝΤΕΣ ΠΟΙΗΤΑΙ ΚΑΙ ΣΥΓΓΡΑΦΕΙΣ.

Ἀγαθήμερος σελ. 78.
Αἰλιανός. 79.
Ἀμμώνιος Σιναΐτης. 67. 73.
Ἀνδρονίκου βασιλέως Παλαιολόγου Ἔκθεσις. 78.
Ἄννα Κομνηνή. 76. 77.
Ἀνώνυμος. 78. 79.
Βασίλειος ὁ Μέγας. 87. 103.
Βόχαρτος (Sam. Bochartus) σελ. 78.
Γαλλάνδιος (Andr. Gallandius). 89.
Γλωσσάρια χειρόγραφα. 102.
Γουθρῆς (Will. Guthtrie). 67.
Γρηγόριος Θεολόγος σελ. 62. 66. 68. 89. 91. 94. 105.
Γρονόβιος (Jac. Gronovius) σελ. 78.
Διογενειανός. 74. 82. 83.
Δουκάγγιος. 76.
Δούκας. 71.
Ἔγγραφα τῆς μονῆς πολιτ. καὶ ἐκκλησιαστικά. 78.
Ἐτυμολόγος. 67.
Εὐριπίδης καὶ σχολιαστὴς αὐτοῦ. 82. 102.
Εὐστάθιος. 66. 67.
Ζηνόβιος. 83. 94.
Ζήνων Κιττιεύς. 80.
Ζωναρᾶς. 76. 77.
Ἡσίοδος. 83.
Ἡσύχιος. 102.
Θεοφάνης. 70.
Ἰουστινιανοῦ βασιλέως Διάταξις. 92.
Ἴστρος. 79.
Ἰωάν. Χρυσόστομος. 73.
Ἰωάν. Ῥόδου μητροπολίτης. σελ. 67. 70. 77.
Ἰωάννης Καντακουζηνός. 84.
Καινὴ Διαθήκη. 64. 66. 68. 74. 89. 90. 93. 94. 98. 101. 105. 106.
Κεδρηνός. 76.
Κείπερτος (Heinr. Kiepert) σελ. 79. 80.
Κλύτος Μιλήσιος. 79.
Κρούσιος (Martin. Crusius) σελ. 78.
Κωδινός. 78. 84.
Κωνς. Πορφυρογέννητος. 70.
Κωνστ. πρεσβύτ. Οἰκονόμος σελ. 76.
Λεκυιῆνος (Mich. Le Quien) σελ. 78.
Λέοντος βασιλέως τοῦ Σοφοῦ

Διατύπωσις. 78.
Λέων Γραμματικός. 70.
Λέων Διάκονος. 102.
Λουκιανὸς καὶ σχολιαστὴς αὐτοῦ. 82.
Μαρκιανός. 66.
Μιχαὴλ βασιλέως Παλαιολόγου χρυσόβουλλον. 78.
Μύλλερος (Carol. Müllerus) σελ. 80.
Νεῖλος Ἐρημίτης. 67.
Νίκανδρος. 79.
Νικηφ. βασιλέως Βοτανειάτου χρυσόβουλλον. 71.
Νικηφ. Βρυέννιος. 73.
Νικόδημος Ἁγιορείτης. 67.
Νικολάου πατριάρχου Ὑπόμνημα. 70.
Ὅμηρος καὶ σχολιαστὴς αὐτοῦ σελ. 75. 82. 83.
Παλαιὰ Διαθήκη. 64.65.66. 77. 69. 75. 81. 86. 87. 88. 90. 91. 93. 94. 96. 101. 105.
Παλμέριος (Jac. Palmerius) σελ. 71.
Παυσανίας. 67.
Πλάτων καὶ σχολιαστὴς αὐτοῦ. 74. 75. 81. 83. 94.
Πλίνιος. 71. 78. 79.
Πλούταρχος. 64. 95.
Πολυδεύκης. 82. 102.
Σουΐδας. 74.77.80.81.102.
Στέφανος Βυζάντιος. 66. 67. 71. 82.
Στέφ. Α. Κουμανούδης. 72.
Στοβαῖος. 80.
Στράβων. 67. 71.
Συμεὼν Μάγιστρος καὶ Λογοθέτης. 71.
Συμεὼν Θεσσαλονίκης. 84.
Σύνοδος Α′ καὶ Β′. Ε′. Ζ′. Η′. 78. 93.
Σύνταγμα ἀρχ. Ἑλλήν. ποιητῶν. 89.
Σχολιαστὴς Πινδάρου. 72.
» Ἀπολλωνίου. 67.
Σωζόμενος. 92.
Ὑπομνηματιστὴς τῶν ἐκκλησ. μηναίων. 70.
Φραντζῆς. 71.
Φώτιος πατριάρχης σελ. 77. 78. 81.

Β΄.

# ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ

## ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΧΡΙΣΤΟΔΟΥΛΟΥ

ΤΟΥ ΕΝ ΔΙΑΦΟΡΟΙΣ ΜΕΝ ΤΟΠΟΙΣ ΑΣΚΗΣΑΝΤΟΣ,
ΕΝ ΤΗ ΝΗΣΩ ΔΕ ΠΑΤΜΩ ΚΕΙΜΕΝΟΥ
ΣΩΟΥ ΚΑΙ ΑΔΙΑΛΩΒΗΤΟΥ ΚΑΙ ΤΟΥΣ ΠΙΣΤΩΣ ΠΡΟΣΙΟΝΤΑΣ
ΚΑΘΑΓΙΑΖΟΝΤΟΣ,

ΣΥΓΓΡΑΦΕΙΣ ΠΑΡΑ

## ΙΩΑΝΝΟΥ ΤΟΥ ΙΕΡΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ

ΡΟΔΟΥ.

Α΄. Τὸν μὲν οὐρανοῦ κύκλον καὶ τοὺς δύω φωστῆρας, οὓς ἡ Γραφὴ μεγάλους κατονομάζει (1), καὶ τὸν λοιπὸν τῶν ἀστέρων κατάλογον ἅπαξ ὁ Θεὸς παραγαγὼν ἐκ μὴ ὄντων, τὸν ὑλικὸν τοῦτον καὶ αἰσθητὸν κόσμον διοικεῖν τεταγμένως προσέταξε, καὶ κατὰ τὴν ἐκείνων εὔρυθμόν τε καὶ παναρμόνιον περιφορὰν αἱ τῶν ὡρῶν φύσεις διαδέχονται τὰς τροπάς, καὶ ἡ τοῦ παντὸς ἀποτελεῖται κυβέρνησις, τῆς θείας προνοίας ὡς ὑπηρέταις τοῖς παραχθεῖσι χρωμένης, καὶ τὸν τεθέντα ὅρον διατηρεῖν ἀναγκαζούσης ἀδιαλώβητον· οὐ παύεται δὲ καθ' ἑκάστην τὸ τῆς ψυχῆς ὄμμα καταφωτίζων ἡμῖν καὶ πλάττων, οἷον εἰπεῖν, καὶ παράγων ὡς ἄλλους φωστῆρας τὸν ἐντὸς περιωραΐζοντας ἄνθρωπον καί, κατὰ τὸν Ἀπόστολον (2), *λόγον ζωῆς ἐπέχοντας*

(1) Γενέσ. ά, 16.
(2) Φιλιπ. 6΄, 16.

τοὺς *ἐν τῷ αὐχμηρῷ τῷ δε τόπῳ* (1), ἔνθα πολὺς ὁ πλάνος, τὴν ὕλην ὑπερπηδήσαντας, καὶ τῶν ὁρωμένων ὑπεραρθέντας, καὶ ἐν θνητῷ σώματι βιοτὴν ἀσκοῦντας ἰσάγγελον· ὧν αἱ τῶν ἔργων ἀκτῖνες καὶ ἡ τῶν κατορθωμάτων διαύγεια μειοῦσί τε τῆς ἀγνοίας τὴν νύκτα, καὶ *υἱοὺς ἡμέρας* (2) ἐργάζονται τοὺς μὴ τὸ τῆς ψυχῆς ὀπτικὸν ἀμβλυωποῦν περὶ τὰ οὐράνια κεκτημένους θεάματα. Ὅσῳ γὰρ μυριάδας ὁδοὺς τῆς κακίας ἐπιτεχνάζεται σατὰν ὁ μισόκαλος, καὶ πολλοῖς τῆς ἁμαρτίας ἀγκίστροις ἕν τι δέλεαρ τὴν ἡδονὴν περιτίθησιν, ἵνα τὸν ἐν τῇ θαλάσσῃ τοῦ βίου νηχόμενον ἄνθρωπον ποιήσῃ ἁλώσιμον, τοσούτῳ πάλιν ἐκ τοῦ ἐναντίου πολλὰ τὰ τῆς ἀρετῆς προτίθεται ὑποδείγματα καὶ ὁσημέραι Θεὸς κατὰ τοῦ κοσμοκράτορος καὶ τῶν ὑπ' αὐτὸν ἀποστατικῶν δυνάμεων ἐξοπλίζει πνευματικήν τινα φάλαγγα καὶ στεῤῥοὺς μαχητὰς ἀποκτείνειν εἰδότας, κατὰ τὸν Δαβίδ (3), *ἄρκτον καὶ λέοντα*, τὴν τῆς σαρκὸς ἐπιθυμίαν λέγω, καὶ τοῦ θυμοῦ τὸ ἀκάθεκτον· οἵ φωστήρων τῷ ὄντι λόγον ἐπέχουσι, τὸν τῆς ἀρετῆς κύκλον ἀκριβῶς διαθέοντες καὶ χρηστὸν (4) Κυρίου ἐνιαυτὸν ἐργαζόμενοι, καὶ πολλοὺς τῇ μυήσει τῶν πρὸς οὐρανὸν φέρουσαν διαστείχειν βιάζοντες. Πολὺς μὲν τοιοῦτος καθέστηκεν ὅμιλος, καὶ πᾶσα συγγραφή τε καὶ ἱστορία πλήρης τῶν ἱερῶν τούτων ἀγωνισμάτων· ἀλλ' οἶδε πολλάκις τὰ νέα καὶ πρόσφατα πρὸς ζῆλον διερεθίζειν ψυχὴν τὴν φιλόθεον, καὶ τὰ ἐξ ὑπογυίου γινόμενα πλέον μᾶλλον τῶν ἄλλων αὐτὴν (5) τοῦ καλοῦ τρίβον ἀνύειν βιάζεσθαι· ἐπεὶ καὶ *ὄψιν ὠτίων πιστοτέραν* εἶναι μανθάνομεν (6). Εἰ δὲ καὶ κομήτην ἰδόν-

(1) Β' Πέτρ. ά, 19.

(2) Παρὰ τὸ ἀποστολικόν, ἐν Α' Θεσσαλον. έ, 5. (Σημ. Ι. Σ.).

(3) Α' Βασιλ. ιζ', 36.

(4) Τὸ χειρόγρ. ἐσφαλμένως: **Χριστόν.** Ἔστι δὲ παρὰ τὸ ψαλμικόν: **«Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου»** [ξδ', 12].

(5) Γραπτ. ἴσως: αὐτὴν **τὴν** (Σημ. Ι. Σ.)

(6) Παρὰ Μιχ. Ἀποστολίῳ οὕτως ἔχει ἡ παροιμία: **«Ὠτίων πιστότεροι ὀφθαλμοί· ἐπὶ τῶν ἀλόγως τὰ μείω τοῖς κρείττοσι παραβαλλομένων»** [**Συναγ. Παροιμ.** ιή, 71.] (Σημ. Ι. Σ.)

τες πολλάκις κατ' οὐρανόν, ἤ τινα τοιαύτην ἑτέρου ἀστέρος ὑπόστασιν, τὸ φανὲν ὑπερεκπληττόμεθα πλέον διὰ τὸ ἄηθες, καὶ τὰς ἐκεῖθεν ἀφιεμένας ἀποσπινθηρίσεις θαυμάζομεν, τὸν αὐτὸν δὴ τρόπον εἰκὸς ἂν εἴη διὰ θαύματος ποιεῖσθαι τοὺς ἐν ταῖς ἐσχάταις ταύταις ἡμέραις μήτε τὸ καθ' ἡμᾶς φύραμα τοῦ χοὸς ἐνδέον τῆς διαρτίας τῶν παλαιῶν ἐκείνων ἀνδρῶν ὑποδείξαντας, μήτε τι τοῦ προτέρου χρόνου πρὸς τὸν νῦν κατὰ φύσιν εἶναι διάφορον.

Β΄. Φέρε τοιγαροῦν ὅσοι φιλόθεοι, ὅσοι τῶν καλῶν ἐρασταί, ὅσοι τῆς ἀρετῆς ζηλωταί, τὰ ὦτα διαπετάσαντες καὶ πρὸς τὴν ἀκρόασιν τὴν διάνοιαν ὅλην ἀνατείναντες, ἀνδρὸς ἐπ' ἀρετῇ περιβοήτου ὑφηγούμενον βίον θαυμάσατε. Ἀλλά με μηδεὶς αἰτιάσθω, εἰ τὸν ὑμῖν νῦν ὑπόθεσιν λόγου προκείμενον, ἐπ' ἀγαθοῖς ἔργοις κομῶντα δεικνύναι μέλλων, καὶ πολιτείαν ἀνθρωπίνης ζωῆς ὑπερτέραν ἀσκήσαντα, ἐκ τῶν ἔξω καὶ περιπεζίων ἐγκωμιάζειν ἐπιχειρίσαιμι· οὔτε γὰρ ἐκεῖνον οἶδα τούτοις ἐπιγαννύμενον, οὔτε τῷ ὀρθῷ λόγῳ ἀκόλουθον, τὸν τὸ κενὸν δοξάριον διαπτύσαντα καὶ πᾶσαν τὴν αἴσθησιν ὑπερβάντα ἐκ τῶν κάτω γεραίρειν τὸν ὄντως οὐράνιον ἄνθρωπον. Συνείρω γὰρ τῷ ἀΰλῳ ἐκ τῶν ὑλικῶν τὸν εὐφημητήριον· τοῦτο μὲν καὶ νόμοις ῥητορικῆς τέχνης πειθόμενος, πατρίδα καὶ γένος ἀπαριθμεῖν διακελευομένοις· τὸ πλέον δέ, ὅτι τοῖς ἀγνοοῦσι τὸν ἄνδρα πάντως ἂν εἴη ἐράσμιον εἰδέναι ὅθεν τε ἔφυ, καὶ ἐξ ὁποίας ἀρχῆς εἰς τόδε τὸ μέτρον τῆς πνευματικῆς ἡλικίας κατήντησε.

Γ΄. Τίς οὐκ οἶδε τὴν τῆς Βιθυνίας λαμπρὰν ἐπαρχίαν; τὴν τῶν Νικαέων λέγω περιφανεστάτην μητρόπολιν (1); ἣ καὶ ἄλλον τρόπον ἔχουσα περιδεξίως, καὶ ἀέρος εὐκράτου ἐπαπολαύουσα, καὶ ὑψηλοῖς μὲν περιφραγνυμένη τοῖς τείχεσι πάντοθεν,

(1) Ἡ Νίκαια μητρόπολίς ἐστι τῆς Βιθυνίας, πρῶτον μὲν Ἀντιγονία κληθεῖσα ἐξ Ἀντιγόνου τοῦ Φιλίππου· εἶτα δὲ Νίκαια ἀπὸ τῆς γυναικὸς Λυσιμάχου τοῦ δευτέρου αὐτῆς κτίτορος· κεῖται δὲ ἐπὶ τῇ Ἀσκανίᾳ λίμνῃ [Στράβ. Γεωγρ. Βιβλ. ΙΒ΄. σελ. 413, ἔκδ. Κορ.].

λίμνη δὲ κατὰ θάτερον μέρος μεγίστη περιοριζομένη, τοῖς πρὸς δύνοντα ἥλιον κρησφύγετόν ἐστι κοινὸν καὶ σωτήριον, καὶ λιμένα ταύτην εὑρίσκουσιν ὅσοι τὰς πέριξ κώμας οἰκοῦντες, τὰς μιαιφόνους τῶν τῆς Ἄγαρ ἀπογόνων χεῖρας διεκφύγοιεν. Ἔτι γὰρ ἡ πόλις ἐπαρκεῖν δυναμένη πολλοῖς, ἣν ἐπαινῶ μὲν αὐτὸς καὶ διὰ ταύτας τὰς χάριτας, οὐχ ἥκιστα δ' ὅτι ἐν ταύτῃ τὸ τῆς εὐσεβείας μυστήριον τρανότερον διηυκρίνηται, καὶ τῶν ἀσεβούντων τὰ πρόσωπα αἰσχύνη περιεκάλυψε, καὶ οἱ βλασφημοῦντες εἰς τὸν συναΐδιον Λόγον τοῦ Θεοῦ, κίνησις κεφαλῆς τοῖς λαοῖς ἐγεγόνεισαν. Ἐν ταύτῃ γὰρ ὁ τῆς μανίας ἐκεῖνος ἐπώνυμος Ἄρειος (1), ἐπὶ τῆς ὑπερτάτης Τριάδος βαθμοὺς παρεισάγων καὶ διαιρέσεις καὶ ὑποπτώσεις, τῶν ἱερῶν περιβόλων μακρὰν ἀπελήλαται· ζήλῳ γὰρ θείῳ πυρούμενος ὁ τῷ χορῷ τῶν Ἀποστόλων συναρίθμιος βασιλεύς, ὡς κήρυξ τοῦ καθ' ἡμᾶς μυστηρίου γεγονὼς διαπρύσιος, ἐκεῖσε συναγείρει τὸν πάσης πλήρη συνέσεως τῶν θεοφόρων πατέρων κατάλογον· οἳ τῷ Πατρὶ τὸν Υἱὸν δογματίσαντες ὁμοούσιον, καὶ τὰς τῶν βλασφημούντων ἐρεσχελίας λόγοις τοῖς ἐκ τοῦ Πνεύματος διαλύσαντες, τὸ τῆς ἀκραιφνοῦς πίστεως ἡμῖν ἐξέθεντο σύμβολον, ὃ καὶ πανταχοῦ περιᾴδεται, καὶ πᾶσα συναγωγὴ εὐσεβὴς περιφέρει ἐν στόματι. Ταύτης τῆς λαμπρᾶς καὶ περιφανοῦς πόλεως κώμη τις ἦν οὐ πόρρω ἀπέχουσα, ἧς ὡρμᾶτο ὁ χρηστὸς οὗτος Χριστόδουλος, ῥίζης εὐσεβοῦς ἅμα καὶ εὐγενοῦς ἱερώτατον βλάστημα. Τῶν δὲ φυσάντων τῷ μέν, Θεόδωρος τοὔνομα, ἡ δὲ μήτηρ τὴν προσηγορίαν ἐκέκτητο τῆς ἀποτεξάσης τὴν πάναγνον τοῦ Θεοῦ μητέρα (2). Ὄχλον μὲν οὖν ἀστικὸν καὶ ἀγοραῖον ἔρρειν ἀφέντες ἑαυτοῖς μόνοις προσεῖχον, ὅλην τὴν ἔφεσιν πρὸς Θεὸν ἀνατείνον-

(1) Ὁ Ἄρειος ἦν πρεσβύτερος τῆς ἐν Ἀλεξανδρείᾳ ἐκκλησίας. Κατ' αὐτοῦ συνεκροτήθη ἡ Α' Οἰκουμενικὴ Σύνοδος ἐν ἔτει ἀπὸ Χριστοῦ 324, ὑπὸ 318 θεοφόρων πατέρων, ἐν Νικαίᾳ τῆς Βιθυνίας, ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Μεγάλου, ἣ καὶ καθαιρέσει ἐνδίκῳ ὑποβαλοῦσα αὐτόν, ἐξέθηκε τὸ τῆς ὀρθοδόξου πίστεως σύμβολον μέχρι τοῦ Ζ' ἄρθρου [Ὀρ. Μελ. ἐκκλ. Ἱστορ. Τόμ. Α', σελ. 325-336.].

(2) Ἄννα δηλονότι.

τες, καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ πορευόμενοι, *καὶ τὸν νόμον μελετῶντες νυκτὸς καὶ ἡμέρας* (1), καὶ ὡς δένδρον ὑψίκομον ἐν μέσῳ τοῦ παραδείσου πεφυτευμένον τοῖς πᾶσιν ὁρώμενοι, ὑφ' ὧν τῇ σκιᾷ πᾶς προσιὼν τοῦ καύσωνος ἀπηλλάττετο. Εἰ γὰρ ἀχθηδόνι τινὶ ἢ συμφορῶν ἐσμῷ περιεστοιχίζετο, τὴν ἀγαθὴν ἐκείνην ξυνωρίδα εὕρισκε τοῦ κακύνοντος λυτήριον φάρμακον, λόγοις καὶ ἔργοις παραμυθουμένην τὸν ἀλγυνόμενον· ὧν εὐσεβῶς οὕτω καὶ θεοφιλῶς τὴν πορείαν τοῦ βίου ἀνυόντων, οὗτος οἷά τις ὡραῖος κλάδος ἐκφύεται, ἀσπάσιόν τι χρῆμα καὶ θεῖον φανεὶς τοῖς γεννήτορσι πάλαι ποθοῦσιν ἰδεῖν ἐξ ὀσφύος αὐτῶν ἄῤῥεν ἀποτικτόμενον· ὃν δὴ καὶ τῷ θείῳ λουτρῷ καθαγιάσαντες Ἰωάννην ὠνόμασαν, ἐκ θείας ἐπιπνοίας κινούμενοι. Ἐχρῆν γὰρ τὸν ἐςύστερον ἐν ἐρήμῳ μέλλοντα διαιτᾶσθαι καὶ κατὰ μόνας ζῆν προελόμενον, τῆς αὐτῆς καταξιωθῆναι τῷ πρώτως τὴν ἐν ἐρήμῳ διαγωγὴν ὑποδείξαντι, καὶ συγκαλοῦντι πρὸς τὸν Ἰορδάνην τὴν τῶν Ἱεροσολύμων περίχωρον ἅπασαν (2), καὶ τελεσιουργοῦντι τούτοις τῆς μετανοίας τὸ βάπτισμα· ᾧ καὶ ὁ νῦν εὐφημούμενος ἑαυτὸν ἀνεκάθηρε, *λούων καθ' ἑκάστην τοῖς δάκρυσι τὴν στρωμνήν* (3), καὶ *ἄρτον λύπης ἐσθίων* (4), ἵνα τὸ κατὰ τοῦ πνεύματος ἐπεγειρόμενον τῆς σαρκὸς ἀποκτείνειε φρόνημα.

Δ'. Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ἀναμεινάτω, ἐμφιλοχωρείτω δὲ τῆς παιδικῆς ἡλικίας τοῖς διηγήμασιν. Ὁρῶντες οἱ τεκόντες τὸν παῖδα ἐξ αὐτῆς, ὅ φασι (5), τῆς ἀφετηρίας πᾶν ἀγαθὸν ἐν ἑαυτῷ συναγηοχότα, ταπεινὸν τῷ φρονήματι, περιδέξιον ἐν τοῖς οὕτω τυχαίως συμπίπτουσι, γραμματιστῇ (6) τινι

(1) Ψαλμ. ά, 2, καὶ ριή, 97.

(2) Τῷ Προδρόμῳ δηλονότι, περὶ οὗ ὅρα Ματθ. γ', 3.—Μάρκ. ά, 3. — Λουκ. γ', 4.—Ἰωάν. ά, 23.

(3) Ψαλμ. ς', 6.

(4) Τωβὶτ 6', 6.

(5) Ὅρα ὄπισθεν σελ.80, ὑποσημ. 2.—Πρβλ. καὶ Πολυδεύκ. Γ', 147. (Σημ. Ι. Σ.)

(6) Περὶ **Γραμματιστοῦ** ἰ **Γρ μματικοῦ** ὅρα Κ. Οἰκονόμου ἐν τῷ προοιμίῳ τῶν **Γραμματικῶν** αὐτοῦ σελ.2, καὶ Κ. Ἀσώπιον ἐν τοῖς προλεγομένοις τῆς **Ἱστορίας τῶν Ἑλλήν. ποιητῶν καὶ συγγραφέων.**

τοῦτον παραδιδόασι. Τῷ δὲ ταχέως ὁ νοῦς τῶν μαθημάτων περιδραττόμενος ἐδήλου τῶν μελλόντων ἀγαθῶν τὴν ἐπίῤῥοιαν. Εὐθὺς δὲ τὰ πρῶτα τῶν γραμμάτων στοιχεῖα μεμαθηκώς, ὅλος ἦν τῆς τῶν θείων Γραφῶν ἀναγνώσεως, ὑφ' ὧν τῷ τοῦ Θεοῦ φόδῳ στοιχειωθείς, τῶν μὲν φθαρτῶν τούτων ἠλόγησε, τῷ δὲ θείῳ ἔρωτι γεγονὼς κατακώχιμος ἐπόθει τὰ μένοντα. Ἀλλ' οὐκ ἦν ταῦτα τοῖς τοκεῦσιν ἀρέσκοντα· οὐδ' ἤθελον τὸν παῖδα τοιούτοις θεάμασιν ἀπασχολεῖν τὴν διάνοιαν. Διὸ καὶ πρὸς γῆν ἐξ οὐρανοῦ κατασπᾶν ἐβιάζοντο, καὶ τῶν αὐτῶν ἄρχεσθαι πόνων, καὶ σπουδάζειν αὔξειν τε τὸ βαλάντιον καὶ τὰ πρὸς χρηματισμὸν ἐπιτηδεύειν συντείνοντα. Ὁ δὲ πρὸς γῆν νεύων ἐν ταπεινῷ τῷ προσχήματι, τούτοις ἐπεφώνει τὸ τοῦ Δαβίδ: « *Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν* » (1)· καὶ ὅτι: « *Ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος· θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάγει αὐτά* » (2). Ἀλλ' οἱ πατέρες μὴ μόνοις τοῖς περὶ τὰ κρείττονα σπουδάσμασι προσέχειν τὸ τέκνον ἐθέλοντες, γυναικὶ συζεῦξαι τοῦτον διενοήσαντο, ὡς ἂν τὸ πρὸς ταύτην φίλτρον διερεθίζῃ τὸν νέον ἐκ παντὸς τρόπου συναγείρειν τὰ φίλια. Διὸ καὶ γυνὴ τούτῳ μνηστεύεται ἀπαναινομένῳ καὶ ἀντιβαίνοντι. Ἀλλ' οὐκ ἔλαθε τὸν νέον τοῦ πονηροῦ σατὰν τὸ μηχάνημα· εὐθὺς γὰρ τοῦ δόλου αἰσθόμενος, τὴν γαμήλιον παστάδα ἀφίησι, καλῶς ἐννοήσας τὸ πρὸς τὸν ὄφιν λεχθέν: « *αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν* » (3). Νενόηκε γάρ, ὡς ὁ μὲν νοητὸς ὄφις ἀεὶ τὴν πτέρναν ἡμῶν τηρεῖν ἐγχειρεῖ, αὐτὰ δηλαδὴ τὰ τέλη τῶν πράξεων, οἷς οἶδε παρὰ Θεοῦ ἐπαγομένην τὴν κόλασιν· ὁ δὲ τῆς ἀρετῆς ἀγωνιστὴς δοκιμώτατος τὴν κεφαλὴν αὐτοῦ συνθλᾶν ἐπείγεται πρότερον· ὁ γὰρ τὴν προσβολὴν αὐτὴν τῆς κακίας διεκφυγὼν οὐδέποτε περιπεσεῖται ταῖς ἄρκυσι τοῦ σατάν. Εἰ γὰρ καὶ *τίμιος ὁ γάμος*

(1) Ψαλμ. ξά, 10.
(2) Ψαλμ. λή, 7.
(3) Γένεσ. γ', 15.

ὁ ἔννομος, *καὶ ἡ κοίτη ἀμίαντος* (1), ἀλλ᾽ ἔχει πολλοὺς τοὺς περισπασμούς· ἀλλ᾽ ἔστιν οὗ βρίθειν καταναγκάζει τὸν νοῦν καὶ φρονεῖν τὰ ἐπίκηρα. Ἡ δὲ παρθενία θεῖόν τι χρῆμα ὡς ἀληθῶς καὶ οὐράνιον· ἧς ἐρῶν ἐν νέῳ τῷ σώματι ὁ καλὸς νεανίας, φεύγει μὲν τὴν τοῦ κόσμου χλιδήν, ἀκούει δὲ θείας ὀμφῆς: «*Ἔξελθε ἐκ τοῦ οἴκου σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐλθὲ εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω* » (2).

Ε΄. Ἕπεται τοιγαροῦν τῷ καλέσαντι, δόντι συνέριθον αὐτῷ τοῦ καλοῦ τοῦδε σκοποῦ ἄνδρα τινὰ ἐπ᾽ ἀρετῇ διαβόητον, ὃς ὁδηγὸς γενόμενος κάλλιστος, πρὸς τὸ τοῦ Ὀλύμπου ὄρος (3) ἀνάγει τὸν νέον, ὑφ᾽ οὗ ταῖς ὑπωρείας ἡ Προυσαέων ἀνῳκοδόμηται, πολὺ δέ τι πλῆθος ἱερῶν σεμνείων ἐν ἐκείνῳ τῷ ὄρει καθέστηκεν. Εἰς ἕν τι γοῦν τούτων φέρων ἑαυτὸν ἐντυγχάνει ἀνδρὶ πολιῷ μὲν τὴν τρίχα, γηραιῷ δὲ τὴν φρόνησιν· ἱκανῶς γὰρ τὰ θεῖα πεπαίδευτο, ξυνιέναι τὸν νοῦν τῶν Γραφῶν ὢν ἐμπειρότατος, καὶ εἰς τὰ βάθη τοῦ πνεύματος εἰσιών, κἀκεῖθεν τοῖς πολλοῖς ἀποκαλύπτων τὰ δύσληπτα· ὃς παραλαβὼν τὸν νῦν εὐφημούμενον, πρῶτα μὲν ὑποδεικνύει τὸ τῆς ἀρετῆς τραχύ τε καὶ ἄναντες, καὶ ὅσα τῆς κακίας τὰ θήρατρα, καὶ ὡς οὐ πρὸς *αἷμα καὶ σάρκα* (4), ἀλλὰ πρὸς ἐχθροὺς ἀσάρκους καὶ ἀοράτους, *πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἡ πάλη* τοῖς ἀθλοῦσι συνίσταται· εἶτ᾽ ἀπεκδύσας ὃ περιβέβλητο ἄμφιον, ἐπενδύει τὸ τῆς ταπεινώσεως σύμβολον, καὶ ἤδη πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ὑπήλειφεν. Ὁ δέ, πρὸς τὸν διδάσκαλον ἀφορῶν ὑπέθηγεν ἑαυτὸν πρὸς τὰ σκάμματα, νηστείαις μὲν *ὑπωπιάζων τὸ σῶμα* (5), *ὕπνον* δὲ *τοῖς ὀφθαλμοῖς μὴ διδούς*, μηδὲ τοῖς *κρο-*

(1) Ἑβρ. ιγ΄, 4.

(2) Γένεσ. ιβ΄, 1.

(3) Τὸν Μύσιον Ὄλυμπον λέγει, περὶ οὗ ὅρα τὰς τοῦ φίλου Σακκελίωνος σημειώσεις ἐν τῇ τοῦ ὁσίου πατρὸς **Ὑποτυπώσει.** (Ἴδε ὄπισθεν σελ. 65, ὑποσημ. 2).

(4) Ἐφεσ. ϛ΄, 12.

(5) Α΄ Κορινθ. θ΄, 27.

*τάφοις ἀνάπαυσιν* (1), ἀλλὰ παννύχοις ὑμνῳδίαις τὸ θεῖον καταγεραίρων· ᾤετο γὰρ τὸ ὄρος ἐκεῖνο μηδὲν ἀποδεῖν τοῦ Σιναίου, ἐν ᾧ Θεὸς τῷ Μωϋσῇ χρηματίσας, τεσσαρακονθήμερον νηστείαν ἀνύσαντι, τοῦ νόμου τὰς πλάκας ἐβράβευσε (2). Διὸ καὶ οὗτος τὴν *σάρκα δουλαγωγῶν* (3) οὐκ ἀνίει, μηδενὸς ἐπὶ πολλαῖς ἡμέραις ἀπογευόμενος.

Ϛ'. Ἀλλὰ τί τὸ ἐντεῦθεν; Ἀπαίρει μὲν πρὸς τὰς ἄνω μονὰς καὶ πρὸς Κύριον ἐκδημεῖ ὁ καὶ πρὸ τῆς ἐκδημίας ἐκείνῳ ἀεὶ συγγινόμενος, ὁ τὴν τρίχα ἀποκείρας τοῦ μάκαρος· ἀφίησι τὸν μαθητὴν πολλῆς τῆς ἀθυμίας ἀνάμεστον, τὴν τοῦ πατρὸς ἀποδυρόμενον στέρησιν, τὴν μόνωσιν ἀποκλαιόμενον, τὴν ἐρημίαν ὀλοφυρόμενον, τῆς συνδιαγωγῆς οὐ φέροντα τὴν βραχύτητα· ἐπὶ τρισὶ γὰρ ἔτεσιν ἐκείνῳ συνῴκησε. Δεδιὼς οὖν μή ποτε μαθόντες οἱ τεκόντες τὴν ὀρφανίαν αὐτοῦ, ἐπὶ τὸν κοσμικὸν ἔμετον πάλιν ἀγάγωσι, καὶ ἀνεύθετος εὑρεθῇ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἅτε *βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω* (4), πρὸς τὴν πρεσβυτάτην Ῥώμην λεληθότως ἀπέφυγεν (5), ἐκκλίνων μὲν καὶ τοὺς ἴσως, ὡς ἔφην, ζητήσοντας, ποθῶν δὲ καὶ τοὺς τάφους ἰδεῖν καὶ ἀσπάσασθαι τῶν κορυφαίων τοῦ Χριστοῦ μαθητῶν, Πέτρου λέγω καὶ Παύλου, οὓς κατὰ διαφόρους καιροὺς ὁ Νέρων ἐκεῖσε ὡς τῆς ἀληθείας ἀπέκτεινε κήρυκας (6), τοῦ μὲν τὴν κεφαλὴν ἀποτεμών, τὸν δὲ

(1) Ψαλμ. ρλα', 4—5.

(2) Δευτερονόμ. θ', 9—10.

(3) Α' Κορινθ. θ', 27.

(4) Λουκ. θ', 62.

(5) Καὶ οἱ ἐγκωμιασταὶ αὐτοῦ ἐφεξῆς Ἀθανάσιός τε καὶ Θεοδόσιος μνείαν ποιοῦνται τῆς εἰς Ῥώμην ἀποδημίας τοῦ μάκαρος· αὐτῷ μέντοι γε παρασεσιώπηται τὸ τοιοῦτον ἐν τῇ οἰκείᾳ **Ὑποτυπώσει**, ὅπερ ἀπορίας ἄξιον. (Σημ. 1. Σ.)

(6) Ἐν τῷ πρώτῳ κατὰ χριστιανῶν διωγμῷ, τῷ ὑπὸ τοῦ Νέρωνος κινηθέντι, τὸν τοῦ μαρτυρίου ὑπέστησαν θάνατον οἱ πρωτοκορυφαῖοι ἀπόστολοι Πέτρος καὶ Παῦλος, διάφορον μέντοι. Ὁ μὲν γὰρ Παῦλος προστάξει τοῦ Νέρωνος τὴν κεφαλὴν ἀπετμήθη, ὁ δὲ Πέτρος κατωκάρα ἐπὶ σταυροῦ ἀνηρτήθη. Περὶ δὲ τοῦ χρόνου τοῦ μαρτυρίου αὐτῶν ὑπάρχει διαφωνία τις παρὰ τοῖς ἐκκλησιαστικοῖς ἱστορικοῖς. Οἱ μὲν γὰρ τῷ αὐτῷ ἔτει αὐθημερὸν ἀμφοτέρους μεμαρτυρηκέναι βούλονται, ἕτεροι δ' ὅτι ὁ Παῦλος μετὰ

κατὰ κεφαλῆς μετεωρίσας ἐπὶ σταυροῦ, οὕτω παθεῖν ἀξιώσαντα. Ἐζήλου τοίνυν τοὺς ἀγῶνας τῶν θεσπεσίων ἐκείνων, καὶ τὴν σορὸν κατησπάζετο, καὶ συμμάχους ἔχειν καὶ ὁδηγοὺς ἀπλανεῖς ἐν ἅπασιν ηὔχετο. Οἱ δέ, καθ' ὕπνους ἐπιφανέντες προμαντεύονται μὲν αὐτῷ τὰ ἐσόμενα σκάνδαλα, παραθήγουσι δὲ φέρειν γενναίως τῶν ἐπιπόνων τὴν κάκωσιν, ὑποδεικνύντες τὸν ἑπόμενον στέφανον. Ὅθεν οὐκέτι ἦν καθεκτὸς πρὸς τὰ κάλλιστα· ἀλλ' ἐκ τῶν πρὸς δύνοντα ἥλιον μερῶν ἀπαναστάς, πρὸς ἕω πάλιν ἀπαίρειν ἠπείγετο. Καὶ δὴ τοὺς σωτηρίους τόπους καταλαμβάνει, ἔνθα Χριστὸς τὰς χεῖρας ἐκτείνας ἐπὶ σταυροῦ, τοὺς ἀπωσμένους πρὸς ἑαυτὸν συνεκάλεσε, καὶ τὴν εἰς οὐρανὸν βαδίζειν ἀνέτως, τοῦ φραγμοῦ λυθέντος, ἡμῖν ἐχαρίσατο. Ὁρᾷ τὴν Βηθλεὲμ καὶ τὴν φάτνην καὶ περιπτύσσεται τοὔδαφος, ὃ βρεφωθέντα παραδόξως τὸν Παλαιὸν τῶν ἡμερῶν ὑπεδέξατο. Ἐξετάζει τοὺς λόγους τῆς φρικτῆς ταύτης συγκαταβάσεως, πῶς Θεὸς ὢν μορφὴν δούλου προςείληφε, καὶ σπάργανα κατεδέξατο, καὶ ἀνεκλίθη τῇ φάτνῃ, ἵν' ἡμεῖς τῶν δεσμῶν τῆς ἁμαρτίας ἐλευθερωθείημεν, καὶ μηκέτι πρὸς τὰ τῆς ἀλογίας πάθη καταφεροίμεθα.

Ζ΄. Οὕτω γοῦν ὁ θεῖος οὗτος Χριστόδουλος, τῶν ἐν Ἱεροσολύμοις χαρίτων κατακόρως κατατρυφήσας, καὶ καθαγιασθεὶς σῶμά τε καὶ ψυχήν, πρὸς μείζονα χωρεῖν διασκέπτεται σκάμματα. Καὶ δὴ ἀπαίρει *ὅλῳ ποδὶ* (1) πρὸς τὴν ἔρημον, ἔτος ἄγων τῆς ἡλικίας τὸ τέλειον· ἤδη γὰρ τοῦ εἰκοστοῦ πέμπτου χρόνου ἦν ἐπιβάς. Ἑνὶ γοῦν τῶν ἐκεῖσε ὄντων σεμνείων φέρων ἑαυτὸν ἐπιδίδωσιν. Ἀλλὰ ποῖος ἂν λόγος τὰ ἐν τούτῳ τοῦ μάκαρος διηγήσαιτο κατορθώματα; Ὁ γὰρ περὶ Χριστοῦ τὸ ἱερόγραφον

ἓν ἔτος τὸν τοῦ μαρτυρίου ἐδέξατο στέφανον. Ὁ δὲ Μελέτιος τίθησι τὸν χρόνον τοῦ μαρτυρίου τῷ ξϛ΄ ἔτει, ἅμα τοῦ διωγμοῦ κινηθέντος· ὁ δ' Εὐγένιος τῷ ξη΄ [**Ἐκκλ. Ἱστορ.** τόμ. Α΄, σελ. 139 — Εὐγεν. **Ἑκατονταετ.** σελ. 185. §. 246.].

(1) Παροιμία ἐπὶ τῶν ταχέως ποιούντων· ὁμοία τῇ: **Ὅλῳ ῥυτῆρι** [Μιχ. Ἀποστολ. **Συναγ. Παροιμ.** ΙΒ΄, 63]. (Σημ. Ι. Σ.)

φησὶν Εὐαγγέλιον, ὡς *προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ* (1), (προκοπὴν λέγον τὴν κατὰ καιρὸν ἀνάδειξιν καί, οἷον εἰπεῖν, ἔκφανσιν τῆς οἰκείας θεότητος), τοῦτο καὶ ἐπ' ἐκείνῳ καθ' ἕτερον τρόπον συνέβαινεν· ὅσῳ γὰρ τῇ ἡλικίᾳ προέκοπτε, τοσούτῳ μᾶλλον τοὺς κόπους ἐπέτεινε· μέγα γὰρ τὸ τῆς ὑπακοῆς εἰδὼς χρῆμα, χωρὶς ὄκνου τινὸς ἔδρα πᾶν τὸ δοκοῦν τῷ τῆς μονῆς προεστῶτι· κἂν ἐπίμοχθον ἦν, ὑπετίθει τὸν αὐχένα προθύμως, καὶ οὐδενὸς ἄχθους ᾐσθάνετο· ἀλλὰ καὶ τῇ τῶν ἀδελφῶν ὁμηγύρει λειτουργῶν ὅσα εἰκός, γαστρός τε καὶ ὕπνου ἐκράτει, πάντων ἁπλῶς, ὡς εἰπεῖν, ἀπεχόμενος τῶν ἡδυνόντων τὴν αἴσθησιν· οὔτε γὰρ οἶνον εἰς πόσιν προςίετο, ἀλλ' ὕδωρ ἦν αὐτῷ ποτὸν νηφάλιον· οὔτε δὲ ἰχθύων μετελάμβανεν, ἅλατι μόνῳ καὶ ἄρτῳ ἀρκούμενος. Ἀλλὰ τοσαύτην ἀπάθειαν ἐν ὑλικῷ σώματι ἐπιδεικνύμενον ἄνθρωπον οὐκ ἔφερεν ὁρᾶν σατὰν ὁ μισόκαλος· διὸ καὶ κατὰ τῶν ἐν ἐρήμῳ σεμνείων τοὺς αὐτῷ συνήθεις βαρβάρους ὅπλα κινεῖν ἐκβιάζεται. Οἱ γὰρ τῆς Ἄγαρ ἀπόγονοι, ὅλοι τοῦ θυμοῦ γεγονότες λεηλατοῦσι τὴν ἔρημον, καὶ τοὺς μὲν τῶν θεοφόρων πατέρων ποιοῦσι μιαιφόνου χειρὸς παρανάλωμα, τοὺς δὲ αἰχμαλώτους ἀπάγουσι· τινὲς δὲ τὰς χεῖρας τούτων διαφυγόντες, ὧν εἷς καὶ οὗτος ὁ μάκαρ ἐτύγχανεν, οὐκέτι προςμένειν τοῖς τόποις ἐκείνοις ἐβούλοντο (2), πληροῦντες δεσποτικὴν ἐντολήν, τὴν *τοὺς διωκομένους φεύγειν* παρακελευομένην (3).

Η'. Ἀπάραντες οὖν ἐκεῖθεν, καὶ πνεύματος εὐφόρου ἐπιτυχόντες, καὶ δεξιῶς διαπλωϊσάμενοι, ἐγγύς που τῆς Μιλήτου (4) κατήντησαν· ἧς οὐ μακρὰν ὄρος ὑπερανέστηκε, Λάτρος τοῖς

(1) Λουκ. β', 40.

(2) Παράβαλε πρὸς ταῦτα καὶ τὰ ὑπ' αὐτοῦ τοῦ ὁσίου πατρὸς εἰρημένα ὄπισθεν ἐν σελ. 66. (Σημ. Ι. Σ.)

(3) Ματθ. ι', 23.

(4) Μίλητος μία τῶν ἀρχαίων Ἰωνικῶν πόλεων. Περὶ δὲ τοῦ παρ' αὐτὴν ὄρους Λάτρους ἴδε τὰ ἐν τῇ **Ὑποτυπώσει** σημειούμενα παρὰ τοῦ φίλου Σακκελίωνος. (Ὅρα ὄπισθεν σελ. 66, ὑποσημ. 5).

ὅλου τοῦ ἔτους, αναιρῶν δὲ πᾶσαν σκανδάλου πρόφασιν, καὶ μὴ θέλων πλήττειν τινῶν τὴν συνείδησιν, ἀπεγεύετο τυροῦ τε καὶ γάλακτος ὅτε λαμπρά τις ἐνειστήκει τοῦ σωτῆρος ἡμῶν Χριστοῦ τελετὴ καὶ πανήγυρις, ἢ ἡ τούτου γενέθλιος, ἢ ἡ τοῦ κοσμοσωτηρίου πάθους ἀνάμνησις (1). Τηνικαῦτα γάρ, πολλῶν ὁρώντων, τῶν ῥηθέντων ἀπογευόμενος, πάλιν τῆς προτέρας ἐγκρατείας ἐξείχετο.

Θ΄. Ἀλλ' *οὐκ* ἔμελλε *πόλις ἐπάνω ὄρους κειμένη κρύπτεσθαι*, οὐδὲ κεῖσθαι *ὁ λύχνος ὑπὸ τὸν μόδιον* (2), οὐδ' ὁ λαμπρὸς οὗτος ἀστὴρ μόνους καταφωτίζειν τοὺς γειτνιάζοντας, καὶ μὴ ταῖς αὐτοῦ λαμπηδόσι τοὺς πόῤῥω περιαυγάζεσθαι. Ἅπαντες οὖν, ὅσοι τὴν μοναδικὴν πολιτείαν ἐν τῷ ὄρει διήνυον, περὶ τὸν θεοφόρον τοῦτον συναθροισθέντες ἠντιβόλουν, ἱκέτευον, ὑπὸ τούτῳ καθηγητῇ καὶ ποιμένι τετάχθαι, καὶ τῆς αὐτοῦ βουλῆς καὶ γνώμης ἐξηρτῆσθαι. Ὁ δέ, πάλαι τὸν ἡσύχιον βίον ἐνστερνισάμενος ἀπωθεῖτο τὴν προστασίαν, ὡς τῷ ποθουμένῳ λυμαινομένην τὰ μέγιστα. Ἀλλ' ἐκεῖνοι τὴν βασιλίδα καταλαβόντες τῶν πόλεων, γνωρίζουσι τὰ κατὰ τὸν ἄνδρα τῷ ἀρχιποιμένι (3), καὶ τὸν οἰκεῖον σκοπὸν κοινολογησάμενοι τούτῳ, δυςωποῦσι βίαν ἐπαγαγεῖν τῷ μὴ θέλοντι, καὶ ποιμένα τούτοις ἐγκαταστῆσαι αὐτόν. Δεξιῶς οὖν ὁ ἀρχιποιμὴν πείσας τὸν θεοφόρον, καὶ νουθετήσας προτιμοτέραν ἡγεῖσθαι τῆς οἰκείας τὴν τοῦ πλησίον ὠφέλειαν, τοῦ παντὸς ὄρους *ἀρχιμανδρίτην* καθίστησι, σφόδρα τῆς ἀρετῆς ὑπεραγασθείς, καὶ τῆς ἐν ταῖς διαλέξεσιν ἱλαρότητος, καὶ ὄντως ἄνδρα πλήρη πνεύματος διαγνοὺς καὶ συνέσεως. Τῆς γοῦν ἐφέσεως ταύτης ἐπιτυχόντες οἱ ἐν τῷ ὄρει μονάζον-

(1) Εἰ μὴ διέστραπται ἡ γραφὴ ἐνταῦθα, **Πάθους** ἀντὶ **Πάσχα** γράψαντος τοῦ ἀντιγραφέως, συνυπακουστέον λοιπὸν ἐν τῷ πάθει καὶ τὴν ἀνάστασιν (ὅπερ ὅμως τῶν ἀτόπων δοκεῖ)· ἄλλως γὰρ πῶς ἂν ὑπολάβοι τις τὸν ὅσιον πατέρα τυροῦ καὶ γάλακτος ἀπογεύεσθαι κατὰ τὴν τοῦ σωτηρίου πάθους ἡμέραν; (Σημ. Ι. Σ.)

(2) Ματθ. ε΄, 14 — 15.

(3) Ὁ τὰ τῆς Ἐκκλησίας τὸ τηνικαῦτα οἰακονομῶν Κοσμᾶς ἦν ὁ Α΄, ὡς ἐν τοῖς ὄπισθεν σεσημείωταί μοι [σελ. 70, ὑποσημ. 1]. (Σημ. Ι. Σ)

τες, ὡς Θεῷ προςεῖχον μονονουχί, καὶ τῆς τούτου γλώττης ἐξήρτηντο, καὶ νόμος ἐδόκει τὸ δόξαν αὐτῷ. Διὸ καὶ ταῖς τούτου διδασκαλίαις, καὶ τῶν λογικῶν ναμάτων ταῖς ἐπομβρίαις, ἃς ὁσημέραι ὑετίζων ἐτύγχανεν, ἅπαν ξηρόν τε καὶ ἄνικμον ἐζωογονεῖτό τε καὶ ἀνέθαλλε, καὶ καρπὸν ἐδίδου τὸν ἐπαινούμενον, καὶ πολλή τις ἐν βραχεῖ τῷ χρόνῳ πρὸς ἀρετὴν ἐπίδοσις γέγονεν· ἐπειδὴ τῷ *ἄρχοντι* ὡς ἐπίπαν *ἐξομοιοῦσθαι φιλεῖ τὸ ἀρχόμενον* (1).

Ι΄. Ἀλλὰ πάλιν καταιγὶς ἐκύκα τὸ ὄρος· καὶ πάλιν ἡ τῶν πειρασμῶν ἐπωρύετο θαλασσα· καὶ πάλιν κατὰ τῶν θεοφόρων ἐλύττα ὁ δράκων, ὁ ἀποστάτης ὁ τραχηλιάσας ἀπὸ Θεοῦ παντοκράτορος, καὶ τὰ ὡραῖα τῆς ἕω ἐληΐζοντο οἱ τῆς Ἄγαρ απόγονοι, καὶ φόνου πολλοὺς ἔργον εἰργάζοντο. Τί οὖν ἐχρῆν ποιῆσαι τοὺς καλοὺς τῆς ἀρετῆς ἀγωνιστάς; ἆρ᾽ οὐχὶ κἂν τούτῳ δεσποτικῷ πεισθῆναι προστάγματι, *εὔχεσθαι μὴ εἰςελθεῖν εἰς πειρασμὸν* παρακελευομένῳ (2); Οὔκουν οὐδὲ ἑαυτοὺς ἐκδοῦναι πρὸς κίνδυνον προὖπτον ἠνέσχοντο, ἀλλὰ πρὸς τὴν νῆσον Κῶ βιασθέντες καταίρουσι, ἔνθα οὐκ ἦν, ὃς τὴν ἀρετὴν τοῦ ἀνδρὸς οὐκ ἐθαύμαζε καὶ ὑπερεπῄνει τὸ πρᾶόν τε καὶ μειλίχιον· ἔπραττον δὲ πολλοὶ καί, ὃ περὶ τῶν πιστευσάντων ἡ τῶν ἀποστολικῶν Πράξεων ἱστορία διέξεισιν (3). Ἐκεῖνοί τε γὰρ παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἐτίθεσαν τὰ ὑπάρχοντα, καὶ ἑκάστῳ ἐδίδοντο καθ᾽ ὅ,τι ἄν τις χρείαν εἶχε· καὶ οὗτοι δὲ προσέφερον οὐ μόνον τροφὰς καὶ σκεπάσματα, ἀλλὰ καὶ τὰς κτήσεις αὐτὰς τῷ Θεῷ προςαφώριζον. Βραχὺς ὁ καιρός, καὶ Θεοῦ τὴν οἰκείαν πληροῦντος ὑπόσχεσιν: *Οὐ μή σε ἀνῶ, οὐδ᾽ οὐ μή σε ἐγκαταλίπω* (4) εἰπόντος πρὸς τὸν δίκαιον, σεμνεῖον ἱερὸν ἀνεγείρε-

(1) Παρ᾽ Ἡρωδιανῷ, ἐν τῷ προοιμίῳ τῆς κατ᾽ αὐτὸν Ἱστορίας, οὕτως ἔχει τὸ γνωμικόν: « **Φιλεῖ γάρ πως ἀεὶ τὸ ὑπήκοον ζήλῳ τῆς τοῦ ἄρχοντος γνώμης βιοῦν** »· καὶ παρὰ Νικήτα τῷ Χωνιάτῃ οὕτω: « **Ἐξομοιοῦσθαι τῷ ἄρχοντι φιλεῖ τὸ ἀρχόμενον** [ **Εἰς Ἀνδρόν. Κομν.** Β΄, δ΄.]. ( Σημ. Ι. Σ.)

(2) Ματθ. ς΄, 13.

(3) Πράξ. 6΄, 44—45, καὶ δ΄, 32—35.

(4) Ἑβρ. ιγ΄, 5. Τοῦτο δὲ ἐκ τοῦ Δευτερονομ. λα΄, 6, καὶ Γεν. κη΄, 15.

ται, καὶ Θεοῦ δοξάζεται ὄνομα. Ἀλλὰ ψυχὴ δι᾽ ἀρετῆς ὑπερβαλλούσης ἑνωθεῖσα Θεῷ, οὐ φέρει χωριζομένη τοῦ κρείττονος τῇ πρὸς ἀνθρώπους συννεύσει καὶ ὁμιλίᾳ. Διὸ τὸν ἐκ τῶν ὁσημέραι προσφοιτώντων ὄχλον οὐκ ἀσπαστὸν ἡγούμενος ὁ μακάριος, πάλιν τὴν βασιλίδα καταλαμβάνει τῶν πόλεων καὶ τῷ κρατοῦντι γνώριμος γίνεται (1). Ὁ δὲ ἦν, οὗ κλέος εὐρὺ (2) ἀνὰ πᾶν τὸ περίγειον· ὃν εἴ τις μὴ τεθέαται, *ἐκ τοῦ καρποῦ* γνωριζέτω *τὸ δένδρον*. Ὁ γὰρ νῦν τὴν βασίλειον ἰθύνων ἀρχήν, ὁ τῆς πορφύρας ὡραῖος βλαστός, παῖς ἐκείνου καὶ λίαν ποθούμενος, καθ᾽ ἑκάστην ἱδρῶσι περιῤῥεόμενος, ὡς ἐν ὅπλοις ὢν κατὰ χρόνου παντὸς διηνέκειαν, καὶ ποτὲ μὲν ἀναιρῶν τοὺς τὴν ἔω κακύνοντας θῆρας, ἄλλοτε δὲ τῶν δυτικῶν μερῶν τοὺς λύκους ἀποσοβῶν καὶ κατατροπούμενος πᾶν τὸ ἀντίπαλον (3).

ΙΑ΄. Τῷ καλῷ οὖν τούτου πατρί, τῷ γενναίῳ αὐτοκράτορι καὶ θερμῷ προμάχῳ τῆς εὐσεβείας Ἀλεξίῳ προσιὼν ὁ τὸν παρόντα συγκροτῶν ἡμῖν σύλλογον, *ἀρχῆς ἀπ᾽ ἄκρης* (4) ὑφηγεῖται τὰ κατ᾽ αὐτόν, καὶ γράμμα δοὺς αἰτεῖται δοθῆναι οἱ μικρόν τι νησίδιον, ἀνθρωπίνης ὄψεως τῷ τότε τυγχάνον παντάπασιν ἔρημον· τοῦτο δηλαδή, ἐν ᾧ τὸν ἱερὸν σηκὸν ὁ θεοφόρος ἀνή-

(1) Ἀλέξιος οὗτος ἦν ὁ Κομνηνός, ὁ διὰ χρυσοβούλλου γραφῆς δωρησάμενος τῷ ὁσίῳ πατρὶ τὴν ὅλην νῆσον Πάτμον, καὶ λαβὼν ἀντ᾽ αὐτῆς τὰ ἐν τῇ Κῷ προσκτηθέντα τῷ ὁσίῳ ὁθενδήποτε κτήματα. Τὸ πρωτότυπον τοῦ δωρητηρίου χρυσοβούλλου μετὰ καὶ ἄλλων σώζεται μέχρι τῆς σήμερον κειμήλιον ἄσυλον ἐν τῇ ἱερᾷ μονῇ, οὗ τὴν ἄπταιστον ἀνάγνωσιν καὶ ἀκριβῆ ἀντιγραφὴν ἐπεχείρησε καὶ ἐτελείωσεν ὁ ἐμὸς φίλος καὶ ἀκάματος συνεργὸς καὶ ὁδηγὸς ἐν πολλοῖς ἐλλόγιμος Ἰωάννης Σακκελίων.

(2) Ὁμηρικὴ ἡ φράσις [Ὀδυσ. Α, 344]. (Σημ. Ι. Σ.)

(3) Ἰωάννην λέγει τὸν Κομνηνόν, τὸν καὶ **Καλοϊωάννην**, υἱὸν καὶ διάδοχον τοῦ Ἀλεξίου, ὃς ἐβασίλευσεν ἐν ἔτει 1118, καὶ κατετρόπωσε πολλάκις νικήσας τοὺς Τούρκους ἐν τῇ Ἀσίᾳ· ἐν δὲ τῇ Εὐρώπῃ τοὺς Σκύθας, Οὔννους καὶ Σερβίους [Ἰωάν. Κίνναμ. Α΄]. Ἐκ τούτων δ᾽ ἐξάγεται, ὅτι ὁ βιογράφος Ἰωάννης ἤκμαζε κατὰ τοὺς χρόνους τοῦ Καλοϊωάννου, συνεχρόνισε δέ τι σχεδὸν καὶ τῷ ὁσίῳ ἡμῶν πατρί, τῷ 1093 κοιμηθέντι ἐν Κυρίῳ. Τὸ δέ: « **Ἐκ τοῦ καρποῦ τὸ δένδρον** » εἴληπται ἐκ τοῦ Ματθαίου [ιϐ΄, 34].

(4) Ἡ φράσις εἴληπται ἀπὸ τῆς Λυκόφρονος Ἀλεξάνδρας στ. 2:

**Λέξω τὰ πάντα νητρεκῶς, ἅ μ᾽ ἱστορεῖς**
**ἀρχῆς ἀπ᾽ ἄκρης** . . . . . . . . . . (Σημ. Ι. Σ.)

γειρεν, ὃς τὸ σῶμα κατέχει τοῦ μάκαρος, δαψιλεῖς θαυμάτων βρύον πηγάς. Καὶ ὁ μὲν βασιλεὺς θαυμάζει τὸν ἄνδρα, ὡς καλοῦ παντὸς καταγώγιον καὶ ψυχῶν ἀκέστορα περιδέξιον, καί, οἷος ἐκεῖνος ἐν ταῖς διαλέξεσι, πειθήνιός τε καὶ ἱκανὸς ἔστιν οὗ τὰ τῶν προςδιαλεγομένων ἀναλύειν βουλεύματα (1), πειρᾶται καὶ τὸν μακάριον τοῦ σκοποῦ ἀφιστᾶν, καὶ μηκέτι ζητεῖν τὸ φιλήσυχον. Τοῖς γοῦν τότε λεχθεῖσί τε καὶ πραχθεῖσι μικρόν τι ἐνδιατρίψωμεν.—« Τόπος ἔστι τις, ὦ πάτερ, φησὶν ὁ βασιλεύς, » Κελλία καὶ Ζαγορὰ λεγόμενος (2). Ἐν τούτοις πλῆθος ὅτι » πολὺ τὸν μονήρη βίον ἀνήρηται· ἀλλὰ μηδενὸς εὐμοιροῦν τοῦ » κυβερνᾶν ἐπιστημόνως εἰδότος, πολλάκις ζάλῃ περιπίπτει καὶ » κλύδωνι, τινὲς δὲ πρὸς ἀντιπνεύσασαν θύελλαν ἀντισχεῖν οὐ » δυνάμενοι καταποντοῦνται καὶ ὄλλυνται. Μίμησαι γοῦν αὐ» τὸς τὸν *Σαμαρείτην* ἐκεῖνον (3), τὸν *ἔλαιον καὶ οἶνον ἐπι» χέαντα τῷ ὑπὸ λῃστῶν ἡμιθανεῖ, γεγονότι*, καὶ πολλὴν » προςαγηοχότα τὴν ἐπιμέλειαν, καὶ γενοῦ τῶν εἰς ὄρη καὶ » ἐρημίας πλανωμένων προβάτων ποιμὴν δοκιμώτατος, ἵνα μὴ » τοῖς πονηροῖς κλέπταις εὐάλωτοι γένωνται, καὶ τοῖς θηρίοις » κατάβρωμα. Οἶδας γὰρ τὴν ἐν Εὐαγγελίοις παραβολήν, ἤ, » *τὸν ἑκατὸν ἔχοντα πρόβατα ἄνθρωπον, δι᾽ ἓν τὸ ἀπολωλός,* » *ἀφεῖναι τὰ ἐννενήκοντα ἐννέα*, φησί (4), καὶ πορευθῆναι, » καὶ ζητῆσαι τὸ παθὸν τὴν ἀπώλειαν *καὶ εὑρεῖν, καὶ συγκα» λέσαι τοὺς φίλους καὶ ποιήσασθαι* τοῦ *ἀπολωλότος τὴν » εὕρεσιν εὐθυμίας ὑπόθεσιν*. Μὴ οὖν καταῤῥᾳθυμήσῃς αὐτός,

(1) Καὶ Ἄννα δὲ ἡ Κομνηνὴ μετὰ γυναικείας φιλαρεσκείας περὶ τῆς εὐγλωττίας τοῦ πατρὸς αὐτῆς οὕτως ἱστορεῖ : « **Εἰ δὲ καὶ εἰς ὁμιλίαν ἦλθεν ἐκεῖνος καὶ τὴν γλῶτταν ἐκίνησεν, εἶδες ἂν αὐτόχρημα τὴν πυρίπνουν ἐπικαθημένην τοῖς χείλεσιν ἐκείνου ῥητορικὴν Δημοσθένους. Καὶ γὰρ τῷ κατακλυσμῷ τῶν ἐπιχειρημάτων πᾶσαν καὶ ἀκοὴν καὶ ψυχὴν κατεσύρετο, καὶ ἀμύθητος ἦν καὶ ἄμαχος καὶ τὴν γλῶτταν ὁμοῦ καὶ τὴν χεῖρα, τὴν μὲν πρὸς δόρατος ἄφεσιν, τὴν δὲ πρὸς ἀκήρατα θέλγητρα** » [**Ἀλεξιάδ** Βιβλ. Γ′].

(2) Ὅρα τὰ περὶ αὐτοῦ σημειούμενα ὑπὸ τοῦ φίλου Σακκελίωνος ἐν §. Θ′ τῆς τοῦ ὁσίου πατρὸς **Ὑποτυπώσεως**. (Ἴδε ὄπισθεν σελ. 76, ὑποσημ. 4).

(3) Λουκ. ι′, 33.

(4) Ματθ. ιη′ 12.—Λουκ. ιε′, 4.

» ἀλλὰ κατὰ τὸν Μωϋσῆν τῷ νοητῷ Φαραὼ ἀντιτάχθητι (1),
» καὶ γενοῦ ὁδηγὸς τοῖς πρὸς τὴν ἄνω μὲν Ἱερουσαλὴμ ἀνιέναι
» προθυμουμένοις, δελεαζομένοις δὲ τοῖς ἐν Αἰγύπτῳ ἡδύσ-
» μασιν ».

ΙΒ΄. Τοιαῦτα καὶ πλείω τούτων τοῦ βασιλέως φιλοσοφήσαντος, ὁ λαμπρὸς οὗτος τοῖς κατορθώμασιν ἠρεμαίᾳ καὶ συνεσταλμένῃ φωνῇ τοιάνδε τὴν ἀπόκρισιν ἐποιήσατο. — « Τινὰ τῶν
» γινομένων ἐν τοῖς Κελλίοις, ὦ θειότατε αὐτοκράτορ, σῇ δυ-
» νάμει καὶ ἐφορείᾳ, ὡς ἤκουσταί μοι, δύνανται τυχεῖν διορθώ-
» σεως· τῶν δέ, καὶ οἱ μοναχοὶ ποιήσουσι πρόνοιαν. Εἰ γοῦν ἡ
» σὴ βασίλειος μεγαλειότης καὶ τὸ τῶν μοναχῶν σύστημα ἐθέ-
» λοι ποιμαίνειν ἡμᾶς, τὸν κανόνα τῆς μοναδικῆς πολιτείας
» ἀναγκαῖόν ἐστι παραστῆσαι τῷ γράμματι ».—Καὶ ὁ βασιλεὺς ὡς νουνεχῆ τὸν ἀπόλογον προσεδέξατο καὶ καλλιγραφεῖν διορίζεται. Καὶ λαβὼν ὁ πατὴρ τὸ διάταγμα ἐκτίθησιν *Ὅρον τοῦ κατὰ Θεὸν πολιτεύματος*, οἰκείοις ἐγχαραξάμενος γράμμασιν, ἃ καὶ ἡμεῖς τεθεάμεθα (2). Οἷον δ᾽ ἄν τις τούτων ἐπαινέσειε πρῶτον; Ὑφηγεῖται μὲν οἰκειακόν τε ἐν ὑμῖν συνίστασθαι πόλεμον καὶ τὸν ἐκ τῶν δαιμόνων τῶν ἔξωθεν, καὶ τελείαν ἀκτημοσύνην διδάσκει, καὶ μὴ συχνότερον παραβάλλειν ταῖς πόλεσι· τόν τε γὰρ ἰχθὺν ἐξελθόντα τοῦ ὕδατος ἀποπνίγεσθαι, καὶ τὸν μοναχὸν οὐ μετρίως, τὴν μονίαν καταλιπόντα, βλάπτεσθαι φιλοσοφεῖ· καὶ ὅπως χρὴ προσκυνεῖν τὰ μορφώματα αὐτοῦ τε τοῦ Χριστοῦ καὶ τῆς πανάγνου μητρὸς αὐτοῦ, καὶ τῶν ἀκολουθησάντων γνησίως τῆς εὐσεβείας τοῖς δόγμασιν· ὅτι οὐ λατρευτέον τούτοις, ἀλλὰ

(1) Ὥςπερ ὁ Μωϋσῆς τῷ αἰσθητῷ Φαραώ, βασιλεῖ τῆς Αἰγύπτου, πρὸς ἀπελευθέρωσιν τοῦ ἑαυτοῦ γένους ἀντετάχθη διὰ τῶν παρὰ Θεοῦ σημείων, οὕτω καὶ σὺ τῷ νοητῷ Φαραώ, τουτέστι τῷ διαβόλῳ, ἀντιτάχθητι, ποδηγετῶν τοὺς θέλοντας μὲν ἀναβῆναι εἰς τὴν ἄνω Ἱερουσαλήμ, δελεαζομένους δὲ ὑπὸ τῶν ἐν Αἰγύπτῳ ἡδυσμάτων, τῶν τῆς σαρκὸς δηλαδὴ παθῶν [Ἔξοδ. ιϛ΄, 3].

(2) Κἀκ τούτου δῆλον, ὅτι ὁ μητροπολίτης Ῥόδου Ἰωάννης σύγχρονος ἦν τῷ ὁσίῳ Ὁ μέντοι **Ὅρος** οὗτος, οὗ καὶ ὁ Ἀντιοχείας Ἀθανάσιος μνημονεύει ἐν §. ΙΓ΄ τοῦ κατ᾽ αὐτὸν **Ἐγκωμίου**, οὐκ ἀπεσώθη.

τὴν κατὰ σχέσιν προςακτέον προςκύνησιν (1)· οἷον δὲ καὶ τοῦτο, προςτίθησι. Τὸν δι' ἀρετῆς ὑπερβάντα τοὺς ὅρους τῆς φύσεως, καὶ μόνον μόνῳ προσομοιοῦντα Θεῷ, οὔτε φώτων, οὔτε μὴν εἰκόνων χρῄζειν, φησίν, ἀλλὰ βύειν μᾶλλον τοὺς ὀφθαλμοὺς ὅταν αἰσθητὸν θεάσηται φῶς, καὶ χαίρειν ὅτι, κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, τῇ τοῦ νοῦ θεωρίᾳ τὰ οὐράνια κάλλη φαντάζεται καὶ θεωρεῖ τὰ ἐκεῖσε φῶτα ὡς ἐν ἐσόπτρῳ. Τὸν περὶ τῶν δογμάτων ἐξακριβοῖ λόγον τρανότατα, καὶ τὸ μυστήριον τῆς ἐκ Πατρὸς ἀϊδίου τοῦ Θεοῦ Λόγου γεννήσεως καὶ τῆς ἐπ' ἐσχάτων τῶν χρόνων τούτου σαρκώσεως λογογραφεῖ κάλλιστά τε καὶ ὑψηλότατα, παραμιγνὺς καὶ ἱστορίαν τινά. Φρέαρ γὰρ εἶναι, φησί, πρὸς τῇ θύρᾳ τοῦ σπηλαίου ἐν τῷ ναῷ τῆς Βηθλεέμ, οὗ μέσον στῆναι τὸν ἐκ Περσίδος ὁδηγοῦντα τοὺς μάγους ἀστέρα καὶ ὑποδεικνύειν τὸν φεγγώδη Ἰησοῦν τὸ παιδίον· καὶ νῦν δέ, ὅταν ἐπὶ τῇ τοῦ Χριστοῦ γεννήσει ἐπισταίη πανήγυρις, ὁρᾶν τοὺς καθαροὺς τὰς τῆς ψυχῆς κόρας τὸν ἀστέρα μέσον τοῦ φρέατος. Ἀλλ' εἰ πάντα τὰ τοῦ γράμματος διεξιέναι βουλοίμην, φορτικὸς ἴσως ἄν τισι δόξω, καὶ ἡ ἡμέρα *ἐπιλείψει με διηγούμενον* (2). Λοιπὸν ἐπανίωμεν ὅθεν ἐξέβημεν.

ΙΓ΄. Τοῦ θεσπεσίου τούτου ἀνδρὸς δόντος τὸ γράμμα τῷ βασιλεῖ, ὅσοι τῆς συγκλήτου βουλῆς ἐτύγχανον προὔχοντες, ἐνωτισθέντες τὰ γεγραμμένα, θείας φωνὰς εἶναι ταύτας συνέθεντο, καὶ τοῦ παναγίου Πνεύματος ἀπηχήματα· καὶ ὁ αὐτοκράτωρ ἔτι πλέον τὸ σέβας τῷ πατρὶ προσάγων ἠγαλλιᾶτο καὶ ἔχαιρε, τῶν ἐν πελάγει τοῦ βίου νηχομένων ἀποκαλῶν λιμένα σωτήριον. Ἀλλ' οὔτε τοῖς ἰκτεριῶσιν ἡδὺ τὸ μέλι νομίζεται, οὔτε τοῖς ἀμβλυωποῦσι τὰς ὄψεις καθαρῶς τὰ χρώματα διακρίνεται, καὶ ταῖς νυκτερίσι φῶς τὸ σκότος νομίζεται. Πικρία γοῦν καὶ τοῖς Κελλιώταις τὰ τοῦ μάκαρος ἐφάνησαν διατάγματα,

(1) Καὶ μέχρις ἄρα τῶν τοῦ ὁσίου πατρὸς ἡμερῶν ἐπεκράτει ἡ τῶν εἰκονομάχων αἵρεσις, ὥςπερ δὴ καὶ ἡ τοῦ Μάνεντος.

(2) Ἑβρ. ια΄, 32.

καὶ γεγόνασιν *ὡς ἀσπὶς βύουσα τὰ ὦτα πρὸς τὰς τῶν ἐπᾳδόντων φωνάς* (1)· *παλαιὸς γὰρ ἀσκὸς οἶνον νέον οὐ δύναται συντηρεῖν* (2). Διὸ καὶ ὁ θαυμαστὸς οὗτος Χριστόδουλος, τοὺς μὴ θέλοντας πνευματικῶς κατάρχειν αὐτὸν ἀφεὶς ἰδιοῤῥυθμίᾳ πορεύεσθαι, τοῦτον ἐζήτει τὸν τόπον ἰδεῖν (3), ἐν ᾧ τὸ τῆς θεότητος τοῦ μονογενοῦς μυστήριον ἐκ Πνεύματος ἁγίου τῷ τῆς βροντῆς υἱῷ καὶ μαθητῇ ἐπιστηθίῳ ἐγνωρίσθη σαφέστατα, οὐρανόθεν ἀοράτως φωνῆς ἐνεχθείσης : « *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος* » (4). Ἱκετεύει τοίνυν τὸν αὐτοκράτορα δῶρον δοῦναι οἱ ἐράσμιον τὸ νησίδιον· ὁ δέ, καὶ τὴν αἴτησιν ἀσμένως προσίεται, καὶ σιτοδότης ἐτήσιος γίνεται (5), καὶ μυρίαις δεξιοῦται ταῖς χάρισιν.

ΙΔ΄. Λαβὼν τοιγαροῦν τὸ βασίλειον γράμμα καὶ πρὸς τὴν νῆσον ἀπάρας, συντρίβει μὲν πρῶτον τὸ τῆς Ἀρτέμιδος ἄγαλμα, ἀπὸ λίθου λευκοῦ τεχνηέντως ἐξειργασμένον (6). Εὑρὼν δὲ μικρὸν εὐκτήριον οἶκον, ἐπ' ὀνόματι τοῦ ἀποστόλου καὶ Εὐαγ-

(1) Ψαλμ. νζ΄, 5—6.

(2) Ματθ. θ΄, 17.

(3) Τὴν Πάτμον δηλονότι. Ἀλλὰ περὶ τοῦ ποῦ συνέγραψε τὸ Εὐαγγέλιον ὁ Ἰωάννης, ἐν Πάτμῳ δηλαδὴ ἢ ἐν Ἐφέσῳ, ὑπάρχει διάφορος ἡ γνώμη τῶν θείων πατέρων. Οἱ μὲν γὰρ λέγουσιν ἐν Πάτμῳ, ὅπου καὶ τὴν Ἀποκάλυψιν ἑώρακε, ἔπειτα δ' ἐξέδωκεν αὐτὸ ἐν Ἐφέσῳ. Τῶν πρώτων ὅμως τὴν γνώμην φαίνεται ἀποδεχόμενος καὶ ὁ τοῦ ὁσίου βιογράφος οὗτος [Ὅρα Μελετ. **Ἐκκλ. Ἱστορ.** τόμ. Α΄, σελ. 167, καὶ Εὐγεν. **Ἑκατονταετ.** σελ. 214]. Ἀλλὰ καὶ αὐτὸς ὁ ὅσιος Χριστόδουλος τὴν τῶν πρώτων γνώμην ἀσπαζόμενος φαίνεται, ἐν τῇ αὐτοῦ **Ὑποτυπώσει** [Ὅρα ὄπισθεν σελ. 75].

(4) Ἰωάν. α΄, 1.

(5) Ὑπαινίττεται ἐνταῦθα, ὡς νομίζω, τὸ μηκέτι σωζόμενον χρυσόβουλλον τοῦ Ἀλεξίου, ἐν ᾧ τεθέσπιστο δίδοσθαι τῇ μονῇ ἐτησίως παρὰ τῶν τῆς Κρήτης δουκῶν σίτου μὲν μοδίους τριακοσίους, νομίσματα δὲ εἰκοσιτέσσαρα Κομνηνάτα θεοτοκία. Τοῦτο δὲ τὸ φιλοτίμημα ἐπιδεδαψίλευτο τῇ μονῇ καὶ παρὰ τοῦ υἱοῦ καὶ τῆς ἐκείνου βασιλείας διαδόχου Ἰωάννου, οὗ τὸ χρυσόβουλλον σώζεται ἐν τῷ τῆς μονῆς γραμματοφυλακίῳ [ἀριθ. 15 πολιτ. ἐγγράφων]. (Σημ. Ι. Σ.)

(6) Αὐτόθι γὰρ ὑπῆρχε ναὸς τῆς Ταυροπόλου εἴτε Σκυθίας Ἀρτέμιδος, περὶ οὗ ἔπιθι τὰ σημειωθέντα παρὰ τοῦ ἡμετέρου Σακκελίωνος ἐν τῷ **Πρακτικῷ** τοῦ τῶν Κυκλάδων νήσων ἀναγραφέως [Ὅρα τοῦτο ὄπισθεν ἐν τῷ Προλόγῳ μετὰ τὸ χρυσόβουλλον].

γελιστοῦ Ἰωάννου καθιδρυμένον (1), ὡς μὴ τὴν ἀδελφότητα πᾶσαν χωρεῖν ἱκανόν, διασκευάζειν ἠπείγετο. Ἀλλ' ἐπὶ τούτῳ σφόδρα οἱ περὶ αὐτὸν ἐδυςφόρουν, ἠνιῶντο, πολλοῦ πόνου καὶ δυσχεράνσεως (2) οὐ μετρίας τὴν οἰκοδομίαν ὁρῶντες προςδεδεμένην, ἅτε μηδ' ὅποι τὴν κεφαλὴν κλίνουσιν ἔχοντες· ἄλλως τε δὲ τραχὺν καὶ οὐ ῥᾳδίως βάσιμον, ἀλλ' ἀνάντη τε καὶ απότομον τὸν τόπον κατανοοῦντες ὤκλαζον, τὴν ἐγχείρησιν οὐκ ἐπῄνουν, καὶ μεταναστῆναι πάλιν λεληθότως ἐκεῖθεν ἐσκέπτοντο. Ἀλλὰ τῇ τοῦ νοῦ ὀξυδερκείᾳ κατανοεῖ τὰ τούτων βουλεύματα, καὶ προαγορεύει τὰ μέλλοντα, καὶ καταπεπτωκότα διανίστησι τὰ φρονήματα, εἰπὼν ὡς οὐδὲν ἔσται λυποῦν, οὐδέ τις ἀπαντήσει δυςχέρεια, ἀλλ' ἐνταῦθα πολλῶν ψυχῶν ἰατρεῖον γενήσεται, καὶ οἱ πεφορτισμένοι τῷ τῶν ἁμαρτιῶν ἄχθει, ἀπαλλαγὴν κόπου εὑρήσουσιν· *ὡςεὶ κέδρος γὰρ τοῦ Λιβάνου ὑπεραυξηθήσεται* (3), *καὶ ὡςεὶ ἐλαία κατάκαρπος πληθυνθήσεται* (4). Καὶ ταῦτα λέγων χερσὶν οἰκείαις τοὺς λίθους ἐπεφορτίζετο, καὶ γήρᾳ κάμνων, καὶ πονήρως ἔχων τοῦ σώματος ἤδη κατεσκληκότος, τῇ προθυμίᾳ διεθερμαίνετο, καὶ τοὺς λοιποὺς πρὸς τὸν ὅμοιον ζῆλον διήγειρε, καὶ ὁ θεῖος σηκὸς ᾠκοδομεῖτο λαμπρότατα, τῆς ἄνωθεν προνοίας ἐν τοῖς ἀπόροις τεχναζομένης τὸ εὔπορον, καὶ πᾶσαν ἀμηχανίαν διαλυούσης, καὶ μακρὰν ἀπωθούσης τὰ σκάνδαλα.

ΙΕ'. Ἐπεὶ δὲ τὰ τῆς προῤῥήσεως εἰς ἔργον εἶδον ἐκβεβηκότα, καὶ πάντα καλῶς διεσκεύαστο, καὶ τέλος ἀπειλήφασιν αἴσιον, Θεῷ τὸν εὐχαριστήριον ἔθυον. Καὶ ὥςπερ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ (5), ἐκ τῶν ἀλλοφύλων ἀνασωθείσης ὁ Ἰσραὴλ ἐκρότει καὶ ἔχαιρεν, οὕτω καὶ οὗτοι τοῦ πηλοῦ καὶ

(1) Παράβαλε πρὸς ταῦτα καὶ τὰ ὑπὸ τοῦ αὐτοῦ ἀναγραφέως τῶν Κυκλάδων νήσων περὶ τοῦ εὐκτηρίου τούτου ἀναγεγραμμένα ἐν τῷ εἰρημένῳ **Πρακτικῷ**· (Σημ. Ι. Σ.)

(2) Ἐλλείπει ἡ λέξις ἐν τοῖς λεξικοῖς. (Σημ. Ι. Σ.)

(3) Ψαλμ. ϞΑ', 13·

(4) Ψαλμ. ΝΑ', 10.

(5) Α' Βασιλ. Ϛ', 31.

τῆς πλινθείας ἀπαλλαγέντες, τὸ θεῖον εὐφημίαις ἐγέραιρον, καὶ τοῖς ὑπὲρ ἀρετῆς πανημερίοις ἐθεράπευον ἀγωνίσμασι. Καὶ ἡ φήμη πανταχοῦ τὸ γεγονὸς διεπόρθμευε, καὶ πρὸς θέαν τοῦ μάκαρος οἱ καταίροντες ἀριθμὸν ὑπερέβαινον· ἦν γὰρ πρὸς τοῖς ἄλλοις, οἷς ἐλαμπρύνετο προτερήμασι, καὶ τῆς εὐποιίας ἐπιμελόμενος, καὶ τοῖς πιεζομένοις τῇ βαρυτάτῃ τῆς πενίας καμίνῳ δότης ἱλαρός τε καὶ ἄφθονος. Λιμοῦ γοῦν ἰσχυροῦ ποτε γεγονότος καὶ τὰς πέριξ νήσους κακῶς διαφθείροντος, μίαν εὑρεῖν τοῦ δεινοῦ λύσιν οἱ πάντες ἐνόμιζον, τῷ προςελθεῖν τῷ πατρὶ καὶ μετὰ δακρύων ἱκετεῦσαι ὡς ἂν τὴν ἐξ ὕψους ῥοπὴν ἐξαιτήσειε καὶ τὸ θεῖον ἐξευμενίσειε. Καὶ δὴ τῶν καταιρόντων τὸ σεμνεῖον πεπλήρωτο, οἷς τὸ σέβας ἀφοσιωσαμένοις τῷ Ἀποστόλῳ, τράπεζαν προθεῖναι τῷ ταμίᾳ διεκελεύετο. Τῷ δὲ τὴν σπάνιν ὑποδεικνῦντι τῶν ἀναγκαίων, καὶ τὰ καθ' ἑαυτοὺς μᾶλλον ἀποδυρομένῳ, οὗτος ἠπίως ἐπέπληξεν, — « Ἢ ἀγνοεῖς, εἰ» πών, τὴν κραταιὰν τοῦ Θεοῦ χεῖρα, ὡς *πέντε ἄρτοις* (1) *ἐν » ἐρημίᾳ λαὸν ἐξέθρεψε μυριάριθμον*, καὶ διὰ τοῦ προφήτου » Δαβὶδ ἀπεφήνατο : « *Οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, » οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτον* ; » (2) Πῶς οὖν τὰ » σπλάγχνα τοῦ Θεοῦ, ὅσον ἐφ' ἡμῖν, ἀποκλείομεν, εἴγε πρὸς *τὰ » πετεινὰ τοῦ οὐρανοῦ* ἀφορᾶν προστετάγμεθα, *ἃ μὴ σπείροντα » μηδὲ θερίζοντα τρέφει ὁ Πατὴρ ὁ οὐράνιος* ; (3) Τί δὲ οἶδας, » εἰ ὀλίγα διανείμασι προςθήσει πλείονα ; » — Εἶπε, καὶ πλήρης εὐθὺς τῶν ἐδεσμάτων ἡ τράπεζα· καὶ οἱ λιμώττοντες ἐκορέννυντο· καὶ τοῖς λόγοις τὸ ἔργον ἐφείπετο· καὶ ὁ ταμίας ἐσωφρονίζετο, καὶ οὐκέτι δυσπειθὴς ἦν οὐδ' ἀνήκοος, ἐπιτάττοντος τοῦ λαλοῦν ἐν ἑαυτῷ κεκτημένου τὸ Πνεῦμα τὸ ἅγιον.

ΙϚ'. Πέντε οὖν ἐν τῇ Πάτμῳ χρόνους (4) διανύσας ὁ θεσπέ-

(1) Ματθ. ιδ', 17.
(2) Ψαλμ. λϛ', 25.
(3) Ματθ. ϛ', 26.
(4) Ἀναχρονίζει κατὰ τοῦτο ὁ τοῦ ὁσίου βιογράφος, ὡς καὶ ὁ τοῦτον ἀντιγράψας

σιος καὶ πολλῆς ἐνταῦθα τῆς ἡσυχίας καταπολαύων, πρὸς τὸν ἴσον ζῆλον τὸ ὑπ᾽ αὐτὸν διηρέθιζε ποίμνιον, καὶ ἦν ἅμιλλα τοῦ καλοῦ. Ἀλλὰ πάλιν ἠρεμεῖν τὸν γεννάδαν ὁ σατὰν οὐκ ἀφίησιν, ἀλλ᾽ ἀποικίζει τοῦ φιλτάτου καταγωγίου, καὶ μακράν που φεύγειν βιάζεται, Θεοῦ τὸν ἄνδρα πειράζοντος, οὐχ ὅπως αὐτὸς ἐπιγνῷ τὸ τούτου στερέμνιον (πῶς γὰρ ὁ τὰ πάντα εἰδὼς πρὸ γενέσεως;), ἀλλ᾽ ὡς ἂν τοῖς ἁπανταχοῦ τοῦτον γνωρίσῃ, καὶ νῆσοι, καὶ ἕως, καὶ τὰ πρὸς δύνοντα ἥλιον τῆς αὐτοῦ χρηστότητος ἀπολαύσωσιν. Ἐπειδὴ γὰρ ἐκ τῶν δυτικῶν μερῶν θὴρ αἱμοβόρος ἀπαναστὰς ἐκάκου τε τὴν Ἐπίδαμνον (1), καὶ μέχρι τῶν τῆς Θετταλίας ὅρων ἀφικόμενος τὰ ἐν ποσὶν ἐληΐζετο (2), τῷ εὐσεβεῖ βασιλεῖ Ἀλεξίῳ οὐκ ἦν φορητὸν τὸ ἐν βασιλείοις τρυφᾶν· ἀλλ᾽ εὐθὺς κατὰ τοῦ παλαμναίου ἐξοπλίζει τὴν φάλαγγα καὶ γενναίως ἀντιπαρατάττεται τῷ ἀλάστορι. Ἐντεῦθεν οἱ τῆς Ἄγαρ ἀπόγονοι (3) ἀδείας λαβόμενοι κατεξουσιάζουσι μὲν τῶν ἔγγιστά που τῆς θαλάσσης κατὰ τὴν ἕω διακειμένων πολιχνίων, αἴρουσι δὲ τὴν ὀφρύν, καὶ ὡς μηδενὸς ἀντιπάλου τυγχάνοντος, ναῦς πολεμικὰς συσκευάζονται, καὶ κατὰ τῶν τὰς νήσους οἰκούντων ἐκθέουσιν. Οὗτος ὁ φόβος πείθει τουτονὶ τὸν ἀκριβῶς

Ἀθανάσιος [ὅρα ἔμπροσθεν τὸ τούτου **Ἐγκώμιον** §. Η΄.]· ἐν γὰρ τῷ σωζομένῳ ὑπομνήματι τοῦ πατριάρχου Νικολάου Γ΄ τοῦ Γραμματικοῦ, ἐκδεδομένῳ ὄντι τῷ 1087, ῥητῶς ἀναφέρεται ὅτι ὑπὸ Κοσμᾶ τοῦ Α΄ ἐγκεχείριστο ὁ ὅσιος τὴν τοῦ ὄρους Λάτρου προστασίαν [ἴδε καὶ ὄπισθεν σελ. 70, ὑποσημ. 1]. Ἀλλὰ καὶ αὐτὸς δήπου ὁ χρόνος ἀντιμαχόμενός ἐστι τῷ ἱστορουμένῳ. Ὁ μὲν γὰρ Νικόλαος τῷ 1084 ἐπελάβετο τῶν τῆς Ἐκκλησίας οἰάκων, ὁ δ᾽ ὅσιος τὴν δωρεὰν τῆς Πάτμου ἀπέλαβε τῷ 1088. Ἀσυμβίβαστον οὖν ἐν οὕτω βραχεῖ χρονικῷ διαστήματι καὶ ἐν Λάτρῳ διανύσαι αὐτὸν τοὺς ἀσκητικοὺς διαύλους, καὶ ἐν Στροβήλῳ (ἔνθα μάλιστα, ὡς ὁ Ἀθανάσιος διηγεῖται ἐν §. Ι΄, συχνὸν παρέμεινε χρόνον ὁ ὅσιος), καὶ ἐν Κῷ, ἐν ᾗ οὐκ ὀλίγον χρόνον, κατὰ τὸν αὐτὸν Ἀθανάσιον, πονούμενος ἦν περὶ τὴν τῆς μονῆς ἀνέγερσίν τε καὶ ἀπάρτισιν φροντιστηρίου, οἷον αὐτὸς οὗτος περιγράφει ἐν §. Ζ΄ τῆς αὐτοῦ **Ὑποτυπώσεως** [ὅρα ὄπισθεν σελ. 73 κ. ἑφ.]. (Σημ. Ι. Σ.)

(1) Τὸ νῦν Δυῤῥάχιον.

(2) Ὁ θὴρ οὗτος ἦν Ῥοβέρτος ὁ Γουΐσκαρδος δοὺξ Ἀπουλίας καὶ Καλαβρίας, ὁ μετὰ στόλου καὶ μεγίστης στρατιωτικῆς δυνάμεως ἐξορμήσας κατὰ τῆς Ἐπιδάμνου [Ἄνν. Κομν. Βιβλ. Δ΄.].

(3) Ὁ Ἀμὴρ Σολυμᾶς [αὐτόθ.].

εἰδότα τοῦ Εὐαγγελίου τὸ κήρυγμα (1) ἀπαίρειν τῆς νήσου σὺν παντὶ τῷ πληρώματι· καὶ ἀφικνοῦται ἔνθα τῆς ἡμέρας πολλάκις τὸ θαλαττιαῖον ὕδωρ εἰςρέον πρὸς τὸ ἄναντες καὶ πάλιν ὑπονοστοῦν εὔριπον ἀπεργάζεται, ἣν δὴ ἐπωνυμίαν τῷ τόπῳ οἱ παλαιοὶ προςαφώρισαν. Κἀκεῖ τοίνυν διὰ θαύματος τοῖς πᾶσι γενόμενος, καθάπερ τις ἄγγελος ἐν θνητῷ σώματι τιμῆς προςηκούσης ἀξιωθείς, τὸ ὑπ' αὐτὸν ποίμνιον ἐνουθέτει μὴ ταῖς μεταβάσεσι δυςφορεῖν, μηδὲ πρὸς τὸ τῷ Θεῷ δοκοῦν ἀνοήτως ἀνθίστασθαι, οἰκονομοῦντι ἐν κρίσει τὰ πράγματα καὶ λόγοις ἀῤῥήτοις αὐτὰ διεξάγοντι. Ἀλλ' ἦν τις τῶν μοναχῶν, [ὃς] (2) μὴ φέρων συγκακουχεῖσθαι, μηδὲ τὸ τῆς ἐγκρατείας στρυφνὸν καὶ ἐπίπονον, ὡς τῆς δωδεκάδος Ἰούδας αναχωρεῖ τῆς τῶν ἀδελφῶν ὁμηγύρεως, καὶ τῆς πνευματικῆς ξυναυλίας κήπου ἀνταλλάττεται μίσθωσιν. Ἀλλ' ὥσπερ ὁ διάβολος εἰςῆλθεν εἰς ἐκεῖνον καὶ τὴν προδοσίαν ἐσκέπτετο, καθὼς φησὶ τὰ ἱερόγραφα λόγια (3), οὕτω δὴ καὶ τὸν ἀδελφότητος ἀφηνιάσαντα πονηρὸν ἦγχε δαιμόνιον, καὶ τῷ πατρὶ τοῦ μικροψύχου μαθητοῦ τὸ πάθος ἀγγέλλεται· καί, οἷος ἐκεῖνος, πρᾶος, ἀνεξίκακος, *μὴ τῇ ὀργῇ τὸν ἥλιον* εὑρίσκων *ἐπιδυόμενον* (4), λαβὼν τὴν τετρακτὺν τῶν ἱερῶν Εὐαγγελίων πυκτίδα, ἄπεισι νυκτὸς πρὸς τὸν ἐμμανῆ καὶ παράφρονα καὶ ὑπαναγινώσκει τούτῳ τὰ τοῦ Πνεύματος λόγια, καὶ ῥάων εὐθὺς ὁ νοσῶν γίνεται, καὶ οὐκέτι περὶ δένδρων φυτείας καὶ κήπων ἀρδείας ἐθέλει φιλοπονεῖν, ἀλλὰ τὴν τῆς ἀρετῆς ἄρουραν ἐπιγίνεται πάσῃ προθυμίᾳ γεηπονεῖν, ἐπανιὼν πρὸς τὴν ποίμνην, ἧς κακῶς πρώην κεχώριστο.

ΙΖ΄. Οὐ πολλοῦ δὲ χρόνου παρῳχηκότος, τοῖς ἑπομένοις προλέγει τὴν τῶν γηΐνων ἐκδημίαν πρὸς Κύριον, καὶ ὡς οὐκ εἰς τέλος οἱ Ἀγαρηνοὶ τὰς νήσους οἰκήσουσιν, οὐδ' ὁ ἐπιστήθιος

(1) Ματθ. ι΄, 23.
(2) Ἐξέπεσε προδήλως ἡ ἀναφορικὴ αὕτη ἀντωνυμία. (Σημ. Ι. Σ.)
(3) Ἰωάν. ιγ΄, 2.
(4) Ἐφεσ. δ΄, 26.

μαθητὴς αὐτοὺς παρόψεται· ἀλλὰ τοῦ κλύδωνος καταστορεθέντος, πρὸς τὴν πνευματικὴν μάνδραν παλινοστήσουσιν. Ἀντιβολεῖ δὲ τὸν αὐτοῦ νεκρὸν τῆς ὑπερορίας ἐκκομίσαντας, ἐφ᾽ ᾧ πολλὰ ἐμόγησε καταθεῖναι σηκῷ. Ταῦτα τοῖς φοιτηταῖς προειπών, καὶ λόγοις ἐξιτηρίοις τοὺς παρόντας καθαγιάσας, τὸ πνεῦμα τῷ Θεῷ παρατίθησιν, ἕκτην πρὸς τῇ δεκάτῃ τοῦ Μαρτίου μηνὸς ἄγοντος. Ἀλλὰ τῆς προῤῥήσεως πέρας λαβούσης, καὶ τῶν κατὰ θάλατταν πειρατῶν καταποντωθέντων τῇ τοῦ κρατοῦντος ῥωμαλεότητι, οἱ καλοὶ φοιτηταὶ τοῦ καλοῦ ποιμένος τῆς προφητείας ἀνεμιμνήσκοντο καὶ πρὸς τὸν ἀπόπλουν παρεσκευάζοντο. Ἐπεὶ δὲ οἱ τὴν χώραν ἐκείνην οἰκοῦντες, τοῦ τιμίου σώματος ὅσον ἤδη τὴν στέρησιν παθεῖν ἠκηκόεισαν, περιστάντες, οὐδ᾽ ἂν εἴ τι καὶ γένοιτο μεθήσειν ἔφασκον· ἀνόητον γὰρ εἶναι καὶ πάντῃ ἀξύνετον, τὸν σωτῆρα, τὸν ἰατῆρα, τὸν πάσης νόσου θεραπευτήν, ἑτέροις ἄγειν παραχωρῆσαι ὅποι καὶ βούλοιντο· διὸ καὶ ἀπρὶξ τῇ σορῷ παρεκάθηντο. Ἀλλ᾽ οὐκ ἦν εἰκὸς τοῦ μακαρίου διαψευσθῆναι τὸ μάντευμα. Ἀωρὶ γὰρ τῶν νυκτῶν διαλαθόντες τοὺς φύλακας, ἐπ᾽ ὤμων τε τὸν νεκρὸν αἴρουσι καὶ τῷ πλοίῳ παρατιθέασι, καὶ τῇ θαλάσσῃ λειοκύμονι περιτυχόντες πρὸς τὴν νῆσον καταίρουσι, καὶ τοῦ ἱεροῦ σκήνους μεγαλοπρεπῶς προπομπεύουσι, τὸ θεῖον ὑμνολογοῦντες καὶ τὸν ἀέρα τοῖς ἀρώμασι κατευωδιάζοντες· καὶ νῦν ἄρτιόν τε καὶ σῶον πρὸς τῷ τοῦ Ἀποστόλου τεθειμένον νεῷ, θαυμάτων πηγὰς ἀναβλύζει, καὶ ὡς ὀσμῆς μύρου οἱ πιστῶς ἁπτόμενοι ἐπαισθάνονται, καὶ τῇ ἀφῇ μόνῃ καθαγιάζονται, καὶ τῆς τῶν σωμάτων λώβης ἐλευθεροῦνται.

ΙΗ΄. Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου πᾶς ὁ φιλοθεάμων, καὶ ἴδε τὰ πνευματικὰ τέκνα ἅμα σὺν τῷ πατρὶ συνηγμένα κατὰ τὴν πρόῤῥησιν, καὶ ταῖς εὐχαῖς αὐτοῦ πληθυνόμενά τε καὶ ἐπιστηριζόμενα, καὶ τὰς ἄρκυς τῶν ἀοράτων ἐχθρῶν καὶ ὁρατῶν διαφυγγάνοντα. Ποτὲ γάρ τις μεθ᾽ ὁλκάδος μυριάνδρου προσοκείλας τῇ νήσῳ, νυκτεριναῖς ἐδειματοῦτο ταῖς ὄψεσι, καὶ φόβος

οὐ μέτριος αὐτῷ ἐπεσείετο, ἐπειδὴ τὸ ναυτικὸν ἀποβὰν τὰ τῆς μονῆς ἐλυμαίνετο πρόβατα. Ἀλλ' οὗτος εὐθὺς συμβαλὼν τὸ καθ' ὕπνους φανέν, ἱκέτης γίνεται τοῦ ἁγίου καὶ τῆς ζημίας πολλαπλασίους τὰς χάριτας κατατίθησι.

ΙΘ'. Καὶ οἱ κατὰ θάλατταν δὲ πειραταί, γνόντες ἐκ πολλῶν πραγμάτων τοῦ μακαρίου τὸ πρὸς Θεὸν πεπαῤῥησιασμένον, οὐ μικρόν, οὐ μέγα τῇ μονῇ διαφέρον ποιοῦνται διάρπαγμα, ἀλλὰ μᾶλλον καὶ δῶρα προσάγουσι, καὶ τιμῶσι παντοίοις τοῖς ἀναθήμασιν. Οὕτως ἄρα καὶ παρὰ τοῖς βαρβάροις αἰδέσιμος ὁ πάσαις ἀρετῆς ἰδέαις ὡραϊζόμενος.

Κ'. Ἄλλοτε δέ τις τὴν γλῶτταν Λατῖνος, ἀπιὼν εἰς Ἱεροσόλυμα ἐπὶ προσκυνήσει τοῦ ζωηφόρου Τάφου, καὶ προσοκείλας τῇ νήσῳ, ἄνεισιν εἰς τὸν νεὼν προσευξόμενος, καὶ τὸν ἅγιον κατασπαζόμενος ἀποτέμνει μέρος τι τοῦ δακτύλου τῆς χειρὸς τῆς δεξιᾶς, καὶ ὡς ὄλβον τοῦτο περιεῖπε πολύτιμον. Ἀλλ' ἐπὶ μικρὸν χρόνον ἐξ ἀντιπνοίας πνευμάτων τῆς θαλάσσης ἀθρόως οὕτως ἀγριουμένης, ὁ ὑφελόμενος ἤσχαλλε· καὶ ὥσπερ ὁ τῷ κήτει καταποθεὶς Ἰωνᾶς, αὐτὸς ὡμολόγει τῆς ζάλης εἶναι ὁ αἴτιος (1), οὕτω δὴ καὶ ὁ τὴν ὑφαίρεσιν ποιησάμενος, λαβὼν ταῖν χεροῖν τὸ τοῦ δακτύλου τεμάχιον προσετίθει φανερῶς τῷ ἐνδέοντι, καὶ τῷ πράγματι εὐθὺς ἐπηκολούθει ἡ εὔπλοια.

ΚΑ'. Καί ποτε πάλιν ἄγριοί τινες πειραταί, τῆς μονῆς τὰς οἶς κατάβρωμα ποιησάμενοι, καὶ μετάμελον ὥσπερ λαβόντες προσῆλθον ἐξομολογούμενοι τὸ πλημμέλημα, καὶ ἐζήτουν ἐλέους τυχεῖν, καὶ μὴ βαρυθυμήσαντας καταράσασθαι τοῖς δι' ἄγνοιαν ἁμαρτήσασιν. Οἱ γοῦν μοναχοὶ τὸν διδάσκαλον τῇ συμπαθείᾳ μιμούμενοι, οὐ τὴν ζημίαν ὠνείδισαν, ἀλλ' ἵλεων αὐτοῖς τὸ θεῖον γενέσθαι ἐπηύξαντο· οἱ δὲ βραδυπλωΐσαντες ταῦτα πάλιν ἐποίουν. Καί τις παρὼν μοναχός, τοὺς τῶν συνθηκῶν ἀλογήσαντας τιμωρίαν δοῦναι οὐκ εἰς μακρὰν προὐμαντεύετο. Καὶ

(1) Ἰων. α', 12.

ἡ δίκη οὐ βραδεῖ ποδὶ στείχουσα, τῷ ῥωμαϊκῷ ναυτικῷ στόλῳ τούτους προδίδωσι, καὶ λαμβάνουσι τῆς ἀβουλίας ἐπίχειρα.

ΚΒ΄. Ἐθυμοῦτο ποτὲ κατὰ τῆς μονῆς καὶ ὁ τῆς νήσου Σάμου φορολογῶν τοὺς οἰκήτορας, οἷα δῆτα τῶν καλαμωμένων τοὺς πένητας *προφάσεις ἐν ἁμαρτίαις* προβαλλομένων (1). Τῶν γοῦν μοναχῶν προκυλινδουμένων αὐτοῦ τῶν ποδῶν καὶ ἱκετευόντων μὴ οὕτω μάτην κατ᾽ αὐτῶν ἀγριαίνεσθαι, ὅδε τῆς ἱκεσίας ἀνασχόμενος, τῆς νήσου βαρυθυμῶν ἀνεχώρησε· καὶ ἡ θάλασσα εὐθὺς ἠγριοῦτο, καὶ μικροῦ δεῖν καταποντῶσαι ἠπείλει τὸν κατὰ τῶν ἀναιτίων θρασὺν καὶ ὑπέροφρυν, εἰ μὴ γνοὺς οὗτος τὸ τοῦ δράματος αἴτιον, *παλινῳδίαν* τε ᾖσε (2), καὶ *πρύμναν κρούσας* (3) πάλιν κατῄει ὅθεν ἐξῄει θυμομαχῶν, καὶ πρὸς τὸν νεὼν ἀνιὼν συγγνώμην ᾔτει τῆς παροινίας, καὶ ὑποσχέσεσιν ἀναθημάτων ἐτίμα τὸν ἅγιον.

ΚΓ΄. Ἀλλ᾽ ἡμεῖς μέν, ὦ μάκαρ, τὸν κατὰ δύναμιν προσηνέγκαμεν ἔπαινον· σὺ δ᾽ ἐποπτεύοις ἡμᾶς ἄνωθεν καὶ διεξάγοις κατὰ τὸ συμφέρον, τοῖς ἀρρήτῳ παρὰ Θεοῦ δεσμῷ κατὰ μίαν ἑνωθεῖσιν ὑπόστασιν, καὶ μὴ λήγοις ἡμῖν ἐξευμενίζων τὸ θεῖον, καὶ φορολόγων ὕβριν παύων ἀτάσθαλον, καὶ τοῖς λαθραίως ἐπιτιθεμένοις διασκεδάζων τὰ πονηρὰ διαβούλια, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ ἡ δόξα τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Ψαλμ. ρμ΄, 4.

(2) Παροιμία ἐπὶ τῶν ἀναιρούντων δι᾽ ἔργων ἢ λόγων τὰ πρότερον ὑπ᾽ αὐτῶν εἰρημένα.

(3) **Πρύμναν κρούειν κρούεσθαι**· ὀπισθοδρομεῖν·

Γ'.

# ΑΘΑΝΑΣΙΟΥ

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

## ΕΓΚΩΜΙΟΝ

ΕΙΣ ΤΗΝ

## ΑΝΑΚΟΜΙΔΗΝ ΤΟΥ ΛΕΙΨΑΝΟΥ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΧΡΙΣΤΟΔΟΥΛΟΥ.

---

Α'. Οὔτε λειμὼν πολυανθὴς καὶ κατάφυτος πλήθει τε πλείστων ὑψικόμων δενδρέων καλλωπιζόμενος καὶ τοῖς καλλίστοις βρίθων καρποφορήμασιν, ἑνὸς ἀνδρὸς ἐφάπαξ ἐν αὐτῷ εἰςπηδήσαντος καὶ ἀμφοτέραις τῶν καρπῶν ἐπιδραττομένου καὶ τοῖς παροῦσιν ὀρέγοντος, τῶν προςόντων ἂν ἁπάντων στερηθείη, καὶ τοὺς εἰς τὸ μετέπειτα προςιόντας κενοὺς ἀποπέμψειεν, κἂν ὅτι μάλιστα περὶ τὴν τῶν καρπῶν συλλογὴν ὁ πρῶτος εἰςπηδήσας εἴη ταχύς τε καὶ περιδέξιος, ἀλλ' εὔχρουν μὲν τυχὸν θεασάμενος καὶ εὐῶδες μῆλον τρυγήσειεν, εἴτε ῥοιὰν ἀποτέμοι κοκκοβαφεῖ τῷ λεπύρῳ λαμπρὸν ἀποστίλβουσαν, ἑτέραν τε μετὰ ταύτην, καὶ τρίτην ἄλλην, καὶ πλείους τὸν ἀριθμόν, ἄλλης ἀλλαχόθεν ἐφελκομένης αὐτόν, καὶ τῷ μεγέθει καὶ κάλλει τὰς ὄψεις ἐφ' ἑαυτὴν ἐπιστρεφούσης τυραννικώτερον, πολλὰ δὲ ὅμως τῶν καλλίστων ἀπιῶν καταλείψειε, πολλοῖς καὶ ἄλλοις πρὸς συλλογὴν ἐπαρκέσοντα· οὔτ' ἄμπελος εὐκληματοῦσα καὶ βοτρυη-

φόρος καὶ εὔκαρπος, ἣν οὐ *μονιὸς κατενεμήσατο ἄγριος*, οὔτε μὴν *ὗς ἐκ δρυμοῦ ἐλυμήνατο* (1), τοῦτ' ἂν αὐτὸ ῥαδίως ὑποσταίη, μιᾶς χειρὸς ἐπ' ὀλίγον ἀποτρυγᾶν ἐφορμησάσης τοὺς βότρυας, ἀλλὰ πληρώσει μὲν καὶ χεῖρας καὶ κόλπον ὁ προσιών, ἐξιὼν δὲ πλήρη καταλήψει τῶν περιφανῶν σταφυλῶν κεκοσμημένην τῇ εὐκαρπίᾳ τὴν ἄμπελον. Οὔκουν, οὐδ' ἐπειδὴ σοφός τις ἀνὴρ καὶ πάσαις λογικαῖς περικοσμούμενος χάρισιν (Ἰωάννην φημι τὸν τῆς εὐκλεεστάτης νήσου Ῥόδου τοὺς ἐκκλησιαστικοὺς ἰθύνοντα οἴακας) (2), λαμπρὸν τῷ μεγίστῳ ἡμῶν πατρὶ τὸν εὐφημητήριον ἀνεπλέξατο, παρὰ τοῦτο πᾶσι τοῖς ἄλλοις τὴν τῶν ἐγκωμίων θύραν ἀπέκλεισε· καλῶς μὲν γάρ, καὶ ὡς ἐχρῆν τοιοῦτον ἄνδρα, τὸν ὑμνητήριον ἐξυφήνατο, τῷ ἐμβριθεῖ πεπυκνωμένον τῶν νοημάτων, καὶ τῷ λαμπρῷ περιηνθισμένον τῶν λέξεων, καὶ ὡς σοφὸς μορφογράφος, οἷά τισι παντοδαπαῖς ἰδέαις χρωμάτων, τοῖς τούτῳ διαφόρως κατορθωθεῖσι περικαλλὲς καὶ ποικίλον ἀπειργάσατο τὸ μορφούργημα, καὶ φιλοκάλοις ὀφθαλμοῖς τερπνὸν περιέθετο θέαμα· πολλὰ δ' ὅμως τῶν τῷ μεγάλῳ κατορθωθέντων καὶ ἀνυσθέντων ὑπερφυῶς καταλέλοιπε καὶ ἄλλοις πολλοῖς, ἐς ὕστερον θαυμασθησόμενά τε καὶ λεχθησόμενα, καὶ κατὰ δύναμιν ἀνυμνηθησόμενα.

Β'. Φέρε τοιγαροῦν, ἐπεὶ καὶ ἡμεῖς πρὸς τόνδε τὸν ἀγῶνα, τὸν ὑπὲρ τὴν ἡμῶν ἀπεδυσάμεθα δύναμιν, οὐκ ἐπιδραμόντες τῷ πράγματι, ἀλλὰ κελευσθέντες καὶ ὑπακούσαντες (3), ὀλίγα τινὰ ταῖς φιλομαθέσιν ἀκοαῖς τῶν ὑπερφυῶν ἀνδραγαθημάτων τοῦ μάκαρος παραθώμεθα. Καὶ ῥητορικοὺς κανόνας παραδραμούμεθα· ἡ τέχνη γὰρ στωμύλος τις ὑπάρχουσα καὶ ἐπίχαρις,

(1) Ψαλμ. οθ', 14.

(2) Κἀντεῦθεν δῆλον ὅτι συνήκμαζον ὅ τε Ἰωάννης μητροπολίτης Ῥόδου καὶ ὁ Ἀντιοχείας Ἀθανάσιος, ὥςπερ καὶ ὁ φίλος Σακκελίων ἔφθη εἰπὼν ἐν τῷ προλόγῳ τοῦ Β' Παραρτήματος τῆς **Ἀναγραφῆς τῆς Πατμιακῆς βιβλιοθήκης**.

(3) Ἄδηλον ὑπὸ τίνος ἐκελεύσθη καὶ ὑπήκουσεν ὁ Ἀθανάσιος πρὸς τὸ πλέξαι ἐγκώμιον τοῦ ὁσίου. Πιθανὸν ὑπὸ τῶν ἀδελφῶν καὶ συμμοναστῶν αὐτοῦ, τῶν ἐν τῇ μονῇ τῆς Πάτμου λέγω ἀσκουμένων [ὅρα ἔμπροσθεν τὴν προτελευταίαν σημείωσιν].

καὶ πολλῶν προσεπινοοῦσα λόγων εὑρήματα, τὸν χρόνον ἀνάῤῥουν οἷον ἐργάζεται, καὶ γένος ἐγκωμιάζει, καὶ πατρίδα θαυμάζει, καὶ τὴν εἰς τὸ εἶναι πρόοδον ἐπαινεῖ· ἐκπλήττεται τὰ ἐπὶ ταύτῃ θαυμάσια· τὴν ἀναγωγὴν ὑπεραίρει· τοῖς τοῦ κάλλους ἐγκωμίοις ἐγκαλλωπίζεται. Ἐγὼ δέ, κἂν εἰ μὴ τἄλλα, ἀλλὰ τοῦτό γε τεχνικῶς κατὰ δύναμιν ἐκτελέσω, τὸν προσήκοντα χρόνον ἀπονέμων τοῖς ἐγκωμίοις, ἐκ τῶν ὑστάτων πανηγυρίζων, καὶ τοῖς περιλοίποις τῶν χρωμάτων ἐπιχρωννύων τὸ πρόσωπον τῆς ἐζωγραφημένης περικαλλοῦς εἰκόνος καὶ περιῤῥεούσης τοῖς χρώμασι. Καὶ γοῦν ἀρκτέον ἐντεῦθεν, τῷ ζωγράφῳ λόγῳ πρὸς χρωματουργίαν ἐπειγομένῳ καὶ τῶν παραλελειμμένων ἀποπεράτωσιν. Εἰ δ' ἀπὸ τῶν ὑστάτων πανηγυρίζειν ἐπαγγειλάμενοι καὶ τῶν προτέρων παροδικῶς ὑπομνησθησόμεθα, θαυμαζέτω μηδείς, ἐπείπερ οὕτω δρᾶν ἡμᾶς ὁ τῆς εὐταξίας λόγος παραβιάζεται.

Γ΄. Τοῦτον τὸν μέγιστον ἐν πατράσιν ἤνεγκε μέν τι τῆς Βιθυνίας (1) κωμύδριον, ῥίζης ἀγαθῆς καὶ χρηστῆς οἷόν τι ἔρνος ἀναβλαστήσαντα εὐθαλέστατον, καὶ κατὰ καιρὸν περιφανεῖς τοὺς καρποὺς προφέρειν ἐπαγγελλόμενον. Κατεῖδεν Ὄλυμπος ὄρος περιφανές τε καὶ περιβόητον, τὴν καλλίστην μεταμορφούμενον μεταμόρφωσιν. Οὐδ' ἡ πρεσβυτέρα Ῥώμη τῶν τούτου κατορθωμάτων ἀμύητος καταλέλειπτο· κατέλαβε γὰρ καὶ ταύτην οὐ δέσμιος αἰσθηταῖς ἁλύσεσι κατὰ Παῦλον (2), ἀλλὰ τῷ Πέτρου καὶ Παύλου πόθῳ οἷά τισιν ἰσχυροτάταις πέδαις ἐπαγόμενος δέσμιος. Εἶδε τοῦτον καὶ Ἱερουσαλὴμ ἡ θεία, τῷ πανσέπτῳ καὶ σωτηρίῳ Τάφῳ τοῦ Σωτῆρος ἀφοσιούμενον τὴν προσκύνησιν. Ἔρημος Ἰορδάνου αὐτὸν ὑπεδέξατο, κἀκεῖσε παραμεῖναι τὸν ἅπαντα χρόνον τῆς αὐτοῦ βιοτῆς διενοεῖτο κα-

(1) Ἡ Βιθυνία ἐστὶν ἐπαρχία τῆς Μικρᾶς Ἀσίας, ὁριζομένη ἀνατολικῶς μὲν ὑπὸ τῶν Παφλαγόνων, τῶν Μαριανδυνῶν καὶ τῶν Ἐπικτήτων, ἀρκτικῶς δὲ ὑπὸ τῆς Ποντικῆς θαλάττης, δυτικῶς δὲ ὑπὸ τῆς Προποντίδος, καὶ μεσημβρινῶς ὑπὸ τῆς Μυσίας καὶ τῆς Ἑλλησποντιακῆς Φρυγίας [ Στράβ. Γεωγρ. Β΄, σελ. 409. ].

(2) Πράξ. κα΄, 33.

λῶς ὁ φιλέρημος· ἀλλ' ὁ τὸν Κύριον ἐν ἐρήμῳ πειράσας (1), οὐδὲ τὸν ἐκείνου θεραπευτὴν ἀπείραστον εἴασε, τοὺς τῆς Ἄγαρ ἀπογόνους τοῖς ἐκεῖσε πᾶσιν ἐπαφιείς, καὶ πάντας μετανάστας τῶν φίλων οἰκητηρίων ἀπεργασάμενος. Τάχα δὲ καὶ τῆς θείας τοῦτο προνοίας ἔργον, ὡς μὴ ὁ *λύχνος ὑπὸ τὸν μόδιον κρύπτοιτο, ἀλλ' ἐπὶ τὴν λυχνίαν τεθείη καὶ πᾶσιν ἐπιλάμποι τοῖς κατὰ τὴν* κοσμικὴν *οἰκίαν* (2) προςδεομένοις τοῦ φωτίσοντός τε καὶ πρὸς τὸ φῶς τὸ ἀληθινὸν ὁδηγήσοντος.

Δ'. Ἐκεῖθεν τοίνυν τὸν μέγαν ἀπάραντα καὶ τῇ Ἀσίᾳ ἐπιδεδημηκότα, τὸ πλησίον ὄρος καθυποδέχεται· Λάτρος μὲν τῷ ὄρει τὸ ὄνομα· τὸ δὲ ὄρος ὑψηρεφὲς καὶ μετάρσιον, ἱκανῶς μὲν καὶ τοῖς κατὰ τὸν τῇδε βίον μακαριστοῖς σεμνυνόμενον· ὕδασί τε γὰρ ψυχροτάτοις καὶ ἄλλως ἡδέσι περικλύζεται πάντοθεν, καὶ ὀφθαλμοὺς τῷ διαλεύκῳ, καὶ γεῦσιν τῷ ἡδεῖ, καὶ ἀφὴν τῇ θίξει, καὶ ἀκοὴν τοῖς κελαρυσμοῖς καταθέλγουσι, καὶ ὑψικόμοις δένδροις, ὅσα τε τοῖς ὡραίοις ἡμᾶς δεξιοῦται καρποφορήμασι καὶ ὅσα τρυφὴν τοῖς ὀφθαλφοῖς τῷ περικαλλεῖ τῆς θέας παρέχουσιν, ἐφ' ἱκανὸν καλλωπίζεται, οὐχ ἥκιστα δὲ καὶ ταῖς τῶν ὡρῶν εὐκρασίαις ἐπισεμνύνεται· ἔν τε γὰρ ὥρᾳ θέρους, ὁπότε θερμοτέρας τὰς αὐγὰς ἐπαφιεὶς ὁ φωςφόρος καταφλογίζει μικροῦ τὸ περίγειον, ἡδὺ καὶ γαληνὸν προςπνεούσαις ταῖς αὔραις μειλιχίως κατασυρίττεται, οὐ μικρὸν πρὸς σφοδρότητα καύσονος ἔχον καὶ τὴν τῶν ὑδάτων κρυσταλόεσσαν θίξιν ἀλεξιτήριον· ναὶ μήν, καὶ αὐτὸ τὸ τῶν δένδρων δασύσκιον, καὶ ὅτε χειμῶνος ταῖς σφοδροτάταις τῶν πνευμάτων βίαις τὰ πάντα περιηχεῖται καὶ καταψύχεται, τῷ συνηρεφεῖ τῆς ὀρεινῆς πυκνοδενδροφυΐας, τῆς σφοδροτάτης ἀνεμιαίας δριμύτητος ἀπαλλάττεται.

Ε'. Ὃ γοῦν ὁ λόγος φθάσας ἐδήλωσεν, ἐφ' ἱκανὸν μὲν καὶ τοῖς τοιούτοις ἐγκαλλωπίζεται· ὁ δέ γε κυρίως κόσμος αὐτοῦ, Ναζη-

(1) Ματθ. δ', 1.
(2) Ματθ. ε', 15.

ραίων (1) πλῆθος μὴ ῥᾳδίως ἀριθμηθῆναι δυνάμενον· ὧν μὲν ἀφιδιάζειν (2) προελομένων· ὧν δὲ καὶ τὴν μετ' ἀλλήλων ἡρετισμένων συμβίωσιν. Ἴδοι τις ἂν ἐκεῖσε καὶ τὴν φύσιν ἀπηρνημένους εἰςάπαν πολλούς, διὰ τὸν τῶν ὑπὲρ φύσιν δριμύτατον ἔρωτα· ἄνδρας ἐν νάπαις ἐμβιοτεύειν προαιρουμένους καὶ ἄλσεσιν, ὄρη τε περικυκλοῦντας ἠλίβατα, καὶ ἀτριβεῖς καὶ δυσεμβάτους διαπεζεύοντας φάραγγας, συναγελάζοντας ὀρειτρόφοις θηρσί, καὶ ἀνθρωπίνοις ὀφθαλμοῖς ἀθεάτους παντάπασιν. Οὐκ ἔστι παρ' ἐκείνοις *ἄρτος ὁ τὴν καρδίαν στηρίζων τοῦ ἔσθοντος*· οὐκ *οἶνος ὁ εὐφραίνων* (3)· οὐκ ἄλλο τι τῶν ἡδυνόντων τὴν αἴσθησιν· οὐκ ἄμφια τὸ σῶμα περικαλύπτοντα καὶ τὴν ἀναγκαίαν χρείαν ἀποπληροῦντα τῆς φύσεως· σῶμα δὲ μόνον κατεσκληκός, βραχείαις τισὶ βοτάναις ἀναγκαίως τρεφόμενον, ὡς τῆς φυσικῆς συζυγίας διατηρεῖσθαι τὸν σύνδεσμον, καί τινα μετέωρον ἄνδρα τοῖς ἐκεῖθεν ἤδη τερπνοῖς ἐντρυφῶντα καὶ τῆς ἐρασμίας ἀπολαύοντα μακαριότητος. Οὕτως ἐκεῖνοι κούφῳ ποδὶ τὴν πρὸς οὐρανὸν φέρουσαν ὁδοιποροῦσιν ἀνενδότῳ τῷ δρόμῳ, καθάπερ τι ἄχθος ἐξ ὤμων ἐφάπαξ τὴν ἀχθηδόνα τῶν ματαίων ἀποσεισάμενοι καὶ βιοτὴν ἐν γῇ προελόμενοι, ἢ μικροῦ τῆς ῥοώδους καὶ παροδικῆς τοῦ βίου διαγωγῆς ἠλλοτρίωται.

Ϛ'. Ἐν τῷδε τοιγαροῦν τῷ θείῳ ὄρει γενόμενον τὸν μακάριον, καθαρὰν καὶ ἀκίβδηλον τῷ Θεῷ τὴν λατρείαν προσφέροντα, οὐκ ἦν κρυβῆναι τὸν οὕτω λαμπρὸν τῆς ἀρετῆς ἐργάτην, εἰ καὶ ἐκ παντὸς ἐκεῖνος τρόπου τοῦτο διενοεῖτο καὶ διεσκέπτετο.

(1) Κριτ. ιγ', 7, καὶ ιϛ', 18. — Πρβλ. καὶ Ἱερεμ. **Θρήν.** δ', 7.

(2) Γραπτέον: **Ἀπιδιάζειν**, ὡς ἔχει ἡ λέξις καὶ παρὰ τῷ Νύσσης Γρηγορίῳ [τόμ. Β', σελ. 718] κἀν τοῖς Κραμέρου **Ἑλληνικοῖς Ὀξωνιακοῖς Ἀνεκδότοις**: «**Ἀπιδιάσας, ἡσυχάσας**» [τόμ. Β', σελ. 430]. Καὶ εὕρηται μὲν παρὰ Βασιλείῳ τῷ Μεγάλῳ τὸ τούτου παράγωγον, οἷον: «**Ὁ δὲ ἀφιδιαστικὸς βίος ἕνα σκοπὸν ἔχει,** κτλ.» [**Ὅροι κατὰ πλάτος,** τόμ. Β', σελ. 345, Garnier], ἀλλ' ὡς ὁ σοφὸς ἐκδότης σημειοῦται αὐτόθι, ἐν τῷ ἀπταίστως γεγραμμένῳ Κομβεφισείῳ χειρογράφῳ τεύχει πολλαχοῦ ἀπαντᾷ ἡ ὀρθὴ γραφή: **Ἀπιδιαστικός.** (Σημ. Ι. Σ.)

(3) Ψαλμ. ργ', 17 καὶ 16.

Ἔνθεν τοι καὶ τὴν καλὴν ἐκείνην βίαν ὑφίσταται (1), καὶ τῆς αὐτῷ πεποθημένης ἡσύχου διαγωγῆς ἀποτέμνεται. Οἱ γὰρ δὴ τὸ προῤῥηθὲν οἰκεῖν λαχόντες ὄρος μονάζοντες, τὴν τοῦ ἀνδρὸς ὁρῶντες ἄκραν ἀρετήν τε καὶ κοσμιότητα, καὶ ὡς τῆς ἀκριβοῦς καὶ ὑψηλοτάτης ἀσκήσεως ἐναργῆ περίκειται τὰ γνωρίσματα, προσέρχονται, λιπαροῦσιν ὑπ' αὐτῷ καθηγεμόνι καὶ προμάχῳ τὸν τῆς ἀρετῆς ἀγῶνα διαγωνίζεσθαι, εἰδότες ὡς καὶ βάλλειν τὴν ἀντικειμένην φάλαγγα δεξιὸς ὁ ἀνήρ, καὶ τοὺς ὑπ' αὐτὸν καθοπλίζειν ἀῤῥήκτοις ὅπλοις καὶ κραταιοῖς, καὶ ἀριστεῖς ἀποφαίνειν, καὶ τροπαιούχους, καὶ νικητάς· οὐ μόνον δέ, ἀλλ' εἴ που τις καὶ βληθείη τῶν ἐναντίων τοῖς βλήμασιν, ἀκεσωδύνοις φαρμάκοις ἰᾶσθαι τὰς ὠτειλὰς περιδέξιος· εἰ δ' ἴσως καὶ τοῖς πολεμίοις τις ἀπάγοιτο δέσμιος, καταδιώκειν, τροποῦσθαι τὸν ἰσχυρὸν, δεσμεῖν καὶ ἀφαρπάζειν μετ' εὐσθενείας τὸ λάφυρον, ὅπερ ἐκεῖνος ἤδη σκεῦος οἰκεῖον κεκτῆσθαι νηπιοφρόνως ὑπώπτευε.

Ζ΄. Τί οὖν ὁ μέγας τῆς ἀρετῆς ἐραστής, ὁ γνήσιος θεράπων Θεοῦ; Μὴ δύνασθαι συνεῖναι Θεῷ καὶ ἀνθρώποις, φησί, καὶ ὡς οὐ βούλοιτο τὰ σμικρὰ κερδαίνειν, τὰ μέγιστα ζημιούμενος· τέτρωτο γὰρ τὴν καρδίαν ἔρωτι θείῳ διακαῶς· *οὐκ ἐκοπία κατακολουθῶν ὀπίσω τοῦ ποθουμένου διηνεκῶς· καὶ ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμει* (2) θεάσασθαι· ἄχθονται μὲν οὖν πρὸς τὴν ἀνάνευσιν οἱ γεννάδαι, πλὴν οὐ πάντῃ καὶ ἀπελπίζουσιν· οὐ γάρ τις σφόδρα ὀρεγόμενος εἴη, τούτου πάντως καὶ τεύξεσθαι οἴεται.

Η΄. Προσίασι τοιγαροῦν τῷ μεγάλῳ καὶ πρώτῳ ἀρχιερεῖ (Νικόλαος (3) οὗτος ἦν ὁ ἐν ἀρχιερεῦσιν ἀοίδιμος), καὶ τὰ κατὰ τὸν ἄνδρα γνωρίζουσι, συναντιλαμβάνεσθαί τε σφίσιν ἐκ-

(1) Τὴν ἀκούσιον δηλονότι ποιμαντορίαν τοῦ ὄρους, περὶ ἧς ὅρα ὄπισθεν σελ. 69. (Σημ. Ι. Σ.)

(2) Ἱερ. ιζ΄, 16.

(3) Ἴδε ὄπισθεν σελ. 128, ὑποσημ. 4.

λιπαροῦσι τοῦ ἐγχειρήματος. Καὶ ὃς μελλήσας μηδέν, μετακαλεῖται τὸν μάκαρα καὶ *πάντα κάλων καὶ λίθον*, τὸ τῆς παροιμίας, *κινεῖ* (1), τὸν τέως ἀπειθοῦντα πεῖσαι συγκατανεῦσαι πρὸς τὴν τῆς προστασίας ἐγχείρησιν, εἰς ἓν συνάγων ἀγάπην τὴν πρὸς τὸν Θεὸν καὶ τὴν πρὸς τὸν πλησίον ἀριδηλότατα· δευτέραν τε γὰρ ὁμοίαν τῇ πρώτῃ ταύτην ὁ Σωτὴρ ἀπεφήνατο, καὶ ὡς: « *εἰ φιλεῖς με, Πέτρε, ποίμανε τὰ πρόβατά μου* » (2), πρὸς τὸν κορυφαῖον τῶν μαθητῶν ἀπεφθέγξατο. Τοιαῦτα καὶ ἄλλα πλείω φθεγξάμενος, συγκατανεῦσαι παρασκευάζει τὸν ἅγιον· ᾔδει γὰρ ἀρχιερεῦσι καθυπείκειν, καὶ δι᾽ αὐτῶν τῷ Χριστῷ, κἂν φορτικά τινα εἶεν τὸ δοκεῖν τὰ ἐπιταττόμενα, οὐκ ἀγνοῶν ὅσος τῆς ἀπειθείας ἔν γε τοῖς οὐκ ἀπηγορευμένοις ὁ κίνδυνος.

Θ΄. Δέχεται τοίνυν τῶν ἐν τῷ ὄρει τὴν προστασίαν καὶ ἐπιμέλειαν. Τὰ δ᾽ ἐπὶ τούτοις τί χρὴ καὶ λέγειν; Ὁπόσης μὲν τῆς ἐπιμελείας ἠξίου τὸ ποίμνιον, ὅπως δὲ τοὺς ὑπὸ χεῖρα τὴν γῆν εἰςέτι περιπολοῦντας μετεωροπορεῖν παρεσκεύαζε, τὰ λυσιτελῆ καθ᾽ ἑκάστην ὑποτιθέμενος καὶ συνοίσοντα, καὶ τὸ τῶν παρόντων παραγυμνῶν χαμαίζηλόν τε καὶ ἄστατον, τὸ τῶν μελλόντων παραδεικνὺς διηνεκές τε καὶ μόνιμον, καὶ ὡς ἅπας μὲν ὁ τοῦ σώματος μόχθος ταχεῖ πτερῷ παριππεύει καὶ ἀφανίζεται, ἡ δὲ τῶν πόνων ἀντίδοσις εἰς τὸν αἰῶνα τεθησαύρισταί τε καὶ τεταμίευται· ὥςπερ αὖθις κἀπὶ τῶν ἐναντίων, τὰ μὲν χαροπὰ τοῦ τῇδε βίου καὶ ἡδέα πομφόλυγές τινες ἢ καὶ θαλάττια ῥεύματα, αἱ δ᾽ ἐν τῷ μέλλοντι τιμωρίαι τῷ παντὶ αἰῶνι συμπαρεκτείνονται· αἳ δηλαδὴ ταῖς ἐνταῦθα ἡδυπαθείαις ἐφέπονται. Οὕτως ἐκεῖνος, ὡς ἄριστος τῶν λογικῶν προβάτων ποιμήν, ἀνεκάθαιρε τὴν εἰκόνα, τὸ πνεῦμα παρέπεμπε πρὸς Θεόν, τῶν ποιμαινομένων ἕκαστον ἐβελτίου ταῖς ἀρίσταις τῶν παραινέσεων,

(1) **«Πάντα κάλων, ἢ πάντα λίθον κινεῖν»**· παροιμία ἐπὶ τῶν τὰ πάντα ἐνεργούντων πρὸς ἐπιτυχίαν τοῦ σκοποῦ αὐτῶν.

(2) Ἰωάν. κά, 17.

καλὸν ἀρχέτυπον προτιθεὶς ἑαυτὸν τοῖς ὑπηκόοις πρὸς μίμησιν· καί γε πολλοὶ πρὸς τὸ ἀρχέτυπον ἐφιλονείκουν, κἂν τοῦτο τῶν ἀμηχάνων ἦν, εἰςάπαν ἀπεικονίζεσθαι· φιλεῖ γὰρ ὁ μὲν χορὸς πρὸς τὸν κορυφαῖον ὁρᾶν, πρὸς δὲ τὸν κυβερνήτην οἱ ναῦται, καὶ πρὸς τὸν στρατηγὸν ἡ παράταξις.

Ι'. Πλὴν ἀλλ' οὐκ εἶχε ταῦτα στέγειν ὁ κοινὸς ἡμῶν ἐχθρὸς καὶ πολέμιος, ὁ πολύμορφος ὄφις, ἡ πολυκέφαλος ὕδρα, τὸ πλήρωμα τῆς κακίας, ὁ ἐξ ἀρχῆς ἀνθρωποκτόνος, *ὁ ἐμπεριπατῶν τὴν ὑπ' οὐρανὸν* (1), *καὶ τὸ περίγειον αὐχῶν ὡς νοσσιὰν καταλήψεσθαι* (2). Τοίνυν καὶ πάλιν Ἀγαρηνοί· καὶ πάλιν ὁ μέγιστος ἡμῶν πατὴρ οὐκ *ἐπ' ὄρος ὡς στρουθίον μεταναστεύων* (3), ἀλλ' ἐξ ὄρους δραπετεύων τῶν πειρασμῶν τὴν παλλίρροιαν, ἅπαν τε τὸ ποίμνιον ἀθρόον τοῦ καλοῦ ποιμένος τῇ πειραστικῇ πατασσομένου ῥάβδῳ διεσκεδάννυτο. Συναγαγὼν οὖν ὁπόσον περὶ αὐτὸν μᾶλλον των ἄλλων εὐγνωμονικὸν καὶ ὑπήκοον, καὶ πάλιν τῆς ἐπὶ τὰ Ἱεροσόλυμα εἴχετο. Ἐπεὶ δὲ κατά τινα τόπον ἐγένετο, στροβιλοειδοῦς τετυχηκότα τῆς θέσεως καὶ οὑτωσί πως Στρόβιλον κατονομαζόμενον (4), ἀνδρὶ περιτυγχάνει μονάζοντι, πατρίδα μὲν αὐχοῦντι τὴν ἀντικρὺ περιφανεστάτην νῆσον (Κῶς τῇ νήσῳ τὸ ὄνομα), λαμπρᾶς δὲ καὶ μεγίστης μονῆς ἀπὸ προγόνων δεσπόζοντι· ἣ καὶ πολλὰς τὰς κτήσεις κατά τε τὴν Κῶ καὶ Λέρνον τὴν ἐγγυτάτω νῆσον ἐκέκτητο καὶ τῶν προσοικούντων ἐν αὐταῖς οὐκ ὀλίγον ἦν τὸ πλῆθος· ὧν ταῖς ἐτησίοις εἰςφοραῖς τε καὶ λειτουργίαις ἐφ' ἱκανῶς ὑπῆρχε τὰ τῆς μονῆς εὐθηνούμενα. Ξενίζεται οὖν ὁ πάμμεγας παρ' αὐτῷ· ἐπεὶ δὲ καὶ τὰ περὶ τῆς ἀποδημίας ἐποίει δῆλα τῷ θαυμασίῳ ἐκείνῳ (Ἀρσένιος ὄνομα τῷ ἀνδρί), ἀπείργεταί τε τοῦ δρόμου

(1) Ἰὼβ α', 7.

(2) Παρὰ τὸ προφητικόν: «**καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν**» [Ἡσ. ί, 14].

(3) Ψαλμ. ι', 1.

(4) Ὅρα τὰ διὰ μακρῶν περὶ τοῦ τόπου τούτου σημειούμενα παρὰ τοῦ φίλου Σακκελίωνος ἐν τῇ **Ὑποτυπώσει** σελ. 70.

καὶ τῆς προθέσεως παρακλήσεσιν ἱκαναῖς, καὶ τὴν ἀνωτέρω τῷ λόγῳ προδηλωθεῖσαν μονὴν ἐγχειρίζεται. Ὁ μὲν οὖν μακαρίτης Ἀρσένιος, οὕτω παρ' ἐλπίδα πολλῶν φροντίδων καὶ μόχθων ἀπαλλαγείς, εὐθὺς ἀπόδημος ἦν, πάλαι τῶν χρόνων τῆς καλλίστης ὢν ἡσυχίας ἐραστὴς θερμὸς καὶ διάπυρος· ὁ δέ γε μέγιστος πατὴρ ἡμῶν καὶ τοῦ Θεοῦ θεράπων Χριστόδουλος χρόνον τῇ μονῇ παραμείνας συχνόν, ἐπείπερ ἑώρα ταύτην πολλοῖς περιστροβουμένην τῶν κοσμικῶν θορύβων τοῖς κύμασιν, ἐν τῇ νήσῳ Κῷ τὰ τῆς μονῆς μεταθεῖναι καλῶς διεσκέπτετο. Καὶ δὴ θορύβων ἀπηλλαγμένον, ὡς ἐδόκει, καὶ ἡσυχίας εὖ ἔχοντα τόπον ἐφευρηκώς, ἔργου ἐχόμενος ἦν, καὶ κατ' αὐτὴν τὴν νῆσον μονὴ περιφανὴς ἀνηγείρετο (1).

ΙΑ'. Πλὴν ἀλλ' ἐνταῦθα γενόμενος (ὅρα μοι πᾶς τὸ τοῦ μεγάλου κηδεμονικὸν καὶ περὶ τοὺς ὑπηκόους ἐπιμελέστατον), ἐπειδὴ γὰρ καὶ πάλιν οὐκ ἦν αὐτῷ κατὰ σκοπὸν ἐκβεβηκότα τὰ πράγματα, ἀλλὰ τοὺς ὑπ' αὐτὸν οὐ μικρῶς παραβλαπτομένους ἑώρα, καὶ ταῖς κοσμικαῖς ἀχλύσι τῆς ψυχῆς τὰ ὄμματα σκαρδαμύττοντας, διὰ τὸ τῆς νήσου πολύοχλόν τε καὶ πολυάνθρωπον, καταφρονεῖ μὲν καμάτων, καταφρονεῖ δὲ καινοτομίας ἁπάσης καὶ κόπων οὐκ ὀλίγων, ὧν ἀνέτλη περὶ τὴν τῆς μονῆς ἀνέγερσιν ἐν οὐκ ὀλίγῳ χρόνῳ πονούμενος· ἀπαίρει δ' ἐκεῖθεν καὶ πάλιν ἀνερευνῶν, ὅπως *ἐν τόπῳ χλόης* (2) καὶ ὕδατι ἠρέμου διαγωγῆς εἴη ποιμαίνων τὸ ποίμνιον, εἰδὼς ὡς μιᾶς *ψυχῆς οὐδ' ἅπας ὁ κόσμος ἐστὶν ἰσοστάσιος* (3). Ἀπαίρει μὲν οὖν ἐκεῖθεν, οὐ μέντοι καὶ τὰ τῆς μονῆς ἀποβάλλεται. Δέχεται τοίνυν καὶ αὖθις τοῦτον ἡ Βύζαντος· γνωστὸς καθίσταται βασιλεῖ· πρὸς ὁμιλίαν προσκαλεῖται· *ἀνοίγει τὸ στόμα καὶ ἕλκει πνεῦμα*, κατὰ τὴν θείαν φάναι φωνήν (4), καὶ λόγων ἐρεύγεται

(1) Καὶ περὶ ταύτης ὅρα αὐτόθι σελ. 73.
(2) Ψαλμ. κβ', 1.
(3) Ματθ. ις', 26.
(4) Ψαλμ. ριη', 130.

ῥεῖθρα, τὰς τῶν ἀκουόντων ψυχὰς ἐπάρδοντα καὶ πιαίνοντα, καὶ τὴν συρφετώδη τῆς κακίας ὕλην αὐτῶν ἀποσπῶντα καὶ παρασύροντα. Οἶδε τὰ τοιαῦτα ῥεῖθρα καὶ τὸ τῶν τῆς πονηρίας πνευμάτων ἀποπνίγειν στυγητὸν καὶ ἀτάσθαλον σύστημα, καὶ ῥύπον ἀποσμήχειν τῶν καρδιῶν, ὑπὸ τῆς ἐκείνων βδελυρίας καταχεόμενον.

ΙΒ΄. Τοιούτων λόγων νιφάδας ὀμβροβλυτῶν ὁ μέγας ὁσημέραι τοὺς περὶ τὸν βασιλέα κατέθελγε, παραινετικοὺς ἐξυφαίνων λόγους, τῶν ῥευστῶν ἀπάγων, τοῖς ἀϊδίοις προσάγων, ἅπαν παράγων εἰς μέσον γραφικὸν καὶ θεῖον θεώρημα πρὸς τὸ κατὰ σκοπὸν αὐτῷ συμβαλλόμενον. Ἐκτίθενται καὶ πίστεως ὅροι τῷ μακαρίῳ· μοναχικὸς διαγράφεται βίος, οἷά τινι καλῷ κανόνι τῇ πράξει πρὸς τὸ ἀκριβὲς ἰθυνόμενος· καταδρομὴ τῶν τὴν τῶν σεπτῶν καὶ θείων εἰκόνων ἀθετούντων προσκύνησιν τῷ μεγάλῳ μεγαλοφυῶς καὶ εὐσεβάστως πεποίηται· δείκνυται τὸ ἐν πᾶσιν αὐτοῦ ἐπιστημονικόν τε καὶ περιδέξιον, καὶ ὡς καὶ λόγῳ καὶ πράξει ὑπερφυῶς καὶ ἀσυγκρίτως κεκόσμηται. Ὅπως δὲ πρὸς τὰ τοιαῦτα διεξιέναι προήχθη, καιρὸς ἐν ἐπιτομῇ διηγήσασθαι.

ΙΓ΄. Ὄρος ἐστί που τῶν δυτικῶν μερῶν οὐκ ἀφανὲς οὐδὲ ἄγνωστον, ἀλλὰ καὶ τοῖς πᾶσιν ἐπίδηλον. Ζαγορὰ τῷ ὄρει τὸ ὄνομα· τὸ δὲ ὄρος πολλοῖς καὶ καλλίστοις τοῖς σεμνείοις ἐνευθηνούμενον· παρ᾽ ᾧ καὶ μέχρι τοῦ νῦν ὁρᾶν ἐστιν ἀριθμὸν ὑπερβαῖνον μοναζόντων πλῆθος ἐνδιαιτώμενον. Τοῦδε τοιγαροῦν τοῦ ὄρους πολλὴν ὁ τότε κρατῶν τὴν φροντίδα ποιούμενος (Ἀλέξιος οὗτος ἦν ὁ ἐν αὐτοκράτορσι περιβόητος), τῷ μεγάλῳ πατρὶ τῶν ἐν αὐτῷ ἀσκουμένων ἀναθεῖναι τὴν προστασίαν καλῶς διεσκέπτετο. Καὶ ὅς, ἐπειδή περ πολλάκις ἀπαναινόμενος οὐκ εἶχε πείθειν τὸν αὐτοκράτορα, τέλος:— « Ἐμοί, φησίν, ὦ βασιλέων » φιλανθρωπότατε, πάλαι τὸ ἐρημικὸν καὶ φιλήσυχον ἐκθύμως » ἄγαν ἠγάπηται· οὐ προστασίας ἐγὼ ἐραστής· οὐ συνεχέσι » βοαῖς ἐπικτυπεῖσθαι τὰς ἀκοὰς ἐφιέμενος· οὐ *μεριμνᾶν καὶ* » *τυρβάζειν περὶ πολλὰ* (1), τοῦ ὄντος ἀγαθοῦ καὶ μόνου ἑνὸς

(1) Λουκ. ι΄, 41.

» ἀφέμενος προτεθύμημαι. Ἀγαπητὸν μὲν οὖν ἂν ἦν καὶ εὐ-
» κταῖον ἐμοί, καθ᾽ ἑαυτὸν ἡσυχῇ καθῆσθαι καὶ ἐμαυτὸν ἐπισκέ-
» πτεσθαι. Ἐπεὶ δ᾽ οὕτω περὶ ἡμῶν τῷ κράτει σου δέδοκται,
» δεδόσθω μοι καθὼς ἄρα καὶ βουλοίμην διαχαράξαι τοῦ μονή-
» ρους βίου τὴν ἀκριβῆ διαγωγὴν καὶ κατάστασιν· καὶ εἰ οὕτω
» δόξει τοῖς ἐν τῷ ὄρει ἀσκουμένοις βιοῦν, ἕτοιμος ἐγὼ τῆς
» προστασίας ἐφάψασθαι.» — Ἐδόκει ταῦτα τῷ βασιλεῖ· καὶ ὁ μακαρίτης ἐν τῷ γράφειν εὐθύς, καὶ τὰ γραφέντα τῆς τοῦ θείου Πνεύματος πλήρη σοφίας καὶ χάριτος τοῖς πᾶσιν ἀνωμολογεῖτο καὶ ἐθαυμάζετο.

ΙΔʹ. Τί ἔτι; Οἱ ἐν τῷ ὄρει μοναχοὶ μετεστέλλοντο· ὁ μέγας πατὴρ ἑωρᾶτο, καὶ ὁ χάρτης παρεδεικνύετο, τῶν Μωσαϊκῶν ἐκείνων πλακῶν παρὰ πολὺ θειότερα περιέχων νομοθετήματα· εἴ γε σκιώδης μὲν ἐκείναις νόμος, καὶ τῶν ἁμαρτημάτων τὰ τέλη κολάζων διὰ τὸ τοῦ λαοῦ σκληροκάρδιον ἐγκεκόλαπτο· ὧδε δὲ τῆς ἀκροτάτης φιλοσοφίας παρεδίδου τὰ τελειοποιὰ καὶ θεῖα διδάγματα. Τὰ δ᾽ ἐπὶ τούτοις ὁποῖα; Προσίασιν ἰδίᾳ τῷ μάκαρι οἱ μονάζοντες· προσπίπτουσι τοῖς ὡραίοις ἐκείνου ποσίν· ἐκλιπαροῦσι θερμῶς· ἱκετηρίας προσάγουσι μὴ τοῦ κρατοῦντος ὑπακοῦσαι, μὴ καταδέξασθαι τὴν ἀρχήν, τάχα μὲν ὡς μὴ τοσαύτην χωροῦντες φιλοσοφίας ἀκρίβειαν, μάλιστα δὲ ὡς ἂν μὴ τὸ ἀπὸ τοῦδε τὸ ὄρος ὑπὸ τὴν τῶν κρατούντων χεῖρα καὶ ἐπιμέλειαν γίνοιτο, ἐλευθεριάζον μέχρι τῶν τότε, καὶ παντὶ τῷ ἐκ βασιλικῆς ἐξουσίας τυγχάνον παντελῶς ἀνεπίβατον.

ΙΕʹ. Τὰ μὲν οὖν μέχρι τοῦδε τοιαῦτα, καὶ οὕτως ὁ μέγας τῆς τοῦ κρατοῦντος βίας ἀπήλλακτο. Ἐπεὶ δὲ ταῦτα καλῶς εἶχεν αὐτῷ, μικρὸν ὑπενδούς, τοιάνδε τῷ βασιλεῖ προσάγει τὴν δέησιν:—«Νῆσος ἐστί, φησί, τις, ὦ βασιλεῦ· Πάτμος τῇ νήσῳ
» τὸ ὄνομα· ἡ δὲ νῆσος βραχεῖα μὲν καὶ ξηροτάτη καὶ ἄνικμος,
» οὐκ ἀνώνυμος δέ, ἀλλὰ καὶ τοῖς πᾶσιν ἐπίδηλος. Ἐν ταύτῃ
» γὰρ ὁ χαριτώνυμος (1) μύστης Χριστοῦ, ὁ βροντόφωνος, τὸ

(1) Τὸ ἑβραϊκὸν ὄνομα: **Ἰωάννης** μεθηρμήνευται ὑπὸ τῶν Βυζαντινῶν ἑλληνιζούσῃ

» ἱερὸν γεγράφηκεν Εὐαγγέλιον (1). Μέχρι τοῦδε τὰ τῆς εὐδαιμονίας αὐτῇ καὶ τῷδε τῷ προτερήματι κεκαλλώπισται· τὰ δ' ἄλλα τί χρὴ καὶ λέγειν, ὁπόσων τῶν δυσχερῶν ἐμπέπλησται τὸ νησίδιον; Οὐκ ἔστι τι παρ' αὐτῷ τῶν δοκούντων ἡδέων καὶ ἱμερτῶν· ἡ γῆ τε γὰρ αὐτὴ τὴν οἰκείαν φύσιν ἠρνήσατο, πρὸς τὸ ὅλον πετρώδης γεγονυῖα καὶ ἄνικμος, καὶ τῆς τῶν δένδρων φιλοτιμίας, ὧν καὶ μόνη θέα χαρίεσσα καὶ σκιὰ ἐπιθυμητὴ παντελῶς ἀπεστέρηται. Οὐ πηγαὶ παρ' αὐτῷ τὸ ὕδωρ ψυχρὸν καὶ διάγλυκον ἀναβλύζουσαι· οὐ ποταμοὶ καλλιχεύμονες καὶ καλλίῤῥειθροι (2), τοῖς κελαρυσμοῖς, τὰς ἀκοὰς καταθέλγοντες· οὐκ ἔστιν ὄμβρον ἐν ὥραις τρισὶ κατιδεῖν, ὅτι μὴ μόνον τῇ χειμερίῳ καταφερόμενον· οὐ συννεφῆ τὸν ἀέρα κατὰ καιρὸν θερινὸν τὸ πολὺ παραμυθούμενον τῆς φλογώσεως, ἀλλ' ἢ στεγανὸν τὸ πλάτος τοῦ οὐρανοῦ, μὴ *νεφέλαις ἐξ ἐσχάτου τῆς γῆς ἀναγομέναις* (3) συγκαλυπτόμενον. Οὕτω πολλῶν τῶν δυσχερῶν ἐμπέπλησται τὸ νησίδιον· ὧν χάριν καὶ τῶν προσοικούντων ἐστέρηται. Ἀλλὰ τὰ οὕτω δυσχερῆ καὶ δύσοιστα τοῖς πολλοῖς, ῥᾴδια καὶ οἰστὰ τοῖς μονάζουσι διὰ τὸν Κύριον Ἰησοῦν· ὁ γὰρ αὐτοῦ πόθος, ἐφ' αἷς ῥαγείη ψυχαῖς, πάντων τῶν κοσμικῶν ἡδέων ἀφέλκει βιαίως αὐτὰς καὶ καταφέρει πρὸς τὸν ποθούμενον. Ἐπιζητοῦσι πάντῃ τὰ συνεργὰ πρὸς τὴν τοῦ ποθουμένου κατάληψιν· ἀποδιδράσκουσι πόλεις καὶ δήμους, οὐ μίσει τῷ πρὸς αὐτούς, ἀλλ' ὥσπερ πέδας τινὰς ἀπειργούσας τοῦ προκειμένου δρόμου καὶ σκοποῦ δυσχεραίνοντες *ἐν ὄρεσι* κρύπτονται *καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς* (4),

φωνῇ: **Χαριτώνυμος**. Οὕτω π. χ. ἀπαντᾷ ἐν τῷ **Βίῳ Ἰωάννου τοῦ Δαμασκηνοῦ** τῷ ὑπὸ τοῦ ὁμωνύμου αὐτῷ πατριάρχου Ἱεροσολύμων συγγραφέντι [§. Γ'.], καὶ παρ' Ἰωάννῃ δὲ τῷ Τζέτζῃ ἐν τῇ 6' τῶν **Ἐπιστολῶν** αὐτοῦ, ὡς καὶ ἐν τῷ πρώτῳ τροπαρίῳ τῆς **λιτῆς** τῶν Τριῶν Ἱεραρχῶν [**Μην. Ἰανουαρ.** λ'.]. (Σημ. Ι. Σ.)

(1) Ἴδε ὄπισθεν σελ. 126, ὑποσημ. 3. Σημειωτέος δὲ ὁ νεολογικὸς παρακείμενος.

(2) Πρῶτον ἤδη κατεχωρίσθη ἡ λέξις αὕτη ἐν τῇ Στεφ. Α. Κουμανούδη **Συναγωγῇ** ἀπὸ Νικήτα τοῦ Χωνιάτου ληφθεῖσα. (Σημ. Ι. Σ.)

(3) Ψαλμ. ρλδ'. 7.

(4) Ἑβρ. ιά. 38.

» ἤρεμον διαβιώσκειν βίον ἐθέλοντες· ἐπείπερ οἶδεν ἡσυχία καὶ » μόνωσις τὸν νοῦν αἰθεροδρόμον ποιεῖν καὶ μετάρσιον, ὥςπερ » τοὐναντίον ἡ τῶν πολλῶν συνδρομὴ καὶ ὁ θόρυβος κατασπᾶν » αὐτὸν καὶ πεπαχυσμένον τὸν ἄϋλον ἀπεργάζεσθαι. Τοῦτο τῇ » Πάτμῳ πρόςεστιν ἀγαθὸν ἐξ ἐναντίας οἷς εἰρήκαμεν δυςχερέ- » σιν, ἡ ἐρημία καὶ μόνωσις· αὗται τὴν ἀκαλλῆ νυμφοστολοῦ- » σαι καὶ ἀπρεπῆ (1), ἐπέραστον ἡμῖν ποιοῦσι καὶ περιμάχητον. » Ταύτῃ τοι καὶ πάντα τὰ κατὰ τὴν Κῶ καὶ Λέρνον προςόντα » τοῖς ταπεινοῖς ἡμῖν ὡς ἕδνα προςάγοντες, προςαρμοσθῆναι » ταύτην ἡμῖν ἐξαιτούμεθα, ὡς ἂν χαίρειν εἰπόντες τῷ κόσμῳ » καθάπαξ οἱ ὑπ' ἐμὲ μοναχοί, ὡς ἐν εἱρκτῇ τινι ταύτῃ ἐνδια- » τρίβοντες ἔσοιντο ».

ΙϚ΄. Οὕτως ἐχούσης τῆς ἱκετηρίας τοῦ μάκαρος, εὐπειθὴς ὁ κρατῶν εὐθὺς ἑωρᾶτο, καὶ χρυσόβουλλος ἐγράφετο χάρτης, τὴν τῆς νήσου δεσποτείαν ἀναφαίρετον τῷ μακαρίῳ περιποιούμενος· ὃν μετὰ χεῖρας δεδεγμένος ὁ ἅγιος, καὶ τῷ βασιλεῖ συνταξάμενος (2), οὐκ ὀλίγον τε πλῆθος τῶν περὶ τὰς οἰκοδομὰς πονουμένων ἐκ τῆς Βυζαντίδος ἀναλαβόμενος, νηὸς ἐπιβὰς καὶ οὐρίῳ χρησάμενος πνεύματι τῷ νησιδίῳ ἐγκαθορμίζεται. Ὁ μὲν οὖν θεῖος καὶ μέγας Ἀπόστολος, ὁ ἠγαπημένος, ὁ ἐπιστήθιος, Δομετιανοῦ τὰ τῆς βασιλείας σκῆπτρα διέποντος, δεσμώτης καὶ ἄκων ἐνταυθοῖ παρεπέμπετο (3)· ὁ μέγιστος δ' ἐν πατράσι, παρὰ βασιλέως μέν, οὐκ ἄκων δὲ οὐδὲ δέσμιος, ἀλλὰ πολλοῦ τὴν ἐξορίαν τιμώμενος· εἰ μή που καὶ τοῦτον δεδέσθαι φήσειεν ἄν τις δεσμοῖς ἀρρήκτοις τῆς προθυμίας ἑλκόμενον· καί γε οὐκ ἀπεικότως ἀμφότερα, τὸ μέν, ἵνα μὴ τῆς οἰκουμένης ὁ κοινὸς λαμπτήρ, ὁ φαεινότατος ἥλιος, βραχεῖ τινι χώρῳ περιορίζοιτο· τὸ δέ, ἵν' ὁ τοῦ Θεοῦ θεράπων κατὰ μόνας εἴη Θεῷ συγγινόμε-

(1) Γρ. ἴσ. **Ἀτερπῆ** (Σημ. Ι. Σ.)

(2) Συνταξάμενος· ἀποχαιρετίσας, ὡς ἂν εἴποιμεν κοινῶς.

(3) Ἰωάννης ὁ Θεολόγος ἐξωρίσθη εἰς Πάτμον ὑπὸ Δομετιανοῦ κατὰ τὸ ϞϚ΄ σωτήρ. ἔτος [Εὐγεν. **Ἑκατονταετ.** σελ. 209].

νος, ἐπεὶ μὴ τὴν τοῦ κόσμου προστασίαν κατ' ἐκεῖνον ἐγκεχειρισμένος ἐτύγχανε.

ΙΖ΄. Τὰ μὲν οὖν μέχρι τοῦδε κούφως ἡμῖν ὁ λόγος καὶ εὐσταλῶς διήει τὴν εὐθεῖαν τρίβον τῆς διηγήσεως, ὁδεύοντι συνοδεύων τῷ μακαρίῳ, καὶ τὰς συχνὰς μεταβάσεις, ἃς ὁ πειράζων ἐνῆγεν, ἁπλοϊκῶς ἀφηγούμενος· τὸ δ' ἐντεῦθεν, πέλαγος ἀχανὲς διαβαίνειν μέλλων καὶ ἀπειρέσιον, ἰλιγγιᾷ καὶ κατέπτηχεν, ἐν ἀκατίῳ ὑποσάθρῳ τὸν πλοῦν ποιεῖσθαι μέλλων τῶν κατορθωμάτων τοῦ μάκαρος. Πλὴν ἀλλ' οὐκ ὀκνητέον, τῇ δὲ τῶν εὐχῶν ἐκείνου θαῤῥητέον αὔρᾳ, καὶ τὸ ἱστίον τανυστέον καὶ διαπλευστέον εἰς δύναμιν· πλευσεῖται γὰρ οὐχ ἅπαν ὁ κυβερνήτης λόγος τὸ πέλαγος, ἀλλά τι μέρος διαδραμὼν τῷ τῆς σιγῆς λιμένι καθορμισθήσεται. Ἐπειδὴ γὰρ ἐπέστη τῷ τόπῳ, καθὼς ἐν τοῖς ἀνωτέρω προλέλεκται, καὶ ὁ δόξας εὐφυῶς πως ἔχειν πρὸς μοναστῶν κατοικίαν τόπος περιεγράφετο, ἤδη δὲ καὶ ἔργου ἔχεσθαι ἔμελλον, ἐντεῦθεν τίς ἂν ἐξίκοιτο λόγος τοὺς ἱδρῶτας καὶ πόνους τοῦ μεγάλου λεπτομερῶς διηγήσασθαι, ὅπως καὶ γήρᾳ καὶ πόνοις καμπτόμενος ἀχθοφόρος ἦν πανημέριος; ὅπως ἐπ' ὤμων τῶν γηραλέων νῦν μὲν οἱ βαρεῖς τῶν λίθων ἐφέροντο, νῦν δ' ἄγγη τιτάνου πλήρη μετεκομίζοντο; Ὁ μὲν οὖν Ἰσραηλιτικὸς ἐκεῖνος λαός, τῷ πηλῷ καὶ τῇ πλινθείᾳ ταλαιπωρούμενος, τῇ τῶν λεβήτων ἀφθονίᾳ τὸ πολὺ τοῦ μόχθου προϋπετέμνετο (1)· ὁ μέγας δ' ἐν πατράσι, δι' ὅλης ἡμέρας μοχθῶν καὶ κάμνων τῷ σώματι, οὐκ ἔτλη ποτὲ (βαβαὶ τῆς στερεμνίας φρενὸς τοῦ ἀνδρικωτάτου καὶ γενναίου φρονήματος!) βραχεῖ τινι ἄρτου τρύφει καὶ ὕδατος βρόχθῳ τὸ οἰκεῖον σῶμα παραμυθήσασθαι· οὐ γάρ ποτε τοῦτον ἐσθίοντα τὸ παράπαν ὁ ἥλιος ἐθεάσατο, ἀλλὰ τῇ ἐκείνου καταδύσει, οἷά τινι δειπνοκλήτορι συνήθει, μετεκαλεῖτο πρὸς τὴν ἑστίασιν· ἑστίασιν, ἣν ἄρτος καὶ ὕδωρ καί τινα τῶν ἀγρίων λαχάνων ἄτεχνόν τε καὶ ἀκαρύκευτον κατεσκεύαζον.

(1) Ἔξοδ. έ.

ΙΗ′. Τί δέ; τὰ μὲν τῆς ἡμέρας τοιαῦτα καὶ οὕτως ἔχοντα, ἡ νὺξ δ' ἐπιγενομένη, τῷ λυσιπόνῳ ὕπνῳ τὸ πεπονηκὸς παρεμυθεῖτο σωμάτιον; Οὔμενουν· οὐχ οὕτω φύσεως ἥττων ὁ τὸν ὑπὲρ φύσιν ἐν ἑαυτῷ περιφέρων Θεόν, ἀλλ' ἃς ὁ φωσφόρος ἑώρα *χεῖρας ἐν τῷ κοφίνῳ δουλευούσας*, ὡς ὁ προφήτης φησίν (1), ὁ τῶν λοιπῶν ἀστέρων ἐθεᾶτο χορὸς πρὸς οὐρανὸν τεταμένας διὰ πάσης νυκτός· βραχύ δέ τι περὶ τὴν ἕω μεταλαγχάνων ὕπνου, καὶ ὅσον ἐπιμύσαι τὰ ὄμματα, ἅμα πρωῒ τῶν συνήθων εἴχετο πόνων ὁ ἀδαμάντινος. Δείκνυσι τὸ τούτου καρτερικὸν καὶ φερέπονον τὸ ἐκ σιδήρου πτύον, ὃ μετὰ χεῖρας ἐν καιρῷ φέρων ἦν, καὶ ἀμπελῶνες, καὶ κρῆναι, τῶν θείων χειρῶν ἐκείνου πεφυκυῖαι φιλοτεχνήματα. Ταυτὶ μὲν οὖν πᾶσι τοῖς γε οὐκ ἀγνοοῦσι τὸν ἄνδρα καταφανῆ καὶ κατάδηλα· τὰ δ' ἐφεξῆς, τῶν προτέρων ἀνιαρῶν οὐδὲν ἀποδέοντα.

ΙΘ′. Καί μοι μηδεὶς δυσχεραίνοι τῷ λόγῳ διὰ τῶν δυσχερῶν τὴν συνέχειαν εἰς τραγῳδίας τόπον ἀπολισθαίνοντι· οὕτω γὰρ ἔθος ἕκαστον τῶν ἁγίων πειράζειν Θεῷ, ὡς *ἀργύριόν τε πυροῦν* (2), καὶ λαμπρότερον ἀποδεικνύειν τῶν δυσχερῶν τοῖς πυρσεύμασιν, ὡς ἄν, ἅμα μέν, καὶ εἴ τις που τῷ παμφαεῖ ἀνδριάντι προσετρίβη σπῖλος τῆς βιωτικῆς ἰλύος, τῇ τῶν πειρασμῶν φλογὶ κατακαίοιτο· ὁμοῦ δέ, καὶ φαντασίας καὶ ἀπονοίας ἀπαλλάττοιτο πάσης, τῆς φύσεως τὸ ἀσθενὲς διὰ τῶν ἀνιαρῶν λογιζόμενος. Οὕτω γὰρ τῷ μὲν μεγάλῳ Παύλῳ *σκόλοψ σατὰν* ἐδέδοτο *ἄγγελος* (3), Τιμοθέῳ δὲ *πυκνῶν ἀσθενειῶν* φορυτός, καὶ *στόμαχος* διηνεκῶς ὀδυνώμενος (4), καὶ ἄλλοις ἄλλα τῶν μεγάλων πρὸς παιδαγωγίαν καὶ στεφάνων ὑπόθεσιν. Οὔκουν οὐδὲ τῷ μεγάλῳ πατρὶ τούτῳ τῶν πειρασμῶν ἐσπείσατο τὸ

(1) Ψαλμ. π′, 5.
(2) Ψαλμ. ξέ, [illegible]θ.
(3) Β′ Κορινθ. ιϐ′, 7.
(4) Διὰ τοῦτο καὶ ὁ Παῦλος γινώσκων τὰς ἀσθενείας αὐτοῦ καὶ ἐπιστέλλων αὐτῷ λέγει: «**Μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ διά τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας**» [Α′ Τιμόθ. ἑ, 23].

κλυδώνιον, ἀλλὰ πρὸς μικρὸν ἠρεμῆσαν, πάλιν μετὰ σφοδροτέρας τῆς ῥύμης καὶ τραχυτέρων τῶν κυμάτων ἠγείρετο. Ἐν τούτοις γὰρ ὄντος, καὶ περὶ τὴν οἰκοδομὴν πονουμένου, καὶ πτερουμένου τῇ προθυμίᾳ τοῦ γήρως, πέντε που παρεληλυθότων ἤδη ἐνιαυτῶν (1), καὶ πάλιν νέφος Ἀγαρηνῶν ἐπελθόν, τὴν προςοῦσαν αἰθρίαν ταῖς πέριξ νήσοις ἀθρόον κατακαλύψαν ἠμαύρωσε. Τί οὖν ἐχρῆν τὸν πολύτλαν δρᾶσαι καὶ μεγαλόψυχον; οὐκ ἄλλο πάντως ἀλλ' ἢ τῇ τοῦ καιροῦ δυςκολίᾳ καθυπεῖξαι, καὶ τόπον μεταμείβειν ἐκ τόπου, διὰ τὸν οὕτω ποιεῖν ἐντειλάμενον: « *Ὅταν γάρ*, φησίν (2), *ἐκ τῆςδε τῆς πόλεως διώκωσιν ὑμᾶς, εἰς τὴν ἑτέραν πορεύεσθε* ».

Κ΄. Συναγαγὼν οὖν τοὺς ὑπ' αὐτῷ μοναχούς, *ὡς τὰ νοσσία ὄρνις ὑπὸ τὰς πτέρυγας* (3), ἐκλείποντας ἤδη τῷ κρύει τῶν ἀλλεπαλλήλων κακώσεων, τοῖς παραινετικοῖς ὑπέθαλπε λόγοις καὶ ἀνελάμβανεν. — «Οὐκ ἔστιν ἡμῖν ἐνταῦθα, τέκνα, λέγων, ἡ προςδοκωμένη ἀνάπαυσις· οὐκ ἔστιν ἐνταῦθα τὰ ἡμῖν ἀποτεθησαυρισμένα βασίλεια. Ὡς πρόβατα ἐν μέσῳ λύκων παρὰ τοῦ καλοῦ καὶ πρώτου Ποιμένος ἐστάλημεν (4)· καὶ πῶς ἐν εὐθυμίᾳ ζῆν ἐξέσται, κύκλῳ περιειλημμένους τοῖς πολεμίοις, μανικόν τι καὶ ἄγριον πνέουσι; *Γίνεσθε φρόνιμοι ὡςεὶ ὄφεις· περιστερᾶς τὸ ἀκέραιον ἔχετε* (5). Τὴν κεφαλὴν συντηρεῖτε, τὴν τῆς εὐσεβείας ἀκρώρειαν. *Νηπιάζετε τῇ κακίᾳ* (6), καὶ μὴ πτοεῖσθε τῶν πειρασμῶν τὰ κτυπήματα· οἶδε γὰρ ὁ ἀγωνοθέτης οἵῳ κρίματι τοὺς ἀθλητὰς τοῖς ἀντιπάλοις ἐκδίδωσι. Βραχύς ἐστιν ὁ δρόμος, ὃν τρέχομεν, καὶ ἡ σκιὰ παράγει· τὸ φῶς ἐγγίζει· μικρὸν ἔτι καὶ ὁ πειράζων δεσμοῖς ἀῤῥήκτοις παραδο-

(1) Τεσσάρων μόνον τετραμήνου δέοντος. Ὅρα δὲ τὰ περὶ τούτου ἐν τῷ Προλόγῳ σημειωθέντα μοι. (Σημ. Ι. Σ.)

(2) Ματθ. ι', 23.

(3) Αὐτ. κγ', 37.

(4) Αὐτ. 16.

(5) Αὐτ. Καὶ σημείωσαι τὸ διαφέρον τῆς γραφῆς: **Ὡςεί,** ἀντὶ τῆς κοινῇ φερομένης: **Ὡς οἱ.**

(6) Α΄ Κορινθ. ιδ', 20.

θήσεται· *ἡμῶν δὲ χαρήσεται ἡ καρδία* (1), τῶν ἐν ἐλπίσιν ἀγαθῶν ἀπολαύουσα».—Ταῦτα καὶ ἕτερα πλείω διαλεχθείς, καὶ τὸ τῆς λύπης νέφος μακρὰν παρασκευάσας ἀποτινάξασθαι, καὶ πάλιν πρὸς τὸν ἀπόπλουν ἠπείγετο, καὶ τὰ πρὸς ἐκδημίαν μετὰ σπουδῆς ηὐτρεπίζετο. Πλὴν ἀλλ᾽ ὁ μὲν τοῦ πλοὸς ἀναμεινάτω λόγος ἐπὶ μικρόν, βραχὺ [δὲ] (2) προτεθείσθω οἷον παράρτημά τι τῷ λόγῳ διήγημα· ἐξ οὗπερ ἡ πρὸς τὸν Θεὸν τοῦ μεγάλου πίστις τοῖς ἀκριβῶς σκοποῦσιν ἐπιγνωσθήσεται, ὡς *ἐξ ὀνύχων ὁ λέων*, καὶ *ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα* (3).

ΚΑ΄. Προςῆν οὐκ ὀλίγος τότε σῖτος τῷ μακαρίῳ, ἅτε πρὸς τὴν οἰκοδομὴν τῆς μονῆς παρεσκευασμένῳ, καὶ τοσοῦτον ἐπαγομένῳ πλῆθος τῶν ὑπηρετησόντων πρὸς τὴν ταύτης ἀνέγερσιν. Ἐπεὶ δὲ καὶ περὶ τοῦ πλοὸς ἐβουλεύοντο, τὸ μὲν τῶν μοναστῶν ἅπαν πλῆθος μεθ᾽ ἑαυτῶν ἀναλαβέσθαι τὸν σῖτον διϊσχυρίζοντο, ὁ δὲ μακαρίτης ἀτρεμαίᾳ καὶ πραείᾳ φωνῇ,—«Εἴ μοι πείθοισθε, τέκνα, φησί, μὴ οὕτω τὸ πλοῖον ἐπιφορτίσαιμεν, ἀλλὰ τὸν μὲν σῖτον τοῖς παροῦσι διανειμώμεθα, αὐτοὶ δὲ τῷ *ἐμπιπλῶντι πᾶν ζῷον εὐδοκίας* θαῤῥήσαντες (4), τῆς ἐκδημίας ἀψώμεθα, καὶ τραφησόμεθα πάντως, διδόντος τὰ ζωαρκῆ τοῦ *καὶ τοῖς νεοσσοῖς τῶν κοράκων* (5) δαψιλῆ παρατιθέντος τὴν τράπεζαν».—Ὡς δὲ δυςχεραίνοντες ἐδυςχέραινον, οὐκ ἔχοντες οὔπω θαῤῥεῖν τῇ ἀδηλίᾳ τοῦ μέλλοντος, δευτέρας ὁ πατὴρ τῆς συμβουλίας ἀπήρχετο,—« Ἔδει μέν, φήσας, ἐκ πρώτης ὑμᾶς πεισθῆναι τῆς παραινέσεως· ἐπεὶ δ᾽ οὕτως ἀπιστεῖτε καὶ Θεῷ καὶ ἡμῖν, οἱ *πρὸς τὰ πετεινὰ τοῦ οὐρανοῦ* τοῖς δεσποτικοῖς καὶ θείοις λόγοις *ἐμβλέπειν* ἐγκελευόμενοι (6), ὡς ἐν δανείου λόγῳ τὸν σῖτον τῷ

(1) Ἰωάν. ιϛ΄. 22.

(2) Ἐξεῤῥύη προδήλως ὁ ἐν ἀγκύλαις περίκλειστος σύνδεσμος. (Σημ. Ι. Σ.)

(3) Ἀμφότεραι αἱ παροιμίαι λέγονται ἐπὶ τῶν ἀπὸ μικρᾶς πράξεως δεικνυόντων τὸ ἦθος [Διογένειαν. ἑκατ. Ε΄, 15].

(4) Ψαλμ. ρμδ΄, 16.

(5) Ψαλμ. ρμϛ΄, 9.

(6) Ματθ. ϛ΄, 26.

Θεῷ διὰ τῶν παρόντων ἀπόδοσθε, καὶ πάντως τοῦτον κατὰ καιρὸν τῆς χρείας πολλαπλασίονα λήψεσθε, ἐμοῦ τὴν ἐγγύην ἀναδεχομένου τῆς ἀποδόσεως». — Εἶπε ταῦτα, καὶ εὐπειθεῖς εὐθὺς οἱ μονάζοντες· εἰ δέ γε καὶ εἰς ἔργον ἐκβέβηκε τὰ τῆς ἀντιδόσεως, τὰ ἑξῆς τοῦ λόγου δηλώσειεν (1).

ΚΒ΄. Ἐπειδὴ γὰρ τὴν νῆσον καταλιπόντες τοῦ πλοίου ἐπέβησαν, καὶ εὐπλοίας τυχόντες ἐν *οὐκ* (2) ὀλίγαις ἡμέραις τῆς Εὐβοίας ἐπέβαινον, ἔνθα δὴ τὸ τῆς θαλάσσης περὶ τὰς ἐναντίας ὁρμὰς εὐμετάβολον, εὔριπον οὐκ αὐτὸ τὸ ῥεῦμα μόνον, ἀλλὰ καὶ τὴν ἐγγυτάτω πόλιν καλεῖσθαι πεποίηκεν, ἣν μὲν τὴν τῶν δυτικῶν μερῶν ἀρχὴν διέπων Εὐμάθιος ὁ πολὺς ἐκεῖνος καὶ τῇ κατὰ κόσμον περιφανείᾳ περίβλεπτος (3)· ἐπεὶ δὲ τὸν πατέρα σὺν τοῖς ἀδελφοῖς ἐπιδημῆσαι μεμάθηκε, πάλαι συνήθης καὶ παῖς πεφυκὼς κατὰ πνεῦμα τῷ μακαρίῳ, χαρᾶς ὅτι πλείστης ὑποπλησθείς, ἄλλως τε παντοίως ἐδεξιώσατο καὶ ἐκ προοιμίων εὐθὺς ὁλκάδα τῶν μεγίστων πλήρη σίτου τοῖς μοναχοῖς ἐπιδέδωκεν· ὡς ἐκείνους ἑωρακότας τὸ γεγονὸς εὐθύς τε τοῖς τοῦ μεγάλου ποσὶ προσπεσεῖν, καὶ τῆς ἀπιστίας ἑαυτοὺς καταμέμφεσθαι, συγχώρησίν τε τοῦ ἁμαρτήματος ἐξαιτεῖν. Ἐκεῖνοι μὲν οὖν ταχείας ταύτης ἐπιτυχόντες, τοῦ λοιποῦ σωφρονεῖν ἐδιδάσκοντο· ὁ δὲ κλεινὸς ἡμῶν πατήρ, ὅποι τὴν ἀσκητικὴν καλύβην πήξει σὺν τοῖς ἀδελφοῖς διεσκέπτετο.

ΚΓ΄. Ἀλλ᾽ οὐκ ἦν ἄρα τὸν οὕτω λαμπρὸν τῆς ἀρετῆς ἐργάτην οὐδὲ τοῖς ἐκεῖσε διαλαθεῖν· εἶχε γὰρ τὸ οἰκεῖον φέγγος ἔμπροσθεν αὐτῶν διαλάμπον ἡλιακῶν ἀκτίνων λαμπρότερον. Τῶν τις τοιγαροῦν τὰ πρῶτα παρ᾽ αὐτοῖς φερομένων, περιφανοῦς καὶ λαμπρᾶς οἰκίας δεσπότης ὢν ἐγνωρίζετο· ἧς ὑπεξίσταται πάσης τῷ μακαρίῳ, ὡς αἰφνιδίως τὸν πρώην οἶκον μονα-

(1) Γρ. ἴσως: **Δηλώσει.**

(2) Περιαιρετέον μοι δοκεῖ τὸ ἀρνητικὸν μόριον· εἰ γὰρ εὐπλοίᾳ ὄντως ἐχρήσαντο, τριήμερος τὸ πλεῖον ἤρκεσεν ἂν αὐτοῖς πλοῦς εἰς Χαλκίδα διαπεραιωθῆναι, ἐννενήκοντά που ναυτικὰ μίλια πρὸς τοῖς ἑκατὸν διέχουσαν τῆς Πάτμου. (Σημ. Ι. Σ.)

(3) Οὐκ ἄλλος τις ἔοικεν οὗτος εἶναι, ἢ ὁ **Φιλοκάλης** ἐπονομαζόμενος, περὶ οὗ

στήριον ἀναδείκνυσθαι, ἔνθα, τῶν πολλῶν περιόδων καὶ μόχθων ἀπαλλαγεὶς ὁ γενναῖος, μειζόνως ἑαυτὸν πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας καὶ ὑπερφυῶς ἐπιδέδωκεν· ὧν τί μὲν πρῶτον, τί δὲ τελευταῖον ὁ λόγος ἀπαριθμήσαιτο; θᾶττον γὰρ ἄν τις σταγόνας ὄμβρου καὶ ψάμμον παραθαλάσσιον ἀριθμῷ καθυποβαλεῖν ἐξισχύσειεν, ἢ τῶν ἐκείνου κατορθωθέντων τὸ ἀπειροπληθὲς καὶ πέρα μέτρων ἀναπεμπάσαιτο. Ἀτεχνῶς γὰρ ὁρᾶν ἦν παρ᾿ αὐτῷ καταποθὲν τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος, καὶ τὸ φθαρτὸν ἤδη τὴν ἀφθαρσίαν ἐνδεδυμένον πρὸ τῆς κοινῆς ἀναστάσεως, καὶ τὴν δεσποτικὴν καὶ θείαν εἰκόνα τῇ ὥρᾳ τῆς παμφαοῦς αὐτοῦ ψυχῆς λαμπρὸν ἀποστίλβουσαν· οὐδὲ γὰρ ἐγχωροῦν ἀνθρωπίνῃ φύσει χεῖρας αἴρειν ἐφ᾿ ὕψος παννύχιον, καὶ πόδας ἀκινήτους μένειν ἐπὶ μακρόν, μήπω τοῦ νοὸς ἀπαναστάντος τῶν γηΐνων εἰςάπαν, καὶ ταῖς ἐκεῖθεν ἀγλαΐαις ἐντρυφῶντος λαμπρότερόν τε καὶ καθαρώτερον. Εἰ γὰρ καὶ τοῖς κατὰ τὸν παρόντα βίον οὐκ ἔστι τι πλέον τοῦ *ἐν ἐσόπτρῳ βλέπειν, καὶ ἐν αἰνίγματι*, κατὰ τὸν θεῖον Ἀπόστολον (1), ἀλλὰ κἂν τούτῳ βλέπειν ἔξεστι λαμπρότερόν τε καὶ μή, οἷς πάσης κηλῖδος ἀπεσμήχθη τὸ τῶν ἐκεῖθεν ἐμφάσεων ἀντιλαμβανόμενον ἔσοπτρον, καὶ οἷς εἰσέτι παχείᾳ τῇ κυψελίδι περιχρωννύεται. Ταυτὶ μὲν οὖν ἐπὶ τοσοῦτον.

ΚΔ΄. Ἐπεὶ δ᾿ ἀσχάλλειν ἐῴκει πρὸς τὴν οἰκουρίαν ὁ τῶν τῷ μεγάλῳ μεμαθητευμένων χορός, καὶ περὶ τόπων ἐρεύνης

Ἄννα ἡ Κομνηνὴ ὧδέ πως λέγει: « **Ὁ Φιλοκάλης οὖν Εὐμάθιος, ἀνὴρ δὲ οὗτος ἐπιβολώτατος, καὶ τῶν ἐπιφανῶν οὐ γένει μόνον, ἀλλὰ καὶ φρονήσει τῶν πολλῶν διαφέρων, ἐλευθέριος καὶ γνώμην καὶ χεῖρα, πιστὸς μὲν πρὸς Θεὸν καὶ τοὺς φίλους, πρὸς δὲ τοὺς δεσπότας εὔνους εἴπερ τις ἄλλος· τῆς μέν τοι στρατιωτικῆς παιδείας πάνυ ἀμύητος· οὔτε γὰρ τόξον καὶ νευρὰν ἐπὶ μαζὸν ἕλκειν ᾔδει, οὔτε θυρεῷ σκέπεσθαι· τἆλλα δὲ δεινότατος, λόχους τε ἐφιστᾶν καὶ διὰ παντοίων μηχανημάτων τοὺς πολεμίους ἡττᾶν.** κτλ. » [**Ἀλεξιάδ.** ΙΔ΄, σελ. 332. Venet. Ἴδε καὶ σελ. 266]. Τοῦ ἐπισήμου δὲ τούτου ἀνδρὸς ἡ σφραγίς, ἧς ἐκτύπωμα μολύβδινον (μολυβδόβουλλον) διασωθὲν περιγράφεται μεταξὺ καὶ ἄλλων τοιούτων ὑπὸ τοῦ πατρώζοντος υἱοῦ τοῦ σοφοῦ ἀρχαιολόγου Mordtmann, εἰκονίζει ἔνθεν μὲν τοὺς ἁγίους Γεώργιον καὶ Δημήτριον ὀρθίους, ἔνθεν δὲ φέρει τὴν ἐπιγραφὴν ταύτην: ΤΟΥ |ΦΙΛΟΚΑΛ|ΛΟΥΣ ΕΥΜ|ΑΘΙΟΥ ΜΑΓΙ|ΣΤΡΟΥ [Ἴδε **Περιοδ. τοῦ ἐν Κ|πόλει Ἑλλην. Φιλολογ. Συλ.** τόμ. Ζ΄ (1872-73), σελ. 80]. (Σημ. Ι. Σ.)

(1) Α΄ Κορινθ. ιγ΄, 12.

αὐτὸν καὶ μονῆς ἀνεγέρσεως ἤδη παρεβιάζετο, ἐκείνῳ μὲν καὶ πάλιν τῆς ἐπὶ τὴν Πάτμον φερούσης ἐδόκει ἐφάπτεσθαι· ἤδη γὰρ καὶ τὸ κατακαλύψαν ταύτην νέφος τοῦ τῶν Ἀγαρηνῶν ἀθέου πληρώματος ἐκ ποδῶν μετὰ βραχὺ γενέσθαι προήγγελλεν. Ἐπεὶ δ' οὐκ εἶχε πείθειν, *ἀνοίγει* μὲν *ἐν ψαλτηρίῳ τὸ πρόβλημα* (1), οὐκ ἀγνοῶν τὸ ἐσόμενον, ἀλλὰ πρὸς τοὺς ἔτι παχυτέρους διὰ τὸ ἐλλιπὲς τῆς καθάρσεως, παχυτέρας δεόμενος τῆς ἀποκαλύψεως. Ἀνοίγει τοιγαροῦν ἐπὶ τρίς, καὶ ἡ Πάτμος ἀκολούθως εὐθὺς ἐν ταῖς τρισὶν ἀναπτύξεσιν. Ἔνθα πολλοὶ μὲν τῶν μικροψύχων καὶ ἀγενῶν ἀποῤῥαγῆναι τοῦ μακαρίου διενοήθησαν, ὁμόσε τοῖς κινδύνοις χωρεῖν (2) προτεθυμημένου, καὶ τοῖς πειρασμοῖς ἑαυτὸν ἐπιῤῥίπτειν, ὡς ᾤοντο· οἷς δ' ἀκριβὴς ἡ πίστις καὶ τὸ τῆς διανοίας ἀπαρασάλευτον, ἑδραῖοι καὶ ἀμετακίνητοι ἔμενον.

ΚΕ΄. Πλὴν ἀλλ' ἄξιον μηδὲ τὸ μεταξὺ γεγενημένον παραδραμεῖν ἀδιήγητον, τὴν τοῦ μεγάλου πρὸς Θεὸν παῤῥησίαν, καὶ τὸ πρᾶον καὶ ἀνεξίκακον ἐναργῶς χαρακτηρίζειν δυνάμενον. Τῶν γὰρ μοναζόντων τις αὐθαδεστέρας ὢν τῆς γνώμης καὶ ἀγροικικώτερον διακείμενος, οὐ μόνον καταλιπεῖν διενοήθη τὴν ἀδελφότητα, ἀλλὰ καὶ τραχυτέροις τοῖς ῥήμασι πρὸς τὸν μέγαν χρησάμενος ἀπηλλάττετο. Ἐκεῖνος μὲν οὖν πράως τῆς παροινίας ἠνείχετο· ἀλλ' οὐκ ἦν ἄρα τῶν αὐτοῦ θεραπόντων οὐδ' ἐν τούτῳ Θεὸς ἐπιλανθανόμενος, ἀλλὰ ταχεῖ πτερῷ πρὸς τὸν ὑβριστὴν ἡ δίκη καθωρᾶτο βαδίζουσα· δαίμων γὰρ εὐθὺς πονηρὸς τὸν ὑβριστὴν ἐκεῖνον ἀπέπνιγε καὶ ἀτάσθαλον· καὶ καινὸν οὐδέν, εἴ γε καὶ Μαριὰμ τὴν τὸ τύμπανον ἐγκεχειρισμένην (3), καὶ ταῖς ᾀδούσαις τῶν ἐπινικίων ἐξάρχουσαν, λέπρᾳ σώματος σωφρονιζομένην μανθάνομεν, εἰς τὸν προφήτην καὶ ἀδελφὸν ἐξυβρίσασαν, φέροντος μὲν κἀκείνου πράως τὰς ὕβρεις, ἀλλ' οὐχὶ καὶ

(1) Ψαλμ. μή, 5.
(2) Ὁμόσε ἰέναι, χωρεῖν κτλ., τοῖς ἐχθροῖς ὁρμᾶν κατ' αὐτῶν ἢ συνέρχεσθαι εἰς χεῖρας μετ' αὐτῶν.
(3) Ἔξοδ. ιέ, 20.—Ἀριθμ. ΙΒ', 1-11.

τοῦ *Θεοῦ* καὶ Κυρίου *τῶν ἐκδικήσεων* (1). Τί γοῦν ὁ παντὸς φιλοστόργου πατρὸς τῷ φίλτρῳ μᾶλλον τῶν ὑπ᾽ αὐτῶν ἐκκαιόμενος; ἢ τὸν ἔλεον ἀναβλύζουσα κρήνη; τῆς ἀγαθότητος ὁ κρατὴρ ὁ ἀκένωτος; Ἀνίσταται τάχιον· καταλαμβάνει τὸν πεπονθότα· τὸ ἱερὸν ὑπαναγινώσκειν ἀπάρχεται Εὐαγγέλιον, καὶ ὁ δαίμων δραπέτης εὐθύς, καὶ τὸ πεπλανημένον πρόβατον πρὸς τὴν ἰδίαν μάνδραν τῷ καλῷ ποιμένι ἐπαναγόμενον. Τούτου τοῦ θαύματος ὁποῖον ἄν τις μᾶλλον θαυμάσειεν; τὸ ταχὺ τῆς ἰάσεως, ἢ τὸ ταπεινόφρον τοῦ ἰασαμένου καὶ μέτριον; ὅπως οὐκ ἐξελθεῖν εὐθὺς τῷ ἀκαθάρτῳ πνεύματι, καί περ δεδυνημένος προσέταττεν, ἀλλ᾽ οἷον περικαλύμματί τινι τῇ ἀναγνώσει τῶν ἱερῶν Εὐαγγελίων ἐκέχρητο, οὐχ ἑνὸς μόνου κατὰ τὸ πρόχειρον, ἀλλὰ διττῶν ἀκαθάρτων πνευμάτων περιγινόμενος, τοῦ τε τὸν κάμνοντα ἄγχοντος καὶ τοῦ τῆς κενοδοξίας βδελυροῦ καὶ πολυμόρφου βδελύγματος. Ταῦτα μὲν οὖν ἐν τούτοις.

ΚϚʹ. Ἐπεὶ δὲ τὸ τοῦ βίου πέρας πρὸ πολλοῦ τῷ μεγάλῳ δεδήλωτο, προσκαλεσάμενος ἕνα τῶν αὐτῷ μεμαθητευμένων τὸν δοκιμώτατον (Σάββας οὗτος ἦν ὁ ἀοίδιμος (2), ὁ καὶ τῆσδε τῆς καθ᾽ ἡμᾶς μονῆς (3) κατὰ καιρὸν προστατεύσας ἐμπειρικώτατα),—« Βούλομαί σε, φησίν, ὦ τέκνον, τὰς προσούσας ἡμῖν ἁπάσας βίβλους ἀναλαβόμενον (4) ἐπιδημῆσαι τῇ νήσῳ, καὶ προκαταλαβεῖν τὴν ἡμετέραν ἐπάνοδον. Δεῖ δέ σε καὶ ζεύγη βοῶν ἀροτήρων πριάμενον τῆς γεωργίας ἐπιμελήσεσθαι (5), ὡς

(1) Ψαλμ. ϞΓʹ, 1.

(2) Τρίτος οὗτος μετὰ τὸν ὅσιον Χριστόδουλον προέστη τῆς μονῆς.

(3) Ἐκ τούτου βεβαιούμεθα, ὅτι ὁ Ἀθανάσιος ἦν μέλος τῆς ἀδελφότητος καθ᾽ ὃν χρόνον ἔγραφε τὸ εἰς τὸν ὅσιον Ἐγκώμιον.

(4) Ὅρα μοι πᾶς τὴν πρόνοιαν τοῦ ὁσίου πατρὸς περὶ τῆς τῶν βίβλων ἀποκομίσεως εἰς τὴν μονήν. Καὶ σιγάτωσαν οἱ τοὺς μοναχοὺς ἀκρίτως διαβάλλοντες ὡς ἀμούσους καὶ τὸ παράπαν ἀγροίκους. Τίς ὁ ἀμφιβάλλων ὅτι αὐτοὶ διέσωσαν ἡμῖν πλεῖστα τῶν προγονικῶν συγγραμμάτων, ἀντιγράφοντες αὐτὰ καὶ ἐν ταῖς οἰκείαις μοναῖς ἀποθησαυρίζοντες;

(5) Καὶ περὶ τῆς γεωργίας ἦν μέλησις τῷ ὁσίῳ πατρί, ὡς ἂν μὴ ὑφ᾽ ἑτέρων τρέφοιντο αὐτὸς καὶ οἱ περὶ αὐτόν.

ἡμῖν ἐνδημήσασιν, εἴη τὰ πρὸς τροφὴν ἐπιτήδεια». — Εἰς τί δὲ ταῦτα τῷ μακαρίῳ προῳκονόμητο; Ἐπειδὴ γὰρ τὴν οἰκείαν πρὸ πολλοῦ προεγνώκει μετάστασιν, δεδιὼς μὴ τούτου γεγονότος διασκορπισθείη μὲν ἄλλος ἀλλαχόθι τῶν ὑπηκόων, τὴν δὲ προαφορισθεῖσαν αὐτοῖς εἰς κατοικίαν νῆσον κενὴν καταλείψαιεν, ἐπαφεῖναι ταύτῃ τινάς, οἷον σπέρμα, καλῶς διεσκέψατο· προειδὼς ὡς ἐξ ἐκείνου πλατυνθήσεταί τε τὰ τῆς μονῆς καὶ ἐπαυξηθήσεται.

ΚΖ΄. Τῷ μὲν οὖν μακαρίτῃ Σάββᾳ τὸ κελευσθὲν διηνύετο· ὁ δὲ κλεινὸς ἡμῶν πατὴρ καὶ τοῦ Θεοῦ θεράπων Χριστόδουλος, ἐπὶ μησὶν ἔτι δέκα πρὸς τῷ ἑνὶ τὸν ἀσκητικὸν διανύων ἀόκνως δρόμον, καὶ *τῶν μὲν ὄπισθεν ἀεὶ ἐπιλανθανόμενος, ἐπεκτεινόμενος δὲ τοῖς ἔμπροσθεν*, κατὰ τὸν μέγαν Ἀπόστολον (1), *ἀναβάσεις ἦν ἐν τῇ καρδίᾳ τιθέμενος* (2), καὶ ἀκορέστως τῶν ὑπερκόρων ἐλλάμψεων ἐμφορούμενος. Ἐπεὶ δ' αἱ νήστιμοι τῶν ἡμερῶν κατελάμβανον, αὐτὸς δ' ἐγγιζούσης ἤδη τῆς οἰκείας ἀναλύσεως ἐπῃσθάνετο, ἐγκλείει μὲν ἑαυτὸν κατὰ μόνας, μόνῳ τῷ ποθουμένῳ προσλαλεῖν ἱμειρόμενος. Καὶ ἡ μὲν πρώτη τῶν νηστειῶν ἑβδομὰς διηνύετο, αὐτὸς δ' ἀπρόϊτος ἦν καὶ ἀνθρωπίνοις ὀφθαλμοῖς εἰσάπαν ἀθέατος. Ὡς δ' ἡ δευτέρα μὲν ἐνειστήκει, αὐτὸς δ' ἐκαλεῖτο πρὸς τὴν ἀγήρω ζωήν, ὡς τῶν πολλῶν εὑρήσειν καμάτων ἀνάπαυλαν, τὰς θύρας ἀναπετάσας τοῦ δωματίου, καὶ τὰ οἰκεῖα τέκνα προσκαλεσάμενος, ῥημάτων ἤδη πρὸς αὐτοὺς τῶν τελευταίων ἀπήρχετο. — «Ὁ μὲν *καιρὸς τῆς ἐμῆς ἀναλύσεως*, λέγων, ἤδη *ἐφέστηκε* (3), καὶ πρὸς τὸν ἐκεῖθεν λοιπὸν αἰῶνα ἐπείγομαι, ὅπου τῶν καμάτων αἱ ἀμοιβαὶ καὶ τῶν πόνων τὰ ἔπαθλα, ναὶ μὴν καὶ τῶν μὴ καλῶς βεβιωμένων αἱ ποιναὶ τοὺς ἀπιόντας ἐκδέχονται· ὑμᾶς δέ, οὓς ἐγεννησάμην τῷ πνεύματι, καὶ ἐθρεψάμην, καὶ εἰς τόδε τῆς πνευματικῆς

(1) Φιλιπ. γ΄, 14.
(2) Ψαλμ. πγ΄, 6.
(3) Β΄ Τιμόθ. δ΄, 6.

ἡλικίας προήγαγον, Θεῷ τῷ πατρὶ τῶν ὀρφανῶν παρατίθεμαι. Αὐτὸς ἐσεῖται παντὸς πατρὸς φιλοστοργότερος, εἴγε τῶν αὐτοῦ ἐνταλμάτων ἀκριβεῖς τυγχάνοιτε φύλακες. Ἐν τούτῳ τέκνα τούτου πρωτοτύπως ἂν εἴητε, εἰ *τῆς πρὸς ἀλλήλους ἀγάπης* διατηρεῖτε *τὸν σύνδεσμον* (1)· ἐν τούτῳ μιμηταὶ τοῦ Δεσπότου, οἷα δοῦλοι εὐγνώμονες, εἰ τὴν πραότητα καὶ ταπεινοφροσύνην ἀσπάσοισθε (2). Ποθήσατε τῆς στενῆς ὁδοῦ τὸ τραχύ τε καὶ ἄναντες, τῆς εἰς ζωὴν φερούσης αἰώνιον. Μισήσατε τὸ λεῖον τῆς ἡδονῆς, τὸ ἀπάγον εἰς τὴν ἀπώλειαν (3). Ὁρᾶτε τὴν τῶν πραγμάτων φοράν. Ὁρᾶτε τοῦ τῆδε βίου τὸ ἄστατον καὶ ἀβέβαιον. Ἐκεῖσε τοὺς θησαυροὺς ὑμῶν θησαυρίσατε, ὅπου στάσις καὶ μονιμότης, ὅπου τὸ ἀμετακίνητόν τε καὶ βέβαιον, *ὅπου σὴς οὐκ ἀφανίζει*, κατὰ τὴν τοῦ Κυρίου φωνήν (4), *οὐδὲ κλέπται διορύσσουσιν, οὐδὲ κλέπτουσι*. Στέρξατε τὴν μετ' ἀλλήλων διαγωγήν, καὶ σύνοικον ἕξετε πάντως τὸν συνοικεῖν τοῖς δι' αὐτὸν συνηγμένοις ἐπαγγειλάμενον (5). Μὴ καταθέλξωσιν ὑμᾶς πόλεις καλῶς τετειχισμέναι καὶ περιβόητοι· μὴ μοναὶ κατ' αὐτὰς ἀνεγηγερμέναι, τῇ τῶν οἰκοδομημάτων λαμπρότητι τοὺς ἀγενεῖς καταθέλγουσαι· ἀλλὰ τὴν οἰκουμένην καταλιπόντες τῷ νησιδίῳ προσμείνατε, παρ' ᾧ μικρὸν (6) ἐμοχθήσαμεν, Θεῷ τὰ κατορθώματα παραδεικνύειν ποθοῦντες, παρ' οὗ καὶ ἡ τῶν πόνων ἀμοιβὴ τοῖς ἐργαζομένοις ἐλπίζεται· οὕτω γὰρ ἂν καὶ τὰς πρὸς αὐτὸν ὁμιλίας ἀπερισπάστως ἐπιτελοίητε, ὅπερ ἐν ὄχλῳ καὶ συγχύσει κατορθωθῆναι δυσχερὲς καὶ ἀμήχανον. Ἀπερχόμενοι δέ, καὶ τὸ ἐμὸν οἰκτρὸν τόδε σκῆνος μεθ' ἑαυτῶν ἀπαγάγετε, εὖ εἰδότες ὡς εἰ παῤῥησίας τινὸς παρὰ Θεῷ ἐπιτύχοιμι, αὐξηθήσεταί τε τὰ τῆς μονῆς καὶ ὑπερφυῶς πλατυνθήσεται, καὶ

(1) Ἰωάν. ιγ', 35.—Πρβλ. καὶ Πρὸς Κολοσ. γ', 14.
(2) Ματθ. ιά, 29.
(3) Αὐτ. ζ', 13-14.
(4) Αὐτ. ς', 20.
(5) Αὐτ. ιή, 20.
(6) Ἴσως ἐγέγραπτο ἐν τῷ ἀρχετύπῳ: **Οὐ** μικρόν. (Σημ. Ι. Σ.)

κατὰ πᾶσαν τὴν οἰκουμένην ἐσεῖται τὸ ταύτης περιᾳδόμενον ὄνομα».

ΚΗ΄. Ὁ μὲν οὖν τοσαῦτα εἰπὼν εἰς χεῖρας ζῶντος Θεοῦ τὸ πνεῦμα παρέθετο· οἱ δέ, τὰ νενομισμένα τελέσαντες, καὶ τὸ τῆς πρὸς τὸν ἀποιχόμενον διαπύρου σχέσεως σύμβολον κατασπείσαντες δάκρυον, τέως μὲν ἐν λάρνακι τὸ τίμιον σκῆνος κατατιθέασιν· ὁ δέ γε κάλλιστος ἐκεῖνος ἀνήρ, ὃν τῷ μεγάλῳ τῆς οἰκίας ὑπεκστῆναι φθάσας ὁ λόγος ἐδήλωσεν, ἄγγος τι τῶν καθαρῶν ὑφελόμενος καὶ τῇ λάρνακι ὑποθείς, εἴ τι που κατέῤῥει τοῦ μακαρίου λειψάνου θησαυρίζων ἦν ἑαυτῷ, πάσης ἀρωματικῆς εὐωδίας μᾶλλον ἀσυγκρίτως κατευωδιάζον τὸν περιέχοντα. Ναὶ μὴν ἀλλὰ καὶ τὴν λάρνακα τῷ οἰκείῳ ναῷ κατατίθεται, καὶ τοῦτον εὐωδίας ἀφάτου πληροῖ. Ὀλίγων δὲ παρελθουσῶν ἡμερῶν, ἐπεὶ προσιόντες οἱ μοναχοὶ τὸ τοῦ μεγάλου τῷ ἀνδρὶ ἀπήγγειλον κέλευσμα, καὶ δοθῆναι σφίσι τὸ θεῖον σκῆνος παρεβιάζοντο, — « Οὔ, φησιν ὁ γεννάδας, οὐκ ἂν ἑκὼν τοιοῦδε θησαυροῦ ὑπεκσταίην ὑμῖν, ὅν μοι Θεὸς αὐτὸς παρ᾽ ἐλπίδα πᾶσαν δι᾽ εὐσπλαγχνίαν ἄμετρον ἐδωρήσατο.»—Οἱ μὲν οὖν οὕτως, ὅ φασι, *κεναῖς χερσὶν* (1) ἀπεπέμποντο· καὶ ἀναχθέντες ἐκεῖθεν τὴν νῆσον ἀθυμοῦντες καταλαμβάνουσιν.

ΚΘ΄. Ἐνιαύσιον τοιγαροῦν περιοδεῦον διῄει διάστημα, καὶ οἵδε τῆς ὑποθήκης τοῦ μακαρίου πατρὸς οὐκ ἐπελανθάνοντο. Τοίνυν καὶ πάλιν ἀπόπλευσις· καὶ πάλιν ἐν ὀφθαλμοῖς εὐρίπεια ῥεύματα. Ἑορτῆς μὲν οὖν ἡμέρα παρῆν, καὶ ὕμνος παρὰ τῷ ναῷ παννύχιος ἦν ἐκτελούμενος, οὗ τῷ προνάῳ ἡ λειψανοφόρος θεία λάρναξ κατέκειτο. Προσίασιν οὖν οἱ μονάζοντες συνάρασθαι σφίσι τὸν μέγαν ἐκλιπαροῦντες τοῦ ἐγχειρήματος· παρ᾽ οὗ καὶ θάρσους ὑποπλησθέντες, τὴν λάρνακα ὑφαιροῦνται καὶ τὸν ναὸν ὑπεξίασι, νυκτὸς μὲν οὖν ἐπικομιζόμενοι ἔργον, ἀλλὰ φαεινὸν

(1) Οὐχ εὕρηται τὸ παροιμιῶδες τοῦτο ἐν τῇ Συναγωγῇ τῶν ἀρχαίων παροιμιῶν· περιεσώθη μέν τοι ἐν τῇ κοινῇ συνηθείᾳ, ἐπὶ τῶν μάτην πονούντων λεγομένη: **Μ' ἄδεια χέρια ἦλθεν.**

καὶ ὑπέρσεμνον. Εὐθὺς οὖν τῷ πλοιαρίῳ ἐμβαίνουσιν· ἀνείλκοντο κάλοι· περιῆγεν ἡ κεραία· τὸ ἱστίον ἐτείνετο· καὶ ἡ ναῦς ἠρέμα τοῖς κύμασιν ἐποχουμένη, παρ' οὐδὲν ἔλαττον ἱπταμένων πτηνῶν ἐπεφέρετο, τῇ βοηθείᾳ πτερουμένη τοῦ μάκαρος. Τί ἔτι; Αἰσθάνονται τῆς κλοπῆς οἱ ἐν τῇ χέρσῳ· θρῆνον συνείρουσιν οἱ τέως ἐν ᾄσμασι διανυκτερεύοντες λιγυροῖς, τὴν ἀφόρητον ζημίαν οὐ φέροντες. Καὶ τοίνυν εὐτρεπῆ τὰ πλοιάρια, καὶ πλῆθος ἐρετῶν ἐν αὐτοῖς, τὸ ἀλκιμώτατόν τε καὶ δοκιμώτατον, καὶ ἡ ἐπιδίωξις σφοδροτάτη τε καὶ ὑπερφυής. Ἀλλ' οὕτω δρῶντες, *πεζῇ παρὰ Λύδιον ἅρμα θέειν* (1) ἐδόκουν, ἢ ἀετὸν ὑψιπέτην χερσοβατοῦσι ποσὶ κατέχειν ἐπιχειρεῖν· καὶ τέλος, οἱ μέν, τὴν κατάληψιν ἀπογνόντες παλινοστοῦσι κατηφεῖς τε καὶ ἄπρακτοι, ἡ δὲ τῶν μοναζόντων πληθὺς ἐν ὀλίγαις ἡμέραις τὴν νῆσον καταλαμβάνουσι, τὸ πολύολβον ἐπαγόμενοι λάφυρον.

Λ΄. Τὰ μὲν οὖν μέχρι τοῦδε πάσης τέχνης γραφικῆς τε καὶ γλυφικῆς ἐναργέστερον τῷ λόγῳ ἀτεχνῶς ἐζωγράφηται, εἴ γε στῆλαι μέν, καὶ εἰκόνες, καὶ ἀνδριάντες, καὶ τῶν ἀγαλμάτων τὰ κάλλιστα ἢ συνετρίβη τῷ χρόνῳ καταπεσόντα τῆς βάσεως, ἢ καὶ μένοντα κατὰ χώραν, πολλὴν τὴν ἄγνοιαν τοῖς μεταγενεστέροις ἐνίησιν, αὐτά τε μὴ φθεγγόμενα τίνων εἰκόνες, καὶ τίνων εἶεν φιλοτεχνήματα, καὶ τῶν εἴτε τὴν ὄψιν, εἴτε μὴν τὴν ἀκοὴν σχόντων τῆς περὶ τούτων ἀκριβεστάτης γνώσεως μάρτυρα ἀπολιπόντων τῷ χρόνῳ, καὶ τῇ ἀναγκαίᾳ λειτουργησάντων ὑπηρεσίᾳ τῆς φύσεως· ὅδε δέ, Στέντορος (2) παντὸς ἀνακηρύττει τὰ

(1) Ἡ παροιμία ἐστὶν ἀπὸ τῶν Πινδάρου ἐπῶν, ὅθεν μετελήφθη καὶ παρὰ Πλουτάρχῳ: «**Παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνεύων**» [**Βίῳ Νικίου** Α΄, ἔκδ. Κορ.]. Εἴρηται δέ, κατὰ Μιχαὴλ Ἀποστόλιον: «ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι καὶ πολὺ ἀπολιμπανομένων· ὁ γὰρ Πέλοψ Λύδιος ὢν ἐνίκησε τὸν Οἰνόμαον τῷ ἰδίῳ ἅρματι, καὶ ἔκτοτε ἡ παροιμία: **Παρὰ Λύδιον ἅρμα θέειν**» [**Παροιμ.** ἑκατοντ. ΙΑ΄,1.—Πρβλ. καὶ Βοίκχιον **Εἰς Πινδ.** τόμ. Β΄, σελ. 667]. (Σημ. Ι. Σ.)

(2) Ὁ Στέντωρ ἦν, κατά τινας μέν, Ἀρκάς, κατ' ἄλλους δέ, Θρᾷξ, καὶ ἦλθε κήρυξ τῶν Ἑλλήνων ἐν Τροίᾳ, καθ' Ὅμηρον:

. . . . **Τόσον αὐδήσασχ', ὅσον ἄλλοι πεντήκοντα** [Ἰλ. Ε, 786.].

πάλαι τῶν χρόνων γεγενημένα τρανότερον, καὶ τοῖς φιλομαθέσι τε καὶ φιλίστορσιν οἷον παρίστησι προσενώπια.

ΛΑ΄. Τὰ δ' ἐφεξῆς γεγενημένα δεῦρό μοι πᾶς φιλοθεάμων τε καὶ φιλόκαλος ὀφθαλμοῖς οἰκείοις ὅρα, καὶ τὴν τοῦ Θεοῦ ἀνύμνει μεγαλειότητα, ἐπείπερ: *ὀφθαλμοὶ ὠτίων πιστότεροι* (1)· ὅρα μονὴν κύκλωθι μὲν εὖ περιειλημμένην τοῖς τείχεσιν, ἔνδοθι δὲ πολλοῖς σεμνυνομένην τοῖς καλλωπίσμασι· ναοῦ τε κάλλος ἀμήχανον, ἔνθεν τῇ τῶν μαρμάρων στιλπνότητι περιαυγαζόμενον, ἐκεῖθεν τοῖς ἐκ τῶν θείων εἰκόνων χρυσοφαέσιν ἀμαρύγμασι πυρσευόμενον· σεμνῶν πατέρων χορόν, λιγυρὸν τὸν ὕμνον ἐπᾴδοντα, καὶ τῷ ἐμμελεῖ τῆς ἠχῆς τὰς τῶν πατέρων (2) ἀκοὰς καταθέλγοντα· τὴν θείαν λάρνακα πηγὴν οἷά τινα πολυχεύμονα, τὰ τῶν θαυμάτων ῥεῖθρα καθ' ἑκάστην ἀφθόνως τοῖς προσιοῦσι προχέουσαν. Τάχα τοῖς παροῦσιν ἑάλως καὶ δυσαποσπάστως ἔχεις τοῖς καλλίστοις προσηλωμένος θεάμασιν; Ἀλλ' ἔξιθι πρὸς μικρόν· ἐπίστησον τοῖς ἔξω τὰ ὄμματα· ὅρα λειμώνων κάλλος ἀμφιλαφὲς καὶ κατάσκιον, καὶ πᾶσι τοῖς ὡραίοις βρῖθον καρποφορήμασιν, οὐ ποταμοῖς ἀεννάοις, οὐ πηγαῖς καλλιῤῥόοις, ἀλλὰ ταῖς τοῦ μεγάλου εὐχαῖς ἐπαρδόμενα· ὅρα δενδρέων εὐερνῆ φυτὰ καὶ τεθηλότα τοῖς ἄνθεσιν, ἀγλαόκαρπά τε καὶ τηλεθόωντα (3), οὐκ ἐν λιπαρογαίῳ χώρῳ τὰς ῥίζας ἐπὶ μήκιστον ἐπεκτείνοντα, ἀλλ' ἐπ' ἀνίκμου πέτρας ἐπιπολαίως ἐῤῥιζωμένα, καὶ καταπλάγηθι· ἰκμὰς γὰρ αὐτοῖς καὶ καρποτρόφος ὑγρότης ὁ *τοὺς πόδας ἐπὶ πέτραν* πάλαι *στησάμενος* (4), καὶ πάσαις ταῖς προσβολαῖς τῶν ἀκαθάρτων πνευμάτων ἀκράδαντος μεμενηκὼς καὶ ἀπαρασάλευτος· ὅρα κατὰ καιρόν, γλα-

(1) Ὅρα ὄπισθεν σελ. 110 ὑποσημ. 6.

(2) Ἴσως ἐγέγραπτο: Τῶν **πάντων**. (Σημ. Ι. Σ.)

(3) Ὁμηρίζει ἐνταῦθα ὁ λόγος, παρὰ τό:

> **Ἔνθα δὲ δένδρεα μακρὰ πεφύκει τηλεθόωντα,**
> **Ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι.**

κτλ. [Ὀδυσ. Η, 114]. (Σημ. Ι. Σ.)

(4) Ψαλμ. λθ΄, 3.

φυρὸν ταῖς μειλιχίοις αὔραις προςμειδιῶντα τὰ λήϊα, καὶ δίκην γαληνιώσης θαλάσσης ἠρέμα ταῖς ἀνεμιαίαις πνοαῖς κυμαινόμενα, καὶ τέλος πρὸς γῆν νενευκότα καταβριθῆ τοῖς κυοφορήμασι, καὶ τὴν δρεπανηφόρον χεῖρα πρὸς ἐκτομὴν προςκαλούμενα· ἀμπέλους ὡς ἄχθει τινὶ βεβαρημένας τοῖς βότρυσι καὶ κατακεκλιμένας πρὸς γῆν, τῷ μεγέθει καὶ πλήθει καθελκομένας καὶ δεομένας τοῦ ὑπερείδοντος· ἀμπέλους, οὐ κατὰ βλάστην, οὐ κατ᾽ ὀμφακίζοντα βότρυν, οὐ καθ᾽ ὑποπερκάζοντά τε καὶ πέπειρον ὑετίου ῥανίδος ἢ σταγόνος, εἴτε μὴν ψεκάδος ἀπολαυσάσας τὸ σύνολον. Ταῦτ᾽ οὐχ ὑπὲρ φύσιν; οὐ θαυμάτων πέρα καὶ λόγων ἐπέκεινα; Τί ἂν τις καταλέγοι λαχάνων παντοδαποὺς χυμοὺς καὶ ποιότητας, τῷ τε μεγέθει καὶ κάλλει τὰς ὄψεις καὶ τὴν γευστικὴν τῇ γεύσει καθηδυνούσας τοῦ αἴσθοντος (1) αἴσθησιν; Ἐῶ λέγειν ποιμνίων καὶ αἰπολίων πληθὺν ἀναρίθμητον, παρὰ πέτραις μὲν ἐπινεμομένην, ἀφθόνους δὲ τὰς πηγὰς προχεομένην τοῦ γάλακτος, ὡς οὐ *μέλι*, κατὰ τὸν προφήτην (2), ὁρᾶν *ἐκ πέτρας*, ἀλλὰ γάλα χεόμενον· καὶ τὸν νέον Ἰσραηλίτην λαὸν τὸν τῷ Θεῷ πεποθημένον χορτάζον, συνάμα τοῖς ὁσημέραι τῇ μονῇ παραβάλλουσι. Τίς οὖν ὁ ταῦτα τερατουργῶν; Τίς ὁ τὰ ξένα τελῶν καὶ ἐξαίσια;

ΛΒ΄. Ἡ μὲν οὖν πάλαι Μωσαϊκὴ καὶ σκιώδης ῥάβδος ὕδωρ ἐκ πέτρας τῇ πλήξει βλῦσαι πεποίηκεν (3), ἄρτον δὲ οὐδαμοῦ, ὡς τὸν ἀγνώμονα λαόν, καὶ γογγυστήν, καὶ ἀπειθοῦντα, καὶ σκληροτράχηλον, τὸ μὴ καὶ ἄρτον δύναται δοῦναι συχνῶς περὶ Θεοῦ ἀποφθέγγεσθαι (4)· ὁ δ᾽ ἐκ τῆς ῥάβδου τῆς θείας ἀναβλαστήσας ἀληθὴς βλαστὸς Ἰησοῦς, τὸν οἰκεῖον κυδαίνειν θέλων θεράποντα, οὐκ ἄρτον μόνον, ἀλλὰ καὶ οἶνον τὸν ἱλαρύνοντα, καὶ πάνθ᾽ ὅσα πέφυκε φέρειν γῆ καρποφόρος καὶ πίων ταῖς συνε-

(1) Γραπτέον οἶμαι: **Ἔσθοντος.**
(2) Ψαλμ. π΄, 17.—Δευτερον. λβ΄, 13.
(3) Ἀριθμ. κ΄, 11.
(4) Ψαλμ. οζ΄, 24.—Ἔξοδ. ιϛ΄, 4 κ. ἐφ.

χέσιν ὀμβροβλυσίαις (1) καταρδευομένη πυκνότερον, ἐκ πέτρας ἀγόνου πηγάζειν ἀεννάως, τῷ προστακτικῷ πατασσομένης λόγῳ πεποίηκε. Τοῦτο τῷ μεγάλῳ πατρὶ πάλαι τῶν χρόνων ἀριδήλως προλέλεκται. Ἐπειδὴ γάρ ποτε τόπον τινὰ θεασάμενος εὐφυοῦς τετυχηκότα τῆς θέσεως, παράδεισον ἐν αὐτῷ γενέσθαι προήγγειλε, τὶς τῶν παρόντων, Καππαδόκης ἀνήρ, τοῖς τῷ μακαρίῳ μεμαθητευμένοις ὢν συναρίθμιος, ἰταμώτερόν πως καὶ ἀναιδὲς ἀντεφθέγξατο,—«Μέχρι τίνος, λέγων, κατατρύχεις ἡμᾶς, πέτραις ἀγόνοις παραμένειν παρασκευάζων, καὶ τὰ μὴ πάντως ἐσόμενα προκαταγγέλλων, καὶ κεναῖς δελεάζειν ἐθέλων ταῖς ὑποσχέσεσι;» —Καὶ οὕτως μὲν ἐκεῖνος· ὁ δὲ θεῖος πατὴρ ζήλῳ θείῳ τὴν ψυχὴν πυρσευθείς, καὶ τὴν τῆς κεφαλῆς καλύπτραν ἀποῤῥιψάμενος, τρὶς ἐπὶ γόνυ κλιθείς, καὶ ἑαυτὸν διαταράξας τῷ πνεύματι, διαῤῥήδην καὶ μεγαλοφώνως προέφησεν, ἦ μὴν μετὰ τὴν αὐτοῦ τῶν ἐνθένδε ἀνάλυσιν, περιώνυμόν τε μονὴν ἐνθάδε γενήσεσθαι, καὶ τὸν προῤῥηθέντα τόπον, παράδεισον εὐθαλῆ τε καὶ εὔκαρπον (2)· ἃ καὶ εἰς ἔργον ἐκβέβηκε, καὶ τοῖς ἱστορεῖν βουλομένοις εἰς θέαν πρόκειται πρόχειρα. Ταῦτα μὲν οὖν τοιαῦτα καὶ οὕτως ἔχοντα.

ΛΓ΄. Αὐτὸς δ᾽, ὦ πάτερ πατέρων καὶ μοναζόντων κλέος θεῖε Χριστόδουλε, μὴ διαλίπῃς τοὺς σοὺς ἐποπτεύων ἡμᾶς· σοὶ γάρ ἐσμεν ἀληθῶς, κἂν ἤδη τῶν σῶν, οὕτω δόξαν τοῖς ἐνθάδε σοῖς, ἀποικιζόμεθα πόῤῥωθεν (3)· εἰ γὰρ *κληρονόμος σὺ τοῦ Θεοῦ, συγκληρονόμος δὲ τοῦ Χριστοῦ*, κατὰ τὸν θεῖον καὶ μέγαν Ἀπόστολον (4), πῶς οὐ πάντες οἱ πανταχοῦ τῆς οἰκουμένης

(1) Καὶ ἡ λέξις αὕτη κατεχωρίσθη πρῶτον ἤδη ἐν τῇ **Συναγωγῇ** τοῦ Κουμανούδη ἀπὸ τῶν Ἰω. Τζέτζου **Ἀλληγοριῶν εἰς Ὅμηρον.** (Σημ. Ι. Σ.)

(2) Ὁ τόπος οὗτος κεῖται ἐν παραλίῳ πρὸς δυσμὰς τῆς μονῆς, **Κῆπος** λεγόμενος, ὅπου καὶ πηγὴ ὕδατος, ὃ μέχρι τοῦδε ἐπικαλεῖται ἐν τῇ συνηθείᾳ: «**Τὸ νερὸν τοῦ ἁγίου Πατρός**», καὶ κατ᾽ ἔλλειψιν: «**Τοῦ ἁγίου Πατρός**».

(3) Καὶ ἐντεῦθεν δηλοῦται ὅτι ὁ Ἀθανάσιος ἦν συναρίθμιος τῇ χορείᾳ τῆς ἀδελφότητος, καὶ ὅτι τὸ παρὸν Ἐγκώμιον μακρὰν τῆς μονῆς διατρίβων ἔγραφε, πιθανῶς δ᾽ ἐν Κωνσταντινουπόλει.

(4) Ῥωμ. ή, 17.

τυγχάνοντες σοί, εἴπερ καὶ τοῦ σοῦ συγκληρονόμου Χριστοῦ; Ὧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Δʹ.

# ΘΕΟΔΟΣΙΟΥ ΜΟΝΑΧΟΥ ΒΥΖΑΝΤΙΟΥ
# ΕΓΚΩΜΙΟΝ
## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΧΡΙΣΤΟΔΟΥΛΟΝ
## ΤΟΝ ΔΟΜΗΤΟΡΑ ΤΗΣ ΕΝ ΤΗ ΠΑΤΜΩ ΝΗΣΩ ΜΟΝΗΣ ΕΠΙ ΤΩ ΟΝΟΜΑΤΙ ΤΟΥ ΗΓΑΠΗΜΕΝΟΥ ΜΑΘΗΤΟΥ ΤΟΥ ΣΩΤΗΡΟΣ ΧΡΙΣΤΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΚΑΙ ΠΑΡΘΕΝΟΥ

ΚΑΙ

# ΔΙΗΓΗΣΙΣ ΤΩΝ ΘΑΥΜΑΤΩΝ
## ΩΝ ΔΙ᾿ ΑΥΤΟΥ Ο ΧΡΙΣΤΟΣ ΠΕΠΟΙΗΚΕ ΚΑΤΑ ΤΟΥΣ ΧΡΟΝΟΥΣ ΤΟΥ ΕΥΣΕΒΟΥΣ ΒΑΣΙΛΕΩΣ
# ΚΥΡΟΥ ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΑΓΓΕΛΟΥ.

---

Αʹ. Ἀλλὰ πηγῇ πολυχεύμονι κὰκ τῶν βυθίων τῆς γῆς ἀνερχομένη λαγόνων, ὕδωρ ἐπιλείψειεν εἴπῃ τις, ὡς τοὺς θέλοντας ἀμφοτέραις ἀρύσασθαι καὶ τοῖς διψῶσι μεταδιδόναι, αὐτούς τε πρώτους μεταλαμβάνειν τοῦ ὕδατος, τοῦ ἐφετοῦ διαμαρτάνειν καὶ οὐκ ἔχειν τίνι τὴν ἐπιθυμίαν θεραπεύσουσι σφύζουσαν; ἢ πολυσίτῳ τις ἐπικαθίσας τραπέζῃ οὐ θαῤῥήσει κόρον λαβεῖν, ἀλλ᾿ ἐκεῖθεν ὑποχωρῆσαι πεινῶν φοβηθήσεται; Οὐμενουν· οὐκ ἔσται τοῦτο, οὐκ ἔσται, εἰ μὴ ἑκοντὶ καὶ οἱ διψῶντες τὴν τοιαύτην πηγὴν παρέλθωσι, καὶ ὁ πεινῶν οὐ χεῖρας ἐπιβαλεῖν θαῤῥήσει τοῖς βρώμασιν, ἀλλὰ κενὸς ὑπονοστῆσαι (1) τῆς παντοίων πληθούσης ἐδεσμάτων τραπέζης. Ἀλλ᾿ οὐχὶ

(1) Γρ. ἴσ. Ὑπονοστήσει.

ταῦτα παθεῖν ἡμεῖς ἀνεξόμεθα, οὕτω μὲν περιτυχόντες πηγῇ διειδῆ ἀναδιδούσῃ τὰ νάματα, οὕτω δὲ τραπέζῃ ἄλλοτε ἄλλοις ἡδέσι βαρυνομένῃ τοῖς βρώμασι, καὶ εἰς ἑαυτὴν ἐφελκομένῃ τὸν κορεσθῆναι βουλόμενον, οὐ φθαρτοῖς μέντοι καὶ μέχρι τοῦ σώματος διαβαίνουσι, καὶ ῥοῆς αἰτίοις ἢ σήψεως ἂν ὑπὲρ κόρον ληφθεῖεν, διερεθιζομένης τῷ ἡδεῖ τῆς κατὰ πνεῦμα ὀρέξεως, ἀλλὰ ψυχῶν περιποιουμένοις ὑγιείαν καὶ πλέον φυλάττουσι, καὶ σωμάτων ἁγιασμὸν παρεχομένοις τῷ πλείονι μᾶλλον τῆς μεταλήψεως. Τὸ γὰρ ἐν τοῖς τοιούτοις λιχνεύεσθαι, καὶ *ἀναβάσεις ἐν τῇ καρδίᾳ τίθησι* (1), καὶ τοῖς ἀΰλοις συνίστησι, κἀκεῖθεν διαβιβάζει καὶ πρὸς τὸ ὄντως ὂν ὀρεκτόν, τῆς ἐπιθυμίας ἐπιδιδούσης τῆς ψυχικῆς, τὴν ὅλην μετατίθησιν ἔφεσιν.

Β΄. Τίς δὲ ἡ πηγὴ καθ' ἡμᾶς καὶ ἡ τράπεζα, αἱ τὰ τοιαῦτα ἡμῖν τε καὶ ἄλλῳ παντὶ τῷ θελήσοντι ἐς τὸ αὔταρκες, περιποιησόμεναι; Ὁ θεῖος τῷ ὄντι καὶ τοῦ Χριστοῦ θεράπων γνήσιος Χριστόδουλος, οὗ κλέος ἔς τε θάλασσαν ἱκάνει καὶ γαῖαν αὐτήν (2)· ὅς, ὡς τὰ κατ' αὐτὸν διέξεισιν ὑπομνήματα, κώμης τινὸς τῶν τῆς Βιθυνῶν ἐπαρχίας καὶ τῶν ὑπὸ τὴν αὐτῆς μητρόπολιν Νίκαιαν γέγονε βλάστημα (3), τὸ ἀληθὲς δ' εἰπεῖν, τῆς εὐσεβείας, τῆς ἀνὰ πᾶσαν γῆν καταβαλούσης τὰ σπέρματα καὶ κατὰ καιρὸν ἐπιτηρούσης τὴν φυήν, καὶ ὁποία τις γένοιτο περισκοπούσης, καὶ εἰ πόας μέχρι τὸ καταβληθὲν ἀνέθορεν, ἢ καὶ εἰς καλάμην ἔστη, καὶ τίνα αὐτήν· ἂν ἁδρά τις καὶ παρέχουσα ἔμφασιν ὡς εὔσταχυς καὶ ἐπιβριθὴς ἐν καιρῷ ἔσται, καὶ τὸν εἰς θέαν τοῦ καρποῦ ἐληλυθότα εὐφραίνουσα· οὕτως οὐχὶ κώμης βλαστός, ἀλλ' ἐν κώμῃ τινι σπέρμα τῆς εὐσεβείας, εἰς πόαν, εἰς καλάμην, εἰς στάχυν εὔσταχυν ἀνελθών, τῇ Ἐκκλησίᾳ καὶ ἡμῖν ὁ μακάρτατος ἔγνωσται. Οὐχὶ κώμη τοίνυν, οὐδὲ

(1) Ψαλμ. πγ΄, 6.

(2) Ἀπὸ τοῦ Ὁμηρικοῦ παρεξέσθαι δοκεῖ: « **Ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει** » (Ἰλ. Α. 254.).

(3) Ὅρα ὄπισθεν σελ. 111, ὑποσημ. 1, καὶ 136, ὑποσημ. 1.

γεννήτορες τοῦ καλοῦ τοῦδε ἡμῖν αἴτιοι, ἀλλ' ἡ εὐσέβεια καὶ ἡ τῆς κατ' αὐτὸν ψυχικῆς γῆς ἐπιτηδειότης.

Γ'. Τοιοῦτος δὲ γεγονώς, ὄρη πρώτως τὰ τοῦ γειτονοῦντος Ὀλύμπου (1) τῇ αὐτοῦ πατρίδι τῇ σκιᾷ ἐκάλυψε, καὶ τούτοις ἀλλοιωθεὶς τὴν καλὴν ἀλλοίωσιν, καὶ τοῦ τῆς ὕλης βάρους ἐκστάς, καὶ πτέρυγας λαβὼν πνευματικὰς ἐπετάσθη ἀπ' ἐναντίας τῷ παρ' Ἕλλησιν ἐκείνῳ ἱστορουμένῳ Ἰκάρῳ (6), εἰ μὴ μῦθος τέως τὰ κατ' αὐτὸν ἱστορούμενα, κηρῷ καὶ σχοίνῳ λέγοντα τῷ τοῦδε σώματι ἐπιστηρίξαι τὸν Δαίδαλον πτέρυγας, τὸν καὶ αὐτὰς τεχνησάμενον, αἷς που θαῤῥήσας ὁ ἄθλιος Ἴκαρος καὶ πετασθεὶς ἔνθα καὶ ὅπῃ βουλητέον αὐτῷ, τῷ πελάγει ἐν ᾧ καταπεσὼν ἀπεπνίγη, ἐξ ἑαυτοῦ καταλέλοιπεν ὄνομα. Ἀλλ' οὐχὶ τοιαῦται καὶ αἱ τῷ τοῦ Χριστοῦ δούλῳ, καὶ φίλῳ, καὶ μαθητῇ Χριστοδούλῳ δοθεῖσαι διὰ Πνεύματος πτέρυγες, ἀλλὰ ζήλῳ ἐγκολληθεῖσαι καὶ ἐλπίδι βεβαιωθεῖσαι, πτηνὸν αὐτὸν ἀπεδείκνυον, πετόμενον ἔνθα καὶ βούλοιτο, οὐ τὴν ἀπὸ τόπου εἰς τόπον μετάβασιν ἀπελπίζοντα, οὐ τῷ πτερῷ ναρκῶντα καὶ βαρυνόμενον, ἀλλὰ κούφως καὶ πνευματικῶς μετεωριζόμενον.

Δ'. Ἐντεῦθεν, κατὰ ἔφεσιν τῆς τῶν σωμάτων τῶν ἱερῶν τοῦ Χριστοῦ μαθητῶν, Πέτρου καὶ Παύλου φημί, προσκυνήσεως, ἀπτέρως ἡ Ῥώμη τούτῳ καταλαμβάνεται· καὶ ἀεροβατῶν ὥσπερ τις μέγας καὶ *γίγας* φωστὴρ (3), ἐξ ἀνατολῶν εἰς ἄκρας δυσμὰς μεταβέβηκε, κἀκεῖσε τὰς εὐχὰς τοῖς ἀποστόλοις ἀφοσιωσάμενος, καὶ δάκρυον ζήλου προχέας αὐτοῖς καὶ πίστεως, καὶ ἐκθειάσας τὸν διὰ τὸν διδάσκαλον δρόμον αὐτῶν, ἐκεῖθεν

(1) Ὅρα ὡςαύτως σελ. 65, ὑποσημ. 2.

(2) Ὁ Ἴκαρος υἱὸς ἦν τοῦ Δαιδάλου, ὅς (κατὰ τὸν μῦθον) λαβὼν παρὰ τοῦ πατρὸς αὐτοῦ τεχνησαμένου, φεύγοντος ἐκ Κρήτης τὸν Μίνωα, πτέρυγας ἐκ κηροῦ, καὶ ἐπ' αὐταῖς θαῤῥυνθεὶς καὶ πετάσας, κατέπεσε, τοῦ κηροῦ ἀναλυθέντος ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων, ἐν τῷ ἀπ' αὐτοῦ κληθέντι Ἰκαρίῳ πελάγει. Ἀλλ' ὁ μὲν Ἴκαρος, οἷα ἐπὶ κηρίναις πτέρυξι πεποιθώς, πτῶμα ἐλεεινὸν πέπτωκεν· ὁ δὲ τοῦ Χριστοῦ θεράπων Χριστόδουλος, τῇ πρὸς αὐτὸν ἀγάπῃ πτερωθεὶς ἀληθῶς καὶ πετασθεὶς κατεσκήνωσεν αἰωνίως ἐν τοῖς τοῦ Κυρίου πεποθημένοις σκηνώμασιν.

(3) Ψαλμ. ιη', 6-7.

ἀπαίρει θαῤῥῶν ταῖς πτέρυξι ταῖς δεδομέναις αὐτῷ διὰ τοῦ Πνεύματος, καὶ πρὸς Παλαιστίνην τὸ ὅρμημα τίθησι, μεσημβρινῶς πως κειμένην, καὶ ἐκ διαμέτρου μὲν οὐκ εὐθείας, λοξῶς δ᾽ ἐχούσης τὴν Ῥώμην ὁρῶσαν πολλῷ διαστήματι· ὅπου γενόμενος, καὶ τῷ ζωοδόχῳ πρώτως προςπεσὼν Τάφῳ, καὶ δάκρυσιν εὐσεβείας πλύνας τοὔδαφος, καὶ τῆς πρὸς ἡμᾶς συγκαταβάσεως τοῦ Κυρίου ἐκπλαγεὶς τὸ μέγεθος, ὡς μέχρι παθῶν ἀτίμων καὶ τάφου χωρῆσαν καινοπρεπῶς, πρὸς τὰ λοιπὰ διαβαίνει τῆς ἡμῶν ἀναπλάσεως σύμβολα, τὸν Γολγοθᾶν δηλαδή, τὴν ἱερὰν Βηθλεέμ, τὴν φάτνην, τὴν Ναζαρέτ, τὸν Ἰορδάνην αὐτὸν τὸν ἐν ποταμοῖς κορυφαῖον καλούμενον (1), ὡς ἐς τὴν ἡμετέραν σωτηρίαν τῇ τοῦ Σωτῆρος εὐδοκίᾳ ὑπηρετησάμενον· τῷ Θαβὼρ προςβάλλει, τῷ τῆς τεσσαρακονθημέρου νηστείας τόπῳ ἐπιδημεῖ (2), καὶ πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν ἄνεισι· κἀκ τούτων πάντων ἁγιασμοῦ καταπολαύσας, προςτιθεὶς τὸ λειπόμενον εἰς τὴν ἔρημον ἔξεισιν, ἀγωνισθησόμενος ἅμα κατὰ τὸν ζῆλον τοῦ Κυρίου καὶ πειρασθησόμενος. Κἀκεῖσε διαγαγὼν ἔν τινι τῶν ἀναχωρητικωτέρων ἀσκητηρίων, ἐφ᾽ ὅσον ὁ ἄγων αὐτὸν εὐδόκησεν, ἐξαῦθις καὶ τῆς ἐρήμου καὶ τῆς μονῆς ἀπαίρει· πλὴν οὐχ ὡς ἄν τις εἴποι μὴ τὸν ἄνδρα εἰδώς, ὁποῖος τὴν ἀρετήν, ὡς ἀπειπὼν πρὸς τὸ τῆς ἐρήμου τραχὺ φυγοπάλης (3) ὤφθη καὶ τὰ μετὰ τῶν ἀντιπάλων ἐκκλίνων σκάμματα, ἀλλὰ χώραν τῇ κακίᾳ διδούς, *καὶ ἀσεβῶν*, κατὰ τὸ λόγιον, *ἐκκλίνων ὁδοὺς* (4), καὶ εἰς χεῖρας τὰς τῶν Ἀγαρηνῶν ἐμπεσεῖν μετὰ τῶν ὑπ᾽ αὐτὸν μὴ κρίνας ὅσιον, ὡς μὴ δικαίων αἷμα χεῖρας ἁμαρτωλῶν βαρυνεῖ, καὶ

(1) Κορυφαῖος ἐν ποταμοῖς ὁ Ἰορδάνης, διότι ἐν τοῖς ὕδασιν αὐτοῦ βαπτισθῆναι κατεδέξατο ὁ ἀναμάρτητος Ἰησοῦς, ἵνα τὸν ἐκ τῆς ἁμαρτίας ῥύπον τῶν ἀνθρώπων ἀποπλύνῃ.

(2) Ἐπιδημεῖ τῷ τόπῳ ἐκείνῳ, ὅπου δηλαδὴ ὁ θεάνθρωπος Ἰησοῦς μετὰ τὸ βάπτισμα ἀνήχθη ὑπὸ τοῦ Πνεύματος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου (Ματθ. δ΄, 1.).

(3) Ἐκ τοῦ φεύγειν τὴν πάλην. Λείπει δ᾽ ἡ λέξις ἐν τοῖς λεξικοῖς. Ὁ δ᾽ ὅσιος οὐχὶ τοιοῦτος ἐφάνη· μέχρι γὰρ τέλους ἐνεκαρτέρησε τοῖς τῶν ἀντιπάλων σκάμμασι, καὶ νικητὴς ἀνεδείχθη.

(4) Παροιμ. α΄, 15.—Ψαλμ. α΄, 1.

εἰς κρίμα αὐτοῖς οὐχ *ἑπτάκις*, ἀλλὰ καὶ μυριάκις *ἐκδικούμενον ἔσται* (1).

Ε΄. Πλοίου τοίνυν ἐπιβάς, καὶ ἐξ οὐρίας μετὰ τῶν σὺν αὐτῷ διαπλωϊσάμενος, διὰ τῶν ἀνατολικωτέρων μερῶν διελθών, καταίρει πρὸς Μίλητον (2), καὶ τῷ ἔγγιστα ταύτης ὄρει, ἀναχωρητικωτέρῳ τυγχάνοντι, προσκαθίσαι διέγνω· Λάτρος τῷ ὄρει τὸ ὄνομα, ἐν ᾧ καὶ προσέμεινε, καὶ τῇ κατὰ καιρὸν βίᾳ, καὶ τῇ μετὰ τὴν βίαν εἴξας πειθοῖ (3), τοῦ ὄρους ἦρξε παντός, καὶ τοῖς ἐν αὐτῷ προσκαθημένοις *λύχνος ἦν ἐπὶ λυχνίας, καὶ πόλις ζῶντος Θεοῦ ἐπάνω ὄρους κειμένη* (4). Τί οὖν; ἄλλος ἦν καὶ δι' ἑτεροίου τοῦ πνεύματος ὁ ἐκ τόπου εἰς τόπον τὸν Ἠλίαν ἐξαίρων, καθάπερ ἐν τῇ βίβλῳ τῇ τῶν Βασιλειῶν ἐμφέρεται (5), ἢ οὐκ ἄλλος μέν, ἀλλ' εἷς καὶ ὁ αὐτὸς Δεσπότης καὶ Κύριος, δειλίας δὲ πνεῦμα καὶ ἀκηδίας τὸ ἐκ τόπου εἰς τόπον τὸν ζηλωτὴν ἐξάραν τοῦ προφήτου Χριστόδουλον καὶ ὑπὲρ τοῦ Κυρίου ζηλοῦντος, ὡς γέγραπται (6), οἷα μηδὲ κλαγγὴν (7) ὑπομεῖναι

(1) Τὸ ὑπὸ τοῦ Κάϊν ἐκχυθὲν αἷμα τοῦ δικαίου Ἄβελ ἐπεβάρυνεν αὐτόν, καὶ ἦν στένων καὶ τρέμων ἐπὶ τῆς γῆς, καὶ πᾶς ὁ ἀποκτενῶν αὐτὸν παρέλυεν ἑπτὰ ἐκδικούμενα (Γέν. δ΄, 13-15). Ὁ δὲ Λάμεχ ἀποκτείνας ἄνδρα εἰς τραῦμα, καὶ νεανίσκον εἰς μώλωπα αὐτῷ, καὶ πρὸς τὰς ἑαυτοῦ γυναῖκας ἐξομολογούμενος λέγει: « **Ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά.** » (Αὐτόθ. δ΄, 23-25.). Οἱ δ' Ἀγαρηνοὶ μυριάκις, κατὰ τὸν Θεοδόσιον. Ὁ μέγας Βασίλειος λέγει: « **Τετρακοσίας καὶ ἐννενήκοντα** (τοῦτο γὰρ φέρει τὸ ἑπτὰ πολλαπλασιαζόμενον ἐπὶ τοῦ ἑβδομήκοντα) **τιμωρίας ὑποσχεῖν εἰμὶ δίκαιος** (φησὶν ὁ Λάμεχ), **εἴπερ δικαία ἡ τοῦ Θεοῦ κρίσις ἐπὶ τῷ Κάϊν, ὥστε ἑπτὰ αὐτὸν παρασχεῖν τὰς κολάσεις. Ὁ μὲν γάρ, ὥσπερ οὐκ ἔμαθε παρ' ἄλλου τὸ φονεύειν, οὕτως οὐδὲ οἶδε τιμωρίαν ὑπέχοντα φονευτήν· ἐγὼ δὲ ἐν ὀφθαλμοῖς ἔχων τὸν στένοντα καὶ τρέμοντα, καὶ τὸ μέγεθος τῆς ὀργῆς τοῦ Θεοῦ, οὐκ ἐσωφρονίσθην τῷ ὑποδείγματι· ὅθεν ἄξιος εἰμὶ τετρακοσίας καὶ ἐννενήκοντα δοῦναι κολάσεις.** » (Ὅρα **Σειρὰν εἰς τὴν Ὀκτάτ.** τόμ. Α΄, σελ. 118.).

(2) Ὅρα ὄπισθεν σελ. 118, ὑποσημ. 4.

(3) Ὅρα ὡςαύτως σελ. 69, 70, 120 καὶ 139.

(4) Ματθ. ε΄, 14-15.—Ἑβρ. ιϐ΄, 22.

(5) Γ΄. Βασιλ. ιζ΄-κϐ΄, καὶ Δ΄. α΄-ϐ΄, 12.

(6) « **Ὁ ἐξαίρων οὐκ ἐξῆρεν αὐτὸν** » (Κριτ. α΄, 29.). Πλὴν ἀλλὰ κατακόρως χρῆται τῷ ῥήματι ἐν τοῖς ἐφεξῆς.

(7) **Κλαγγή,** καὶ ῥῆμα **Κλάζω**, ἐν γένει πᾶς κρότος καὶ θόρυβος ἐκ πτηνῶν ἢ ζῴων,

θαῤῥοῦντα ὅπλων βαρβαρικῶν, μηδὲ τόξου λιγμόν, ἢ ξίφους μαινομένου φρικαλέαν στιλβηδόνα; Ἀλλ᾽οὐκ ἄν τις εὖ φρονῶν τοιαῦτα κατὰ Χριστοδούλου λογίσαιτο, οὐδὲ ὀλιγωρίας αὐτὸν ἢ ἀκηδίας εἴτε καὶ δειλίας πνεῦμα ἡττᾶν (1) τὸν τὰ πάθη τῆς σαρκὸς εἰς ἄκρον ἡττήσαντα· ἀλλ᾽ ὁ ἐξαίρων αὐτὸν ἐξῆρεν, ἀφορμὰς τιθεὶς εὐλόγους τῆς μεταθέσεως, ἵνα καὶ κατὰ τὸ τοῦ ἐξαίροντος μετατιθῆται βούλημα, καὶ ὠφελεῖν καὶ ἁγιάζειν τῇ ἐπιδημίᾳ καὶ τόπους καὶ ἀνθρώπους ἔχῃ σοφῶς, καὶ δι᾽ αὐτοῦ ὁ Κύριος μεγαλύνηται, οἷα γνησίου θεράποντος.

Ϛ΄. Τίνα τὰ λοιπὰ τοῦ ἀνδρὸς μεγαλεῖα καὶ διὰ τὴν ἀρετὴν ἐπιτηδεύματα; Πῦρ θυμοῦ τῶν Ἀγαρηνῶν καὶ τὸ Λάτρος περικυκλοῖ, καὶ φλέγειν καὶ ἐκτεφροῦν τὰ ὡραῖα τὰ τοῦδε ἀπάρχεται, καὶ τὸν Χριστόδουλον οἷα Χριστοῦ δοῦλον τὸ ἐξαῖρον Πνεῦμα

ἰδίως δὲ ὁ ἦχος τῆς νευρᾶς τοῦ τόξου:

**Ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν, οἰωνῶν ὥς,**
**Πάντοσ᾽ ἀτυζομένων . . . . . . . . .**

[Ὀδυσ. Λ, 605-6].

καί:

**Ἔκλαγξαν δ᾽ ἄρ᾽ ὀϊστοὶ ἐπ᾽ ὤμων χωομένοιο**
**Αὐτοῦ κινηθέντος. . . . . . . . . .**

[Ἰλ. Α, 46-7].

καί:

**Δεινὴ δὲ κλαγγὴ γένετ᾽ ἀργυρέοιο βιοῖο.**

[Αὐτόθ. 49].

καί:

**Σπουδῇ δ᾽ ἕζετο λαός, ἐρήτυθεν δὲ καθέδρας**
**Παυσάμενοι κλαγγῆς . . . . . . . . .**

[Αὐτόθ. Β, 99-100].

ἐν μὲν οὖν τῷ πρώτῳ τό: **Κλαγγὴ** σημαίνει τὴν φωνὴν τῶν ὀρνέων· ἐν δὲ τῷ δευτέρῳ, τὸν ἔσω τῆς φαρέτρας ἦχον, ὃν ἐν συντόνῳ κινήσει ἀποτελοῦσιν οἱ ὀϊστοί· ἐν δὲ τῷ τρίτῳ ἐτέθη ἐπὶ κραυγῆς ἀνθρώπων. Ἔστι δὲ ὠνοματοπεποιημένη ἡ λέξις, ὥσπερ καὶ τό: **Λιγμόν.** (Εἰ μὴ ὑπῆρχεν ὁ τοῦ φίλου Ἱεροθέου λόγος περὶ ὀνοματοποιΐας τῆς τελευταίας ταύτης λέξεως, ὃς καὶ δοκεῖ πως πιθανός, εἶχον ἂν ὑπολαβεῖν μή ποτ᾽ ἐν τῷ ἀρχετύπῳ ἐγέγραπτο: **Ῥιμμὸν** = ῥίψιν (τὸ κοινῶς: **ῥίψιμον**). Οὕτω καὶ παρὰ Πολυδεύκει φέρεται: « **ἐκ τόξου ῥίμματος ἦν ἡ μάχη** » [**Ὀνομαστ.** Α΄. ιθ΄.]) (Σημ. Ι. Σ.).

(1) Ἡ ἀδόκιμος τοῦ ῥήματος τούτου χρῆσις ἐπί τε ἐνεργητικῆς καὶ παθητικῆς σημασίας ἀπαντᾷ καὶ παρά τισι τῶν ἀρχαιοτέρων μὴ Ἀττικῶν συγγραφέων· καὶ ὅρα μοι τὸν Ἐῤῥίκου Στεφάνου **Θησαυρόν.** (Σημ. Ι. Σ.)

συνήθως ταὶ αὖθις ἐξαίρει, καὶ ὁ Θεὸς μετὰ τοῦ ἐξαιρομένου ὡς ἐξ ἔθους γίνεται, καὶ εἰς τὴν νῆσον Κῶ μετατίθησιν· ἔνθα γεγονώς, ὅσα ἡ κατ᾽ αὐτὸν βίβλος διέξεισιν (1) ἐνεργεῖ τῆς ἀρετῆς εἰς περιποίησιν. Συναίρεται δὲ τούτῳ ἐπὶ τοῖς γινομένοις ὁ Θεός· καὶ γὰρ οὑτοσὶ τῆς ἀρετῆς τὸ κεφάλαιον. Ἡμῖν δὲ τέως οὐ χρεία τὰ κατ᾽ αὐτόν τε καὶ δι᾽ αὐτοῦ ἐνεργηθέντα εἴτε θαυμαστωθέντα κατὰ μέρος διεξιέναι, καὶ ὡς νῦν πρώτως εἰς ἀκοὴν τοῖς εὐσεβέσι παραδιδόμενα· ἀπόχρη γὰρ παρὰ σοφοῖν καὶ ἀρχιερέοιν δυοῖν (2) παραδοθέντα τε καὶ ἀφηγηθέντα ἀξίως τοῦ ἁγίου Πνεύματος, τοῦ τὸν οἰκεῖον ἐν τῷ βίῳ τούτῳ τῷ ὑλικῷ μεγαλύναντος διάκονον. Μετὰ γὰρ τῶν ἄλλων τῶν ἐν τῇ νήσῳ Κῷ τοῦ ἀνδρὸς μεγαλείων, καὶ μονὴ ψυχῶν σωτηρίας ἀνάπαυλα τῷ Θεῷ ἀνεγερθῆναι παρὰ τοῦ μεγάλου ἱστόρηται· οὕτω γὰρ τῆς ἀρετῆς θερμὸς ἦν ἐραστής, καὶ ὡς ἐστέργετο ἔστεργε, καὶ ὡς ἠρᾶτο ἀντήρα ὡς πανταχοῦ γῆς, καὶ οἷς ἂν πλησιάσειε, φυτεύειν καὶ ἀνιστᾶν αὐτῇ σκηνὰς καὶ ἀμφεδράζειν ἱερὰ καταγώγια. Τοῦτο καὶ κατὰ τὴν νῆσον Κῶ πεποιηκώς, ἐκεῖθεν ἀπαίρειν δέον ἔγνω τῷ πνεύματι· οὐ γὰρ ὅσα τῆς ἀρετῆς θεῖα σκηνώματα, ταῦτα καὶ τοῖς ἄκρον ἐφθακόσι τῶν νομίμων καὶ ἐθίμων ταύτης στερκτέα, ἀλλ᾽ ἀεὶ *ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθεμένοις* (3) τὰ ἔμπροσθεν, καὶ ὅσα τῇ θεωρίᾳ ὁ νοῦς ἀνατυπώσει τοῦ ἀκριβοῦς καὶ οἱονεὶ ἁπτομένου τοῦ οὐρανοῦ ἔχεσθαι, ταῦτα καὶ στερκτέα, καὶ καταληφθῆναι δι᾽ ἐπιθυμίας ἐζήτηται· ὅτι μηδὲ ὁ καθαρθεὶς νοῦς ἐπὶ τοῖς τεθεαμένοις ἢ ἀνατυπουμένοις πλάνην πάσχειν διέγνωσται· τὰ δὲ ὄπισθεν ἤδη κατακριθέντα καὶ ἀποκριθέντα ὡς πρὸς τελειότητα, τῷ νόμῳ τῆς ἀναβάσεως καταλέλειπται. Ὁ γὰρ κλίμακος ἐφαψάμενος καὶ ἀνιέναι ταύ-

(1) Πότερον, τὴν τοῦ ὁσίου **Ὑποτύπωσιν** ὑπονοεῖ ὁ ἐγκωμιαστής, ἢ τὸν ὑπὸ τοῦ Ἰωάννου Μητροπολίτου Ῥόδου συγγραφέντα **Βίον** αὐτοῦ; Ἐμοὶ δοκεῖ τὴν **Ὑποτύπωσιν**, ὡς ἐκ τῶν §. Θ΄—ΙΑ΄ ἔστι τεκμηριώσασθαι.

(2) Δηλονότι τοῦ Ἰωάννου μητροπολίτου Ῥόδου, καὶ τοῦ Ἀθανασίου πατριάρχου Ἀντιοχείας.

(3) Ψαλμ. πγ΄, 6.

την ἀρξάμενος, ἀεὶ τὴν μὲν κάτω βαθμῖδα ἀφίησι, πρὸς δὲ τὴν ἄνω καὶ προσωτέρω τὸν πόδα μετατίθησι, τὰ ἐπάνω πάντως ἰδεῖν καὶ ἐμβατεῦσαι τούτοις ἐφιέμενος.

Ζ΄. Οὗτος ὁ νόμος τῆς θεωρίας τὸν μέγαν καὶ προσελθεῖν, ὡς ἀναγέγραπται, τῷ ἐπιγείῳ βασιλεῖ, καὶ τὰ κατ᾽ αὐτὸν ἀναδιδάξαι τε καὶ ἀνακοινώσασθαι πέπεικε, παντοίως φιλοσοφοῦντα τὸν ἔρωτα οἱ ἀφοσιώσασθαι, καὶ πληρῶσαι τὴν περὶ τὰ καλὰ ἀκμαίαν οὖσαν ἐπιθυμίαν ἑαυτοῦ. Καὶ ἡ κρίσις ἡ περὶ τῆς εἰς τὸν αὐτοκράτορα προσελεύσεως ἀσφαλής, καὶ οὐχ ὡς ἄν τις διανοήσαιτο ματαιολογῶν, καὶ ἀπὸ γῆς λαλῶν, καὶ τὰ καλὰ διασύρων, καὶ οἷς μηδὲ ὀφθαλμὸν προσβαλεῖν ὅλως δεδύνηται, ὡς τὴν ἀρετὴν ἑαυτοῦ ὁ ἀνὴρ δημοσιεῦσαι βουλόμενος, καὶ τὸν παρὰ τοῦ βασιλέως καὶ τῶν ἐν τέλει θηρώμενος ἔπαινον, ἐς βασιλέα διαβῆναι διέγνωκεν. Οὐμενουν, οὐδαμῶς, κατὰ κριτὴν τὴν ἀλήθειαν· ἀλλὰ τῷ ἐξαίροντι καὶ μετατιθέντι αὐτὸν ἀγόμενος θείῳ Πνεύματι ὑποτιθεὶς ἑαυτόν, ἐκεῖνα ἐποίει καὶ ὡμίλει, ὅσα ἐν αὐτῷ ἐλάλει, καὶ ὡς ἐν τόμῳ γραφίδι θείᾳ διεχάραττεν, ὡς καὶ περὶ τῶν προφητῶν ἐν τῷ παλαιῷ διηγόρευται· ἑαυτοὺς γάρ, ὡς αὐλοὺς ἢ ἑτεροῖα σκεύη τινὰ πρὸς τὴν οἱανδήτινα χρῆσιν ἐπιτήδεια, ὑποτιθέντες τῷ Πνεύματι, καὶ ὡς ἐκίνει ἐκεκίνηντο, καὶ ὡς ὑπήχει ἐφθέγγοντο. Καὶ τοῦτο μαθεῖν μέν ἐστι καὶ ἀπὸ πολλῶν ἑτέρων, μαθεῖν δὲ καὶ ἐξ ὧν Μιχαίας πρὸς τὸν Ἀχαὰβ ἀπεφοίβασεν (1): *Εἰ σὺ ὑποστρέψεις, ὁ Θεὸς ἐν ἐμοὶ οὐ λελάληκεν* », αὐλὸν ἑαυτὸν ὑποδεικνὺς ἐκεῖνα λαλοῦντα ἐνάρθρως, ὅσα ὑπήχει τὸ Πνεῦμα τὸ ἅγιον. Τοῦτο γὰρ σημαίνει τό: *ἐν ἐμοί*· οὐ μόνον γὰρ θεῖα καὶ ἀληθείας ἐχόμενα τὰ παρ᾽ αὐτοῦ λεγόμενα, ἀλλὰ καὶ πρὸς Θεοῦ ἐν αὐτῷ προσεχῶς ὑπηχούμενα. Οὕτω καὶ ὁ θαυμαστὸς Χριστόδουλος τῷ θείῳ Πνεύματι ὁδηγούμενος καὶ ὑπηχούμενος, οὔτ᾽ ἀναξίως τοῦ κινοῦντος καὶ ὁδηγοῦντος ἐκεκίνητο, οὔτε τοῦ ὡς εἰς αὐλὸν ὑπηχοῦντος ἀνεπιτηδείως ἐφθέγγετο. Ἔνθεν τοι καὶ πάντα τὰ

(1) Γ΄ Βασιλ. κβ΄, 28. — Β΄ Παραλειπ. ιη΄, 27.

καθ᾽ ἑαυτὸν ἀναδιδάξας τὸν αὐτοκράτορα (Ἀλέξιος οὗτος ἦν, ὁ ἐκ Κόμνας τὸ γένος ἕλκων, καὶ διὰ τοῦτο καὶ Κομνηνὸς προσαγορευόμενος), οὔκουν ὁλκήν τινα χρυσίου ἢ ἀγροὺς καὶ κτήσεις πολυπροσόδους αἰτεῖ, ἀλλὰ τόπον εἰς τὴν διὰ βίου ἐρημικωτέραν καὶ ἀπόκροτον δίαιταν· καὶ οὗτος ἦν ἡ νῆσος Πάτμος, ἐν ᾗ ὁ τῆς βροντῆς υἱὸς καὶ παρθένος καὶ τῷ Θεῷ Λόγῳ ἠγαπημένος καὶ ἐπιστήθιος μαθητής, οὐκ ἀπ᾽ ἀνθρώπων, οὐδὲ δι᾽ ἀνθρώπων μυηθείς, ἀλλ᾽ ἐξ οὐρανοῦ καὶ τοῦ διδασκάλου αὐτοῦ τὰ θεῖα ὄντως καὶ περὶ Θεοῦ ἀπήχησε ῥήματα (1), συμφυῆ τῷ Θεῷ καὶ Πατρὶ τὸν Υἱὸν καὶ Λόγον ὑπηχηθεὶς καὶ ἀποφηνάμενος, καὶ ἀνεκφοιτήτως μένειν ἐν αὐτῷ καταγγείλας, καὶ ἐπ᾽ ἐσχάτων πρὸς ἡμᾶς κατελθεῖν, καὶ σάρκα γενέσθαι διὰ φιλανθρωπίαν, ἵν᾽ ἡμεῖς τὸ εἶναι σάρκες ἀφέντες, καὶ ὅλοι θείου Πνεύματος καὶ πνεῦμα γενόμενοι, τὸν Θεὸν ἐπιγνῶμεν ἐν τρισὶν ὑποστάσεσιν.

Η΄. Ταύτην τὴν νῆσον αἰτήσας καὶ δῶρον λαβὼν ἐκ βασιλέως, καὶ τῷ βασιλεῖ τῶν ὅλων θῦμα προσαγαγὼν διὰ τῆς τοῦ παρθένου προσηγορίας, ὡς καὶ πάντων [τῶν] (2) ἄλλων τῶν παρὰ βασιλέως, ἀρχῶν τε ἱερῶν καὶ πνευματικῶν, προτεινομένων, ταύτην προτετιμηκὼς ἔχαιρε τῷ δώρῳ, καὶ ἑαυτὸν προσῆγε πρὸ τῆς νήσου δι᾽ ἐπιγείου βασιλέως τῷ ἐπουρανίῳ παμβασιλεῖ. Ἔχαιρε δὲ μᾶλλον ὁ τὴν δωρεὰν αὐτῷ χαρισάμενος βασιλεύς, τοιούτῳ ἀνδρὶ καταξιωθεὶς ἐντυχεῖν, ᾧ *πᾶς ὁ κόσμος ἐσταύρωτο* (3), καὶ γνῶναι *τά τε ὄντα, τά τ᾽ ἐσόμενα, πρό τ᾽ ἐόντα* κατηξιωμένῳ (4), καὶ μεμυημένῳ θειοτέρως τὸ τῆς οἰκονομίας ἅπαν μυστήριον, ὡς τὰ ἐκφωνηθέντα οἱ καὶ ἐγγράφως δοθέντα, ἐδήλου πρὸς αὐτὸν τὸν αὐτοκράτορα. Ψυχὴ γὰρ τῆς ὕλης χω-

(1) Καὶ ὁ Θεοδόσιος ἄρα ἀποδέχεται ὅτι ἐν Πάτμῳ ὁ Θεολόγος ἔγραψε τὸ Εὐαγγέλιον.

(2) Ἐξέπεσεν, ὡς οἶμαι, τὸ ἐν ἀγκύλαις προστιθέμενον ἄρθρον. (Σημ. Ι. Σ.)

(3) Γαλάτ ϛ΄, 14.

(4) Παρὰ τὸ Ὁμήρου περὶ Κάλχαντος εἰρημένον: **«Ὃς ᾔδει τά τ᾽ ἐόντα, τά τ᾽ ἐσόμενα, πρό τ᾽ ἐόντα.»** [Ἰλ. Α, 70].

ρισθεῖσα, καὶ πρὸς ἑαυτὴν ἐπανελθοῦσα, καὶ καταμαθοῦσα ἐκ τῆς πρὸς τὰ καθέλκοντα ταύτην φυγῆς τὸ ἑαυτῆς ἀξίωμα, καὶ πρὸς τὸν δημιουργὸν ἀναδραμοῦσα, καὶ τὸ τούτου κάλλος θεασαμένη, κατὰ τὸ μέτρον τῆς καθάρσεως, ἢ τῆς ὡς τὸ πρῶτον ἀγαθὸν ἀναβάσεως, βίβλος δακτύλῳ Θεοῦ κεκαλλιγραφημένη γίνεται, ἔχουσα, ὡς ξυνελόντα εἰπεῖν, τούς τε ξυμπάσης ὁμοῦ τῆς κοσμοποιίας λόγους, καὶ αὐτῆς δὴ τῆς καθ᾽ ἕκαστον δημιουργίας ἐγγεγραμμένους ἅπαντας, ἀλλὰ καὶ τοὺς περὶ αὐτὸν φημὶ τὸν δημιουργὸν πολλῷ λίαν ὑψηλοτέρους, καὶ ὡς ἐκ διαμέτρου μείζονας. Καὶ ἵνα τὰ λοιπὰ παρῶ τῶν παρὰ τῷ βασιλεῖ λαληθέντων ἢ φιλοσοφηθέντων ἐν πνεύματι τῷ πατρὶ τούτῳ τούτῳ καὶ νέῳ διδασκάλῳ τῆς χάριτος, μετὰ τοὺς λόγους τούτους ἀπάρας τοῦ Βυζαντίου μετὰ τῶν ὑπ᾽ αὐτόν, καὶ τῷ Θεῷ πιστεύσας τῷ ἄγοντι τοῦτον, ὡς καὶ προείρηται, ἔθετο *ἐν θαλάσσῃ τὸ ὅρμημα* (1), *καὶ ἐπὶ πέτραν*, τὸ τραχὺ τοῦτο φημὶ νησίδιον, *τοὺς πόδας ἔστησε* (2)· καὶ ὡς ἐν νεφέλῃ καὶ γνόφῳ τῷ τῆς Παρθένου χάριτος ἀπομόργματι διαβάς, καὶ ὅλως κατακώχιμος γεγονὼς θείων ἐμφάσεων, τῶν ὑπὲρ ἐλπίδα καὶ δύναμιν ἔργων ἐφήπτετο, καὶ πόλιν ἀνεγείρει πνευματικήν, εὐπερίγραπτον μὲν τῷ διαστήματι, ἀπειρομήκη δὲ τῷ νοήματι· οὐχ οἵαν οἱ Πλάτωνες (3) καὶ οἱ κατ᾽ αὐτοὺς ἀνατυπωσάμενοι κτίζειν διέγνων, κοινῶς μὲν ταῖς γυναιξὶν ἀποχρῆσθαι, κοινοὺς δὲ τοὺς ἐξ αὐτῶν τικτομένους ἡγεῖσθαι παῖδας νομοθετοῦντες, καὶ οὓς μὲν τῶν κατ᾽ αὐτὴν τὴν πόλιν νοσούντων θεραπεύειν καὶ ἐπιμέλεσθαι, δηλονότι τοὺς εἰς σφαγὰς καὶ διεκχύσεις αἱμάτων ἑτοίμους πολεμικῶν, οὓς δὲ μὴ μόνον θεραπεύειν νοσήσαντας,

(1) Ἀμβακ. 6ʹ, 8. ἐν τῇ προσευχῇ.

(2) Ψαλμ. λθʹ, 3.

(3) Πλάτων ἐν τῷ πέμπτῳ τῶν **Πολιτειῶν** αὐτοῦ κοινὰς εἶναι βούλεται τὰς γυναῖκας. Ὁ δὲ πρὸ τοῦ Πλάτωνος νομοθέτης τῶν Σπαρτιατῶν Λυκοῦργος κοινὰς τὰς γυναῖκας ἐνομοθέτησεν, οὐμὴν ἀλλὰ καὶ τοὺς παῖδας, ἐξ ὧν τοὺς μὲν εὐπαγεῖς καὶ ῥωμαλέους τρέφειν ἐκέλευε, τοὺς δ᾽ ἀγενεῖς καὶ ἀμόρφους ἀποπέμπειν εἰς τὰς λεγομένας Ἀποθέτας [Πλούτ. **Βίῳ Λυκούργου** ΙΕʹ-Ιϛʹ].

ἀλλὰ καὶ ἀποκτιννύειν, τοὺς ἁπλῇ φημὶ καὶ ἀπερίττῳ καὶ εἰρηναίῳ διαίτῃ χαίροντας. Οὐ τοιαύτην δὴ πόλιν κτίσαι διέγνω, καὶ τοιούςδε πολίτας ἐν αὐτῇ εἰςοικίσασθαι, ἀλλ᾽ ὅλην τοῦ φιλανθρώπου Πνεύματος, καὶ ἄνδρας ἐν αὐτῇ πολιτογραφῆσαι δακτύλῳ Θεοῦ, οὐχὶ τοὺς τὰς συζυγίας ἐκ τῆς ἀπανθρώπου δῆθεν ὁμονοίας συγχέοντας, ἀλλὰ τῇ συζυγεῖ παρθενίᾳ τὸ ἓν πνέοντας, καὶ τὸ αὐτὸ βλέποντας, καὶ τοὺς ἐκ ταύτης τικτομένους παῖδας, οὐχὶ νόθως ἡγουμένους κοινούς, ἀλλὰ τὰ ἀλλήλων ἤθη πνευματικὰ οἰκειουμένους, καὶ τὰ τοῦ πλησίον εἰς ἀρετὴν ἐπιτηδεύματα ἕκαστον ὡς ἴδια στέργοντα.

Θ΄. Τοιαύτην πόλιν ἐπ᾽ ἐλπίδι τῇ κρείττονι δομησάμενος, πόνων ἀπειρίτων καὶ προῤῥήσεων καταβολῇ (τοιαῦτα γὰρ τῶν θειοτέρων ἐλπίδων [τὰ] (1) γνωρίσματα), ἔχαιρε τῷ πνεύματι, καὶ ταῖς ἐπιδόσεσι καθ᾽ ἑκάστην αὐξομένην ὁρῶν, τὸν ἐπὶ τοῖς καλοῖς εὐδοκοῦντα Κύριον ἐμεγάλυνεν. Ἀλλ᾽ οὐκ ἔμελλεν οἴσειν ταῦτα ὁ φθόνος σιγῇ, οὐδ᾽ ὁ τούτου γεννήτωρ διάβολος· ἡ γὰρ ἐπὶ τῷ καλῷ τούτῳ ἔργῳ χαρὰ τῷ δικαίῳ, λύπη τῷ ἀδίκῳ καὶ πονηρῷ καὶ πικρίας αἴτιον γίνεται. Διὰ τοῦτο, οὐδ᾽ ἐς τέλος ὁρᾶν τὴν τοιαύτην πόλιν ἀλύμαντον ἔφερε· τίς δὲ καὶ ἡ πεῖρα μεθ᾽ ἧς αὐτῇ προσέβαλε; Τοὺς τῆς Ἄγαρ ἀπογόνους καὶ ἐνταυθοῖ ἐκπέμπει πῦρ ὥςπερ Μηδικὸν (2) κατὰ τῶν παραλίων βρέμον πόλεων καὶ τῶν νήσων αὐτῶν· οἳ καὶ πολλὰ καὶ πολλαχόσε μέρη τῶν κατὰ θάλατταν, καὶ νήσους ὅλας ἡμιφλεγεῖς θέμενοι, ἢ καὶ τέλεον ἐκτεφρώσαντες, τὰ φρονήματα ἐπαρθέντες, *εἰς οὐρανὸν τοξεύειν* (3) ἐπεχείρουν, ἀναιδείᾳ καὶ τόλμῃ τρεφόμενοι. Τοῦτο τὸ κακὸν τοιοῦτον ὄν, καὶ οὕτω τῶν, οἷς πλησιάσειεν, ἐπιδραττόμενον, τοὺς ὑπὸ τὸν μέγαν τοῦτον ὑπέθρατ-

(1) Κἀνταῦθα ἐξεῤῥυηκέναι δοκεῖ τὸ ἐν ἀγκύλαις ἄρθρον. (Σημ. Ι. Σ.)

(2) Μηδικοῦ πυρὸς μνείαν ποιεῖται Λέων ὁ Διάκονος [Ἱστορ. Θ΄, σελ. 96, ἔκδ. Hase.] καὶ Κίνναμος: «**Μηδικῷ πυρὶ φλέξειν διενοοῦντο**» [Ἱστορ. ς΄, ἑ.], ἔνθα βλέπε τὰς τοῦ Δουκαγγίου καὶ Τολλίου σημειώσεις. (Σημ. Ι. Σ.)

(3) Παροιμία «**ἐπὶ τῶν διακενῆς πονούντων**» [Ζηνοβ. Γ΄, 46]. (Σημ. Ι. Σ.)

τε, καὶ ἀπαναστάσεως τῆς ἐκ τῆς νήσου βιαστικῶς ὑπεμίμνησκε, καὶ περὶ τούτου ἐντυγχάνειν τῷ διδασκάλῳ ἐβιάζετο, οὐδὲ αὐτοῦ τὰς γνώμας τὰς τῶν πολλῶν περὶ τὰς ἐπισυμβαινούσας πείρας ἠγνοηκότος, ἢ *τὸ οἰκεῖον* πεφυκότος *μόνον ζητεῖν*, καὶ μὴ τὸ τῶν πολλῶν, ὡς τὸ λόγιον (1). Ἀμέλει τοι καὶ εἰς λόγους ἐλθόντες τῷ διδασκάλῳ, καὶ περὶ ἀπαναστάσεως τῷ τέως ὑπομιμνήσκοντες, εὑρίσκουσι καὶ αὐτὸν περὶ τούτου καταπειθῆ, καὶ τὴν ἀπανάστασιν διὰ τὴν τινῶν ἐκ λογισμῶν δειλίας ἀσθένειαν περισκοποῦντα μέν, οὐκ ἐνδιδόντα δὲ τοῖς λογισμοῖς, οὐδ' αὐτὸν κατάρξαι τοῦ περὶ τούτου λόγου πρὸς τοὺς μαθητὰς ὑφιέντα, ἀλλ' αὐτοὺς προσμένοντα ἐν μέρει δεήσεως πρὸς τὸν πατέρα θέσθαι τὸ τοιοῦτον βούλημα· ὃ καὶ ποιησαμένων, οὐδ' αὐτὸς πρὸς τὸν σκοπὸν ἀπείπατο, ἀλλὰ πρὸς ἀλλήλους τεθηπότες ἦσαν οἵ τε μαθηταὶ καὶ αὐτὸς ὁ διδάσκαλος. Ὅμως δ' ἐφ' ἱκανὸν σιωπήσαντες, ἐς ὕστερον εἰς λόγους ἦλθον, καὶ παρ' ἑκάστοις ἐσκοπεῖτο ὅπως τε τὰ καθ' ἑαυτοὺς διάθοιντο, καὶ ὁποῖος ἔσται ὁ τόπος αὐτοῖς ὁ εἰς ἀναχώρησιν.

Ι΄. Συνέδοξεν οὖν ἐγγυτέρω που τῆς νήσου ἀπᾶραι, ὡς ἔχοιεν δῆθεν ταύτην ὁρᾶν, καὶ τῆς πρὸς αὐτὴν μνείαν ποιεῖσθαι ἐπαναζεύξεως. Καὶ σκοποῦσι περὶ τούτου, ἐξελέγη αὐτοῖς ἡ Εὔβοια εἰς ἀναχώρησιν, νῆσος πολυανθρωποτάτη ὁμοῦ καὶ ἱκανὴ πρὸς τὰς βαρβαρικὰς ἀντέχειν μανίας· τάχα δέ τις εἴποι καὶ θειοτέρως τῷ τούτων σκοπῷ συμβάλλεσθαι καὶ τὸ γενησόμενον, καὶ τὴν εἰς τὰ ὀπίσω δηλοῦν ἐπανάζευξιν, τὴν παλίῤῥοιαν, καὶ τοὺς εὐρίπους, καὶ τὰς ἐκεῖσε ἀμπώτιδας. Ὡς γὰρ οὐκ ἐν τῷ αὐτῷ τὰ ἐκεῖσε ὕδατα, ἀλλὰ ἄλλοτε ἄλλην τρέπεται, οὕτω καὶ οὗτοι, ἐξ οὗ τὸ πρῶτον ἐπὶ τὴν Εὔβοιαν μετανάσται γεγόνασιν, εἰς τὸ αὐτὸ καὶ πάλιν κατὰ λόγον παλιῤῥοίας ἔμελλον ἀναστρέφεσθαι. Ἐκεῖσε τοίνυν γενόμενοι προσέμενον, τῷ κοινῷ Πατρὶ καὶ Θεῷ κυβερνώμενοι, καὶ τῷ σφῶν διδασκάλῳ καὶ ποιμένι καλῶς ποιμαινόμενοι, καὶ τὴν τῶν βαρβάρων κατα-

(1) Α΄. Κορινθ· ι, 24.

στροφὴν ἐκ Θεοῦ πάντως ἰδεῖν καὶ εὐχόμενοι καὶ πιστεύοντες. Οὕτω διάγοντες, καὶ ὡς ἀρέσκον Θεῷ τὴν ἀρετὴν ὡς ἐν σίμβλῳ μέλι καλῶς ἐργαζόμενοι, τὴν ὀρφανίαν ἑαυτῶν διὰ προρρήσεως τοῦ πατρὸς ἐκδιδάσκονται, ἔτι δὲ καὶ τὰ τοῖς Ἀγαρηνοῖς μετὰ μικρὸν συμβησόμενα, καὶ ὡς τῆς ὁρμῆς τῆς κατὰ Χριστιανῶν ἤδη στήσονται, καὶ τῆς κατὰ τοῦ παντὸς καταδρομῆς οὐκ εἰς μακρὰν λήξουσι, καὶ αὐτοὶ δὲ πρὸς τὴν ἱερὰν αὐτῶν πόλιν ἐπαναζεύξειν μανθάνουσι, καὶ ὡς ἐς ἐπίδοσιν ἔσται τὰ κατ' αὐτούς, καὶ ὡς ἡ θεία μάνδρα αὐτῶν ζηλωτὴ καὶ τῶν ὀνομαστοτάτων ἀνὰ πᾶν τῆς γῆς τὸ πλήρωμα· ἃ πάντα προειπὼν ὁ πατήρ, καὶ τέλος αὐτοῖς ἐπισκήψας εἰς τὴν νῆσον αὐτὸν μεθ' ἑαυτῶν συναπᾶραι, συγκομισαμένοις καλῶς, ὡς ἐξ Αἰγύπτου τὰ ὀστᾶ Ἰωσὴφ οἱ ἐξ Ἰσραὴλ (2), καὶ τῇ γῇ παραδοῦναι, ἐν ᾗ πρώτως τὰ τοῦ Θεοῦ Λόγου γενέθλια διὰ τοῦ ἀγαθοῦ Πνεύματος τοῖς ἀνθρώποις ἐναπηχήθησαν, εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα ἐναποτίθησιν· οὗ τὰς θείας ἐντολὰς ἐκπληροῦντες οἱ κατὰ πνεῦμα παῖδες αὐτοῦ, λαθόντες πᾶσαν αἴσθησιν, μεθ' ἑαυτῶν τὸν νεκρὸν αὐτοῦ μεταναστεύουσιν, ἐπὰν ὁ Θεὸς τὴν ἀνάκλησιν αὐτοῖς καὶ τὴν πρὸς τὰ σφέτερα ἤθη ἐπανάζευξιν ἐψηφίσατο. Καὶ ἀνακομισάμενοι τὸ θεῖον σκῆνος αὐτοῦ κατατιθέασιν ἐν σορῷ ἔγγιστά που τοῦ ναοῦ (3), πρὸς τῇ δεξιᾷ πλευρᾷ, πιστεύοντες τὸν πατέρα ὑπὲρ τῶν τέκνων ἐντυγχάνειν τῷ παρθένῳ ὅσα καὶ τόνδε τῷ Κυρίῳ, ὡς εἶναι δύο τοὺς δεομένους ὑπὲρ αὐτῶν, τὸν πατέρα φημί, καὶ αὐτὸν δὴ τὸν ὑπὲρ τοῦ πατρὸς διὰ βίου παντὸς αὐτῷ πρέσβυν ἀληθῆ χρηματίσαντα.

ΙΑ'. Εἶχε μὲν οὖν ἡ νῆσος καὶ ἡ σορὸς τὸν ἀπόδημον τῶν πολλῶν ἀποδημιῶν, τὸν διὰ τὸν διδάσκαλον τὴν τοῦ σκήνους λύσιν εὑρηκότα ἀνάπαυσιν, μᾶλλον δὲ τὴν ἄνω πόλιν, καὶ τὴν τῶν πρωτοτόκων μητρόπολιν, ἧς *τεχνίτης καὶ δημιουργὸς ὁ*

(1) Γένεσ. γ', 25-28. — Ἔξοδ. ιγ', 19.

(2) Ναόν, τὸν τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου Ἰωάννου λέγει. Ἐν δεξιᾷ δ' εἰσιόντι κεῖται τὸ παρεκκλήσιον τοῦ ὁσίου Χριστοδούλου, ἔνθα καὶ ἡ λειψανοφόρος αὐτοῦ λάρναξ.

*Θεός* (1). Αἱ καθ' ἑκάστην δὲ τοῖς προςιοῦσι τῇ τοῦ σκήνους σορῷ ἐπιγινόμεναι τῶν λυπούντων ἀπαλλαγαί, τὸν ἔνδον κρυπτόμενον ἀνεκήρυττον, ὡς οὐ μόνον τοὺς τὴν ἑλλάδα ταύτην γλῶτταν αὐχοῦντας Θεοῦ θεράποντα γνήσιον καὶ χριστόφιλον ὡς ἀληθῶς ἔχειν τὸν Χριστόδουλον, ἀλλὰ καὶ πάντα Ἰταλόν, καὶ παλαιὸν Ῥωμαῖον, καὶ βάρβαρον, καὶ Ἴβηρα ὡςαύτως ἑσπέριον (2), ἔτι δὲ καὶ τοὺς τὰς Γαλλίας αὐτὰς ποιουμένους οἴκησιν, καὶ τὴν τῶν Σικελῶν νῆσον, καὶ πάσας τὰς Ὠκεανίτιδας (3), ὡς καὶ περιμάχητον τιθέναι τοὺς πολλοὺς αὐτῶν, ὅπως τὸ τίμιον τοῦτο σκῆνος ἅμα τῇ σορῷ εἰς τὴν ἑαυτῶν μεταθήσωσι· πλέον δὲ πάντων τὸν τῆς Τριναχρίας (4) δηλαδὴ τύραννον· ὃς καὶ κατὰ τὴν ἑξακιςχιλιοστὴν ἑξακοσιοστὴν [ἐννενηκοστὴν] τετάρτην τοῦ ἔτους ἐπινέμησιν (5), ἐκπέμπει τὸν ἀρχιληστὴν τῆς κατ' αὐτὸν θαλαττεμπόρου ληστείας ἐρημοῦν τὰς νήσους πάσας τὰς ῥωμαϊκάς, καὶ τὰ ἐν αὐταῖς λείαν ποιεῖσθαι καὶ ἅρπαγμα, καὶ τοὺς συνήθεις φόρους ὡς ἐξ ἑκόντων ἀπαιτεῖν παρὰ τῶν ἐν αὐταῖς προςκαθημένων, ὡς ἤδη τῇ τοῦ κυρίου αὐτοῦ νομίσει τῆς ἑαυτοῦ γεγενημένων κυριότητος· εἰ καὶ οὐκ εἰς τέλος τὸ τοῦ τυράννου ὁ Θεὸς πεπλήρωκε βούλημα, ἀλλὰ

(1) Ἑβρ. ιά, 10.

(2) Πρὸς διαστολὴν εἴρηται τοῦ ἐκ τῆς ἀνατολικῆς Ἰβηρίας. Ἔστι δ' αὕτη ἡ νῦν Γεωργία καλουμένη, μεταξὺ Κολχίδος καὶ Ἀρμενίας, ὑπὸ τῶν ὀρέων Καυκάσου καὶ Ταύρου περιεχομένη. Ἑσπερία δ' Ἰβηρία ἡ νῦν Ἱσπανία.

(3) Τὴν Βρετανίαν, Ἱέρνην, καὶ Θούλην, αἵτινες Ὠκεανίτιδες νῆσοι ἐκαλοῦντο παρὰ τῆς ἀρχαίοις [Στράβ. Δ'.].

(4) Τριναχρία ἡ Σικελία: «Ἔστι δ' ἡ Σικελία τρίγωνος τῷ σχήματι καὶ διὰ τοῦτο Τριναχρία μὲν πρότερον, Τρινακὶς δ' ὕστερον προςηγορεύθη, μετονομασθεῖσα εὐφωνότερον» [Στράβ. Γεωγραφ. ϛ'.].

(5) Κατὰ ἐννέα δεκάδας ἐστὶν ἡμαρτημένος ὁ ἐμφερόμενος χρόνος. Ἐπειδὴ γὰρ ἐν τῇ τοῦ Ἐγκωμίου ἐπιγραφῇ ἀναφέρονται τὰ ἱστορούμενα ὡς γεγονότα ἐπὶ τῆς βασιλείας Ἰσαακίου τοῦ Ἀγγέλου, πρόδηλον ὅτι ἐξ ἀβλεψίας τοῦ ἀντιγραφέως παρελείφθη ἡ λέξις: **ἐννενηκοστήν,** ἣν καὶ μηδὲν ἐνδοιάσας προςέθηκα περίκλειστον ἐν ἀγκύλαις· ταύτης γὰρ προςτιθεμένης ἕξομεν ἀντιστοιχοῦν τὸ 1186 σωτήριον ἔτος, ὅ ἐστι τὸ πρῶτον τῆς Ἰσαακίου βασιλείας. Σὺ δέ μοι ὅρα καὶ ἔμπροσθεν §. ΛΘ', ἔνθα ὁ σεσημασμένος χρόνος ἔχει ἀπταίστως. Βασιλεὺς δὲ τῆς Σικελίας ἦν τὸ τηνικαῦτα Γουλιέλμος ὁ Β', ὁ κα **Ἀγαθὸς** ἐπονομαζόμενος, ἐκ τῆς Νορμανδικῆς δυναστείας. (Σημ. Ι. Σ.)

τῆς ἀλογίστου αὐτὸν ὁρμῆς ἀνεχαίτισε λόγοις ἀνεξευρέτοις καὶ οἷςπερ οἶδεν αὐτός, τὴν ῥάβδον τὴν σιδηρᾶν οὐκ ἐγκαταλιπών, ἀλλ᾽ ἐκπυρώσει πειρασμῶν λιπάνας, καὶ κατὰ τῶν ἀνθισταμένων καὶ κατ᾽ αὐτῆς ἐπαιρομένων ἀφεὶς μετὰ δυνάμεως φέρεσθαι.

ΙΒ΄. Δασμοφορεῖν τοίνυν, ὡς εἴρηται, πεμφθεὶς ὁ τοῦ τυράννου Σικελίας ἀρχιπειρατής, συνάμα τῷ παρ᾽ αὐτοῦ λεγομένῳ δουκὶ τοῦ στόλου τοῦ τυραννικοῦ (ὃς ἀρχιπειρατὴς πατρίδα μὲν τὰ Μέγαρα ἦν εὐτυχηκώς, μίαν πόλιν τῆς Ἀττικῆς, καὶ διὰ τοῦτο καὶ Μεγαρείτης (1) προςηγορεύετο τὴν ἐκ πατέρων κλῆσιν, παντὶ δὲ ἀγελαίῳ καὶ τὴν ἑλλάδα γλῶτταν ἀκριβοῦν οὐκ ἔχοντι, Μαργαρίτης ἰδιωτικῶς, ἀλλ᾽ οὐ Μεγαρείτης ἐκέκλητο), καὶ τὸν Ἰόνιον πλοῦν περαιούμενος, εἰς τὴν νῆσον Κύπρον ἔγνω τὸν ἀπόπλουν ποιήσασθαι· ἔνθα καὶ ἀποβὰς εὗρε τὰ ἐκεῖσε πράγματα παντελῶς κυμαινόμενα, καὶ συμφορὰς ἑτέρας ῥωμαϊκὰς ἐπὶ ταῖς προτέραις ἀναφυείσας ὑπὲρ ἐλπίδα (2). Ὁ γὰρ τὰ σκῆπτρα τότε οἰακίζων τὰ ῥωμαϊκὰ Ἰσαάκιος, ὁ ἐξ Ἀγγέλων, οὑτωσὶν ἐπικεκλημένων, τὴν τοῦ γένους ἕλκων σειράν, Ἀλεξίου δὲ τοῦ ἐκ Κομνηνῶν τὴν βασίλειον κατὰ καιρὸν ἀρχὴν ἰθύναντος, οὗ καὶ πρόσθεν ἐμνήσθημεν, διςέκγονος ἐκ θυγατρός, τὴν πρὸ αὐτοῦ Ῥωμαίοις ἀναφυεῖσαν προςγενῆ ἑαυτῷ τυραννίδα καταστρεψάμενος, καὶ ἀντὶ τυράννου βασιλεὺς καὶ αὐτοκράτωρ ἔννομος ἀναγορευθεὶς Ῥωμαίων παρὰ τοῦ ἐν Βυζαντίῳ πρώτως κατοικοῦντος παντός, εἶτα καὶ παρ᾽ αὐτοῦ τοῦ ῥωμαϊκοῦ στρατεύματος καὶ πάσης τῆς ὑπὸ Ῥωμαίους ἀρχῆς, καὶ τῶν ὑπὸ τὴν αὐτῆς ἐπικράτειαν πόλεων, διέγνω στόλον εἰς τοὺς Κιττιεῖς διεκπέμψασθαι (τοὺς Κυπρίους Κιττιεῖς οἶδε

(1) **Κράτιστον τῶν κατὰ θάλασσαν πειρατῶν** καλεῖ τὸν Μεγαρείτην καὶ Νικήτας ὁ Χωνιάτης [εἰς **Ἰσαάκ. Ἄγγελον** Α΄, ε΄]. **Μαργαρίτην** δὲ ὁ τὴν ἱστορίαν τῶν σταυροφοριῶν συγγράψας Γαλάτης, προστιθεὶς καὶ ὅτι διά τε τὴν εὐφυΐαν ἐμπειρίαν τε καὶ τὰς νίκας αὐτοῦ ἐπωνομάζετο **Βασιλεὺς τῆς θαλάσσης** καὶ **Νέος Ποσειδῶν** [Michaud Hist. des Croisades, τόμ. Β΄, σελ. 340]. (Σημ. Ι. Σ.)

(2) Περὶ τῶν ἑξῆς ἱστορουμένων, τῆς τε ἐπὶ Κύπρου δηλονότι στρατείας καὶ τῶν κατορθωθέντων τῷ Μεγαρείτῃ, παράβαλε καὶ Νικήταν Χωνιάτην [εἰς **Ἰσαάκ.** Α΄, 5]. (Σημ. Ι. Σ.)

καλεῖν ὁ λόγος)· ἐφ᾿ ᾧ καὶ τὸν ἐκεῖ προτυραννήσαντα ὁμώνυμον αὐτῷ Ἰσαάκιον, τῆς τυραννίδος ἑκόντα ἢ ἄκοντα παύσασθαι, πατρὸς μὲν ὄντα τοῦ γένους τῶν [Κομνηνῶν] (1), κήδει δὲ τοῦ σεβαστοκρατορήσαντος κατὰ καιρὸν Ἰσαακίου ἐπὶ θυγατρὶ τιμηθέντα, παιδὸς τοῦ πορφυρογενοῦς Ἰωάννου καὶ Ῥωμαίων καλλίστου καὶ χρηστοῦ αὐτοκράτορος, αὐταδέλφου δὲ τοῦ μεγαλωνύμου Μανουήλ, καὶ ἐν καιρῷ ἰδίῳ ἐπὶ ὅλοις τριάκοντα πρὸς τοῖς ἑπτὰ ἔτεσι καὶ μησὶν ἓξ ὀλίγων δεουσῶν ἡμερῶν αὐτοκρατορήσαντος. Ἀλλ᾿ οὐκ ἔμελλε λήξειν τὰ κακά, ἅπερ ἑαυτοῖς ἐπεσωρεύσαμεν, ἐπαύξεσθαι δὲ μᾶλλον ἔτι καὶ ἔτι· *καθ᾿ ὅσον γὰρ οὐκ ἐδοκιμάσαμεν ἔχειν ἐν ἑαυτοῖς τὸν Θεόν, παρέδωκεν ἡμᾶς εἰς ἀδόκιμον νοῦν* (2), ἵνα οὐ μόνον ποιῶμεν, ἀλλὰ καὶ πάσχωμεν τὰ μὴ καθήκοντα.

ΙΓʹ. Τίνα οὖν τὰ ἐκεῖσε συμβεβηκότα; Αἴρουσι μὲν οἱ ἡμεδαποὶ ἐν ἀρχαῖς τὴν νικῶσαν αὐτήν, καὶ φεύγει ὁ ἀντάρτης καὶ τῆς πατρίδος καὶ τῆς Ῥωμαίων ἀρχῆς πολέμιος, καὶ καταφεύγει ἔν τινι φρουρίῳ τῶν Κιττιέων, καὶ τὴν σωτηρίαν αὐτοῦ τοῖς ἐν τῷ φρουρίῳ πιστεύεται, καὶ ἤδη δῆλος ἦν τὰ ἔσχατα πεισόμενος. Δεξιᾶς δ᾿, οὐκ οἶδ᾿ ὅθεν, αὐτῷ, καὶ ἡμῖν λαιᾶς ἐπειςπεσούσης τῆς ἐντυχίας φαίνονταί ποθεν οἱ τοῦ Σικελικοῦ στόλου ἀρχηγοὶ σὺν παντὶ τῷ ὑπ᾿ αὐτοὺς διαπλωϊζομένῳ στρατεύματι, καὶ τῷ Ἰσαακίῳ συναράμενοι, φόβον τοῖς ἡμετέροις ἐμβαλόντες, εἰς δειλίαν αὐτίκα τρέπουσιν, ἅτε κατὰ νώτων ἐπειςπεσόντες αὐτοῖς· κἀντεῦθεν ἡττῶνται κατὰ κράτος οἱ ἡμέτεροι, ἐν οἷς καὶ πολλοὶ πίπτουσι, καὶ ἐπέχονται πλείονες· μεθ᾿ ὧν καὶ οἱ ναυτικοὶ γεγονότες κατάσχετοι βιαίως ἀπήχθησαν. Τοῦ βασιλέως δ᾿ ἦσαν οὗτοι Ἰσαακίου πρὸς πατρὸς ἀνεψιός, ὃν οἶδε καλεῖν ἡ συνήθεια ἐξάδελφον, ὃν καὶ ὁ τυραννήσας Ἀνδρόνικος

(1) Προςέθηκα τὴν ἀβλεψίᾳ τοῦ ἀντιγραφέως παραλειφθεῖσαν ἐπωνυμίαν τοῦ Ἰσαακίου, ἀπὸ τοῦ Χωνιάτου λαβών, ὃς ἐκτίθησιν ἐν λεπτῷ τὴν αὐτοῦ γενεαλογίαν [Βλ. εἰς **Ἰσαάκ.** Αʹ, 5, καὶ εἰς **Ἀνδρόν.** Αʹ, 5]. (Σημ. Ι. Σ.)

(2) Ἐκ τῆς πρὸς Ῥωμ. ά, 28. (Σημ. Ι. Σ.)

ἀπὸ τῶν ὀμμάτων πεποίηκε, καὶ ὁ ἐκ τῶν τὸ ἐπίκλην Κοντοστεφάνων τὸ γένος εὐτυχηκώς, πολιὸς ἐσχάτως τὴν τρίχα, τὴν κλῆσιν Ἰωάννης, γαμβρὸς δ' ἐπ' ἀδελφῇ γνησίᾳ τῆς συζυγοῦς τῷ βασιλεῖ Ἀλεξίῳ καὶ πρώτῳ υἱῷ τοῦ πορφυρογενοῦς Ἰωάννου καὶ Ῥωμαίων, ὡς πρόσθεν εἴρηται, αὐτοκρατορήσαντος. Τούτους ἑλὼν Ἰσαάκιος ὁ τοὺς Κυπρίους βιασάμενος, ἐκπέμπει διὰ τοῦ Μεγαρείτου τῷ Σικελῷ τῆς λείας πρωτόλειον, καὶ σὺν αὐτοῖς τῶν ὀνομαστῶν ἀνδρῶν καὶ ἀνωνύμων ὡσαύτως τινάς· οὓς καὶ λαβὼν κἀπὶ ταῖς τριήρεσι ταῖς τυραννικαῖς ἐνθέμενος, σὺν δέ γε τούτοις οὐκ ὀλίγα τῶν τιμίων τῆς λείας, ἀπαίρει τῆς νήσου, μαστεύων τίνι λόγῳ καὶ ὅπως αὐτὰς ὑπαγάγηται (1) καὶ τῷ τοῦ κυρίου αὐτοῦ παραστήσῃ θελήματι. Ἔτι δὲ διὰ σπουδῆς ποιούμενος, μάλιστα δὲ τῶν ἄλλων πάντων προτιθέμενος τὸ μεθ' ἑαυτοῦ λαβεῖν τὸ τοῦ μάκαρος καὶ θείου πατρὸς Χριστοδούλου λείψανον, καὶ πρὸς τὸν ἀρχιπειρατὴν ἐν τῇ νήσῳ Σικελῶν ἀποκομίσαι αὐτό, χρῆμα πολλοῦ γε δὴ τιμώμενον καὶ πιστευόμενον ἄξιον αὐτῷ τε καὶ τῷ τούτου κυρίῳ καὶ πρωταλάστορι, καὶ σὺν αὐτοῖς παντὶ τῷ ἔθνει τῶν Σικελῶν, ἅτε τῆς φήμης τῶν καθ' ἑκάστην δι' αὐτοῦ τελουμένων θαυμασίων καταλαβούσης ὡς ἀστεροπῆς καὶ περιαστραψάσης αὐτούς.

ΙΔ'. Καταίρουσι τοίνυν ἐν τῇ Πάτμῳ, οἷα τεμένει καὶ μυστηρίων θειοτέρῳ ἐργαστηρίῳ τοῦ παρθένου καὶ Θεολόγου· οὓς οἱ μοναχοὶ ἐξ ἀπόπτου (τοιαύτης γὰρ ἔλαχε θέσεως ἡ μονή), θεασάμενοι λογισμῶν ἐγένοντο, οὐμενουν ἀμοιρούντων δειλίας, *διάνδιχα δὲ*, κατὰ τὸν εἰπόντα (2), *ἐμερμήριζον*· ὅμως τὸ τέλος ἀνέμενον ἰδεῖν ὁποῖον τὸ τῆς αὐτῶν ἀφίξεως. Ὁ Ὀκτώβριος τὴν ἑνδεκάτην μοῖραν παρίππευε, καθ' ὃν τῇ νήσῳ ἐπέβαλον οἱ

(1) Τὰς ἑλληνικὰς νήσους δηλονότι, ὡς ἀνωτέρω σελ. 176 ἔφθη εἰπών. (Σημ. Ι. Σ.)

(2) Παρὰ τὸ Ὁμηρικόν:

. . . . . . . . . . . . . . **Ἐν δὲ οἱ ἦτορ**
**Στήθεσσιν λασίοισι διάνδιχα μερμήριζεν** [Ἰλ. Α, 189].

*καί*:

. . . . . . **Τυδείδης δὲ διάνδιχα μερμήριζεν** [Ἰλ. Θ, 167].

αλάστορες, ἡμέρα δ' ἦν ἑβδόμη, ὥρα ὡσεὶ ἐννάτη· καὶ αὐτίκα τῶν νεῶν ἀποβάντες ἀνόδου ἐμέμνηντο· καί τινας τῆς μοίρας τῆς ὑπηρέτιδος πρὸς τὴν μονὴν ἀποστείλαντες ἡμιόνους αἰτοῦσιν, ὡς σφίσιν αὐταῖς ἐπικαθεσθέντες τὴν τῆς ἀνόδου βίαν ἀντισηκώσωσιν. Οἱ δὲ μοναχοί, οὐχ ὡς αἴτησιν, ἀλλ' ὡς ἐπίταξιν τὸν λόγον δεξάμενοι τὸ κελευσθὲν ἐποίουν. Καὶ λαβόντες οἱ ὑπηρέται κατῆγον τὰ ὑποζύγια πρὸς τὸν ναύσταθμον· ὧν ἐπιβάντες ὁ τοῦ στόλου δούξ, αὐτός τε ὁ Μεγαρείτης καί τινες τῶν παρ' αὐτοῖς κρειττόνων καὶ ὑψηλῶν, ὡσεί τε πτερὸν ἢ καὶ νόημα πρὸς τὴν μονήν, δι' ὁδοῦ μέντοι οὐκ εὐθείας, ἀνῆλθον· νοΐ γὰρ πανούργῳ αὐτοὶ μὲν δι' ἑτέρας ὁδοῦ, τῆς λαιᾶς δηλονότι, πλαγιάσαντες ὥδευον, τὸ δὲ στρατιωτικὸν μεθ' ὅπλων τὴν πρὸς τὴν μονὴν εὐθεῖαν βαίνειν παρήγγειλαν, τεταχότες κατὰ τάξεις αὐτούς, κοντὰ καὶ γαισὰ ἐπιφερομένους, καὶ σαρίσας ἐπὶ τοῖς ὤμοις, καὶ ξίφη ἀνὰ χεῖρας ἐπισείοντας, καὶ ἀσπίσι καὶ θυρεοῖς καταφράκτους, καὶ βλοσυρὸν βλέποντας, καὶ πάντοθεν φόβον ἐμποιοῦντας τοῖς ἐς αὐτοὺς ἀτενίζουσιν· οἷς κατὰ πρόσωπον συνηντηκότες πρώτως οἱ μοναχοὶ ἔπαθόν τε πρὸς τὴν ὄψιν, καὶ οὐ καλὰ τὰ παρὰ τῶν κυρίων αὐτῶν μελετώμενα ἐκ τῶν προοιμίων αὐτῶν ἐπεσφραγίσαντο. Οὐκ εἶχον δὲ ὅμως ὅ,τι καὶ δράσουσι, πάντοθεν τῷ φαινομένῳ περιστοιχησάντων αὐτοὺς τῶν κακῶν.

ΙΕ'. Ἦν οὖν αὐτοῖς ἐπὶ τοῖς συμπεσοῦσι καὶ ἐλπιζομένοις δεινοῖς ἐπικαλουμένη ἠρέμα ἡ τελευταία καὶ μόνη βοήθεια, ὁ Κύριος, ὁ δυνάμενος καὶ *ἐκ θανάτου ῥύεσθαι* τοὺς ἀληθῶς ἐπικαλουμένους αὐτόν (1). Ὡς οὖν εἴρηκα, ἑτέραν ὅ τε δοὺξ καὶ ὁ Μεγαρείτης βαδίσαντες μετὰ τῶν σὺν αὐτοῖς ἀπροσδόκιμοι τοῖς μοναχοῖς ἐπέστησαν, ἔτι μᾶλλον αὐτοὺς εἰς δειλίαν ἐτρέψαντο· δῆθεν δὲ θαῤῥοῦντες, καὶ τῶν τεθεισῶν παγίδων ὡς ἐρημικαὶ περιστεραὶ ὑπεριπτάμενοι, προσῆλθόν τε αὐτοῖς καὶ τὸν συνήθη δόντες ἀσπασμόν, καὶ τὴν κεφαλὴν τῷ ἐδάφει προσερεί-

(1) Ψαλμ. λϛ', 19.

σαντες κατὰ χώραν ἔστησαν. Οἱ δέ γε ἀρχηγοὶ τῆς καὶ πρὸς ἑαυτὴν διαψευδομένης ἑταιρίας, σπουδῇ κεκυφότες, μετ' αἰδοῦς πεπλασμένης τὸν ποιμένα ἑκάτερος χεῖρα χειρὶ προςλαβὼν τοῦ ἐδάφους ἀνήγειραν, καὶ ὥςπερ αὐτὸν διαβαστάζοντες οὕτω τὴν πύλην τῆς μονῆς εἰςήεσαν, ἄκραν τιμὴν εἰς αὐτὸν προςπλασάμενοι, ἐκ κακοβούλου σκέψεως, ὡς ἐς τὸ μελετώμενον λάβοιεν καταπαπειθῆ καὶ μηδὲν ἀντιλέγοντα. Ἕως μὲν τοῦ τοῦ ναοῦ πυλεῶνος ἀνεῖχον αὐτόν· στάντες δ' ἐκεῖσε, καὶ τὰς προνάους ἱκετηρίας τῷ Θεῷ καὶ τῷ ἠγαπημένῳ μαθητῇ τοῦ Λόγου ἀφοσιωσάμενοι, ἔνδον τοῦ ναοῦ ἐχώρουν αὐτοί τε οἱ ἀρχηγοὶ καὶ ὁ σὺν αὐτοῖς ξύμπας λεώς, ξυμμιγὴς ὄντες καὶ θῆρες πλέον ἢ ἄνδρες βάρβαροι. Τῶν δ' ἐλλυχνίων ᾀδομένων ᾀσμάτων, τὰς εὐχὰς ἢ προσευχὰς αὐτῶν, ὡς νόμος αὐτοῖς, τῷ Κυρίῳ προςνείμαντες, ἐκεῖθεν ἐξῆλθον καὶ ταῖς ἐν τῷ προστῴῳ τοῦ ναοῦ ἐξ ἔθους παλαιτέρου κειμέναις καθέδραις συνάμα τῷ ποιμένι ἐφεδρασθέντες, τοῦ λοιποῦ λαοῦ παρισταμένου ὡς ἕκαστος τάξεώς τε καὶ στάσεως ἔτυχεν, ἐγγυτέρω δὲ μᾶλλον τῶν μοναχῶν, ὅσοι τῇ κρείττονι μοίρᾳ τετάχαται (οἱ γὰρ λοιποί, σαββάτου ἑσπέρας οὔσης, τοὺς ἐλλυχνίους ὕμνους ᾖδον τῷ Κυρίῳ, ὡς φθάσαντες εἴπομεν), τοιῶνδε λόγων ὁ Μεγαρείτης πρός τε τὸν ποιμένα καὶ τοὺς παρισταμένους μοναχοὺς ἀπήρξατο :

ΙϚʹ. « Ἐμοὶ μέν, ὦ πατέρες, δεξιά τις τύχη προσεγένετο, » πρὸς τὸν ἐμὸν δεσπότην τὸν ῥῆγα Σικελίας ἐπιδημήσαντι, » ἄνδρα εὐεργετεῖν εἰδότα καὶ τοὺς τῶν ὑπηρετουμένων αὐτῷ » πόνους ἀξίως ἀμείβεσθαι· ὃς ἰδών με πρώτως, καὶ ἕρμαιόν τι » δόξας εὑρεῖν, οὐ πολλῶν τῶν πρός με ἐδεήθη λόγων, οὐ τοῦ » ἤθους πεῖραν λαβεῖν χρονίαν ἐζήτησεν, ἀλλ' οἷα σοφός, καὶ » μεγαλόνους, καὶ βασιλικώτατος, ἐκ μόνης, ὡς ἔοικεν, ὄψεως » προςβάλλειν ἔχων τοῖς ψυχικοῖς ἤθεσιν, αὐτίκα χειροτονεῖ » τοῦ κατ' αὐτὸν ναυτικοῦ παντὸς στρατεύματος κύριον, καὶ » τὰς πολεμικὰς καὶ θαλαττεμπόρους τῆς αὐτοῦ ἀρχῆς ναῦς » παραδίδωσι φέρειν ἔνθα βουλοίμην καὶ ὡς ἐθέλοιμι. Ἐγὼ

» δέ, καὶ τί γὰρ εἶχον ἄλλο ἐννοῆσαι εἴτε καὶ διαπράξασθαι
» πρὸς τοσοῦτον ὄγκον δωρεᾶς, ἐκ βασιλικωτάτης τῷ ὄντι δεδω-
» ρημένον μοι ψυχῆς καὶ βουλεύματος; Ἅλις εἶπον, ὦ δέ-
» σποτα, καὶ τοῦ ἐννοήματος, μὴ καὶ εἰς πεῖραν ἀδοκιμάστως
» δωρεᾶς τοιαύτης ἔλθοιμι· ἅλις τῆς πρός με βασιλικωτάτης
» εὐνοίας σου· οὔκουν ἐγὼ ἐπιγάνυμαι τοῖς ὑπὲρ ἐμέ· ὑπολέλει-
» πται τῇ βασιλείᾳ σου χρόνος, καθ' ὃν τὸ δοκίμιον δόντος μου,
» κατὰ τὴν βασιλικωτάτην σου ἐπίκρισιν, ἐφέψεται καὶ ἡ πρὸς
» ἃ καλοίμην ὑπηρέτησις· τὸ δὲ νῦν ἔχον δοθήτω μοι ὁδηγὸς
» τοῦ ἐκπλόου, καὶ τοῦ τῆς σῆς βασιλείας θελήματος ἀκριβὴς
» διδάσκαλος, ἀνὴρ τῶν παρηρτημένων σοι διὰ τῆς πρὸς σὲ
» ἀληθοῦς χρονίας πίστεως, ἀνὴρ εὖ εἰδὼς δοκιμάζειν τούς τε
» φιλοῦντάς σε καὶ τοὺς τὰ ὑπὲρ τοῦ κράτους σου οὐ μόνον
» ποιεῖν ἱκανούς, ἀλλὰ καὶ πάσχειν ἑτοίμους. Ὁ δέ γε βασιλι-
» κώτατος κἂν τοῖςδέ μου ἐξεχόμενος καὶ οὐ θέλων ἀντειπεῖν,
» ὡς μὴ καὶ εἰς δευτέρας ἔλθοιμι ἀντιθέσεις, εἴτε καὶ πλείονας,
» αὐτίκα τοῦ δεξιοῦ τῆς βασιλείας αὐτοῦ κολπώματος τουτονὶ
» τὸν ἄνδρα ἐξενεγκών, τῷ δακτύλῳ τὸν δοῦκα δεικνύς, δέδω-
» κέ μοι· ἄνδρα, οὗτινος οὐ μόνον τῆς φρονήσεως ἥττημαι (λε-
» γέσθω γὰρ τἀληθές), ἀλλὰ καὶ τῆς ὁποιασδήτινος πείρας αὐ-
» τῆς· ᾧ καὶ ὡς πατρὶ ὑφέπομαι, καὶ ὡς διδασκάλῳ ὑποτέταγμαι,
» καὶ τῶν ἐπὶ τὰ πρόσω κατευστοχῶ ἀναβάσεων».

ΙΖ΄. Ὁ δὲ δοὺξ καὶ αὐτὸς ἑτέρωθεν τὸν τούτου λόγον ἀναλαβόμενος, τὰ λοιπὰ ὀγκηρᾶς καὶ τὰ πολλὰ τῷ ψεύδει χαριζομένης διηγήσεως προσετίθει, καὶ τῷ Μεγαρείτῃ τὰ ἴσα ἀντεχαρίζετο ἐπειπών, ὡς: — « Ὁ κύριός μου ὁ ῥὴξ οὐ μάτην ἄνδρα,
» ὃν οὐ φήμη μέγαν, ἀλλὰ καὶ ἔργα πολλά τε καὶ γενναῖα πα-
» ρεστήσαντο, τῶν πάντων προέκρινε, καὶ τῆς αὐτοῦ συμπάσης
» ναυτικῆς δυνάμεως ἄρχοντα κατεστήσατο, κἂν οὑτοσὶν ἐμ-
» πειρίᾳ μακρᾷ εἰδὼς δοκιμάζειν τὰ συνεμπίπτοντα, οὐχ εὑρεῖν
» ἐν ἑαυτῷ τόπον τὸν φθόνον εἴασεν, ὃς οἶδε ταράττειν μὲν ἀν-
» θρώπους, καταστρέφειν δὲ οἰκίας ὅλας καὶ συγχέειν τὰ καλῶς

» ἔχοντα πράγματα, καὶ τὰς μακρὰς φιλίας εἰς μίση καθιστᾶν » ἀκατάλλακτα. Διὰ ταῦτα καὶ πλαγιάσας, καὶ παρὰ μέρος τῆς » διδομένης ἀρχῆς αὐτῷ παρὰ τοῦ βασιλικωτάτου κυρίου μου » στάς, ἕτερον ἐθέλειν, εἶπεν, αὐτῷ δοθῆναι εἰς ἄρχοντα· ᾧ καὶ » ὑποτετάχθαι διωμολόγησε, καὶ τὰ παρ' αὐτοῦ ἐπιταττόμενα » ἐξαγγέλλειν τοῖς συμπλέουσι πᾶσιν ὡς ἐπιτάττονται· ὃν τῆς » συνέσεως ὁ ῥὴξ ἀγάμενος, καὶ ἄνδρα κρίνας ὀρθῶς λογίζε- » σθαι, καὶ τὸ τοῦ ἑτέρου μᾶλλον ἢ τὸ ἑαυτοῦ ζητοῦντα, ἐμὲ » συμπλέξας τουτῳὶ δεξιῶς ἥνωσεν, ὡς μηδὲν ἄλλο ἡμᾶς εἶναι » ἢ ψυχὴν καὶ γλῶτταν μίαν ἐν διπλοῖς θεωρουμένην τοῖς » σώμασι ».

ΙΗ΄. Ταῦτα εἰπόντες οἱ βάρβαροι, καὶ ἀλλήλους, τό γε εἰς αὐτοὺς ἧκον, χαρισάμενοι, τοὺς μοναχοὺς εἶχον τὰ λελεγμένα ἐπαινοῦντας ἀέκοντας. Καὶ τί γὰρ ἄλλο ποιεῖν οἶδε φόβος καὶ θυμὸς βαρβαρικὸς ἐγγὺς παριστάμενος; Εἶτα παρὰ τοῦ δουκὸς καὶ ἕτερος λόγος κεκίνητο, εὐσεβείας διδοὺς ἔμφασιν. Τίς δ' οὗτος; Εἴρετο τοὺς παρισταμένους τῶν μοναχῶν εἰ ἔχοιεν εἰδέναι τίνος τῶν ὡσιωμένων Χριστῷ, ἢ τῶν δι' αὐτὸν μαρτυρικοὺς ἀνατλάντων ἀγῶνας τὸ δοθὲν αὐτῷ λείψανον, διερχομένῳ καὶ ἀποβάντι πρὸς τὴν νῆσον ποτέ, παρὰ τοῦ τὴν ἀρχιερωσύνην τῆς Ἱερουσαλὴμ κατὰ καιρὸν ἰθύναντος, τῷ τότε τῶν ἐν τῇ μονῇ ποιμαινομένων ὁδηγοῦ χρηματίζοντος (Λεόντιος (1) δὲ τῷ ἀνδρὶ τῷ ἐκ τοῦ μονήρους σχήματος ὄνομα). Τῶν παρισταμένων δὲ διαπορησάντων ἐπὶ τῷ λόγῳ, καὶ ἀγνοεῖν φαμένων ὅλως, εἷς τις ἀπεκρίνατο, — Ἐρωτηθήτω ὁ μοναχὸς Θεοδόσιος (2)· ἐκεῖνος γάρ, εἰ καὶ μὴ ἄλλος, εἰδέναι ἔχει τὰ τοῦ ζητήματος, ἐς μαθητὴν τελῶν τῷ τότε τῷ περιωνύμῳ τούτῳ ἀνδρί, καὶ ἠκριβωκὼς ἐξ ἀνάγκης πρὸ τῶν ἄλλων τὰ περὶ τοῦ λειψάνου ὡς

(1) Τέταρτος μετὰ τὸν ὅσιον Χριστόδουλον προέστη τῆς μονῆς ὁ Λεόντιος, περὶ οὗ ἴδε ἐν τῇ **Ἀναγραφῇ** τὴν ἐν τεύχει ΡΙΖ΄, ὑποσημείωσιν.

(2) Ὁ Θεοδόσιος οὗτος, ὁ καὶ μαθητὴς τελέσας τοῦ Λεοντίου, φαίνεταί μοι εἶναι ὁ αὐτὸς τῷ συγγραψαμένῳ τὸν Βίον τοῦ Λεοντίου, καὶ τὸ παρὸν εἰς τὸν ὅσιον Ἐγκώμιον.

ἀληθῶς. —Διαλαληθεὶς οὖν αὐτίκα ὁ Θεοδόσιος καὶ παραστάς, καὶ περὶ τοῦ ἀμφιλογουμένου ἐρωτηθείς, εἰδέναι, εἶπεν, ἀκριβῶς ὡς τοῦ μάρτυρος Θεαγένους τὸ λείψανον. Τοῦτο ἀκηκοὼς ὁ βάρβαρος ἐπεχάρη τε τῷ λόγῳ καὶ ἐτησίᾳ, εἶπεν, ἔσται μνήμη τιμῶν διὰ τοῦ λειψάνου τοῦδε τὸν μάρτυρα. Ταῦτα τοῦ δουκὸς μετὰ ὄγκου καὶ τῆς ἑπομένης ἀνδρὶ βαρβάρῳ ἐπάρσεως φήσαντος, ἐξαῦθις ὁ Μεγαρείτης πρὸς τοὺς μοναχοὺς λόγων ἀπήρξατο :

ΙΘ΄. « Πατέρες μου, αἴτησιν οὐ μεγάλην, οὐδὲ τῶν οἵων » βαρύνειν ἔχομεν προβαλέσθαι πρὸς τὴν ὑμῶν ὁσιότητα. Καὶ » τί λέγω ὡς ἡμεῖς τὴν αἴτησιν προβαλούμεθα; ὁ ῥὴξ αὐτὸς » δι᾽ ἡμῶν ταυτηνὶ προβάλλεται· ἡμεῖς δὲ γλῶττα τῶν θείων » λόγων ἐκείνου διαπορθμεύοντες αὐτοὺς πρὸς ὑμᾶς, ἀλλὰ » πρὸς τοῖς λόγοις αὐτοῖς καὶ τῶν ὑποσχέσεων, αἵτινες οὐ » μικραί, οὐδὲ τῶν παροπτέων εἰσὶ καὶ μὴ παρισταμένην αὐτί» κα ἐχουσῶν τὴν ἐκπλήρωσιν. Τίνες δὲ αὗται καὶ ὁποῖαι τὸ » μέγεθος; χρυσοβούλλιοι λόγοι, πείρας ἐκτὸς ἁπάσης τὰ τῆς » μονῆς διατηρήσοντες, καὶ ὡςεὶ φύλλα ῥιπῇ καὶ μόνῃ τοὺς » ἀντοφθαλμήσειν αὐτῇ βουληθέντας διασκεδάζοντες· ἔτι δὲ » κυροῦντες νῆσον ὅλην αὐτῇ πρὸς ὑπηρέτησιν, νῆσον οὐκ » ἀνώνυμον, οὐδὲ τῶν τὴν θέσιν εὐπεριγράπτων καὶ εὐκαταφρο» νήτων τὴν πρόσοδον· οὐ γὰρ φειδοῖ, καὶ ταῦτα μοναχοὺς ὑπη» ρετουμένους τῷ παρθένῳ καὶ Θεολόγῳ, καὶ τῇ ἐρημίᾳ τῇ» δε προσταλαιπωρουμένους, οἶδεν ὁ ῥὴξ εὐεργετεῖν ὁ βασιλικώ» τατος. Ἔσται τοίνυν αὕτη, ὁποίαν ἡ ὑμετέρα καὶ μόνη βου» ληθείη θέλησις· κἂν τὴν Εὔβοιαν αὐτὴν εἰς ὑπηρέτησιν ἔχειν » βουληθείητε, κἂν τὴν Κρήτην ἢ ἑτέραν τινὰ κατ᾽ οὐδὲν τῶν » εἰρημένων διαφέρουσαν, ἕτοιμος ὁ ἐμὸς κύριος, ὦ πατέρες, » πρὸς τὴν τοιαύτην αἴτησιν. Ἐγὼ ἐγγυητής· ἐγὼ τῆς δωρεᾶς » σὺν Θεῷ διαπορθμευτής· μόνον μὴ ἀνανεύσητε πρὸς τὴν » αἴτησιν, ἥτις ὑμῖν μὲν ἀβαρής, τῷ δὲ κυρίῳ τῷ ἐμῷ τῶν » ἐρασμίων καὶ πολλοῦ τιμωμένων καθέστηκεν ».

Κ΄. Οἱ δὲ μοναχοὶ πρὸς οὕτω λῆρον σαφῆ ἐκεῖνα ἀντέφερον, ὅσα αὐτοὺς μὲν εἰπεῖν ἔδει, τοὺς δὲ φανερῶς διαψευδομένους ἀκούσεσθαι, καὶ τὸ ἀπέριττον τῆς ἑαυτῶν πολιτείας παραστήσασθαι. — « Ἡμῖν μὲν ἀρκέσει καὶ εἰς τὸ ἑξῆς ὁ Κύριος, *ὁ δι-» δοὺς τροφὴν πάσῃ σαρκί* (1), ὁ καὶ μέχρι τῆς δεῦρο πλου-» σίως ἐπαρκέσας καὶ ἀνενδεῶς· καὶ ἡ πρὸς αὐτὸν ἐλπὶς ἀκαταί-» σχυντος· ὑμᾶς δὲ καὶ τὸν ὑμέτερον κύριον καλοῖς, καὶ μόνης » ἕνεκα τῆς εἰς ἡμᾶς εὐνοίας, ἀμείψαιτο· εἶτά γε, Ἀλλὰ τίς, » εἶπον, ἡ ἀνεπιβαρὴς ἡμῖν αἴτησις, ὑμῖν δὲ ὡς καὶ τῷ ὑμετέρῳ » πάντως κυρίῳ, ὡς ὑμεῖς φατέ, σπουδαστὴ καὶ ἐράσμιος; — » Οἱ δὲ λύσαντες τὴν σκηνὴν καὶ τὴν ὑπόκρισιν, καὶ τὸ τῆς *γαλῆς κροκωτὸν* (2) ἀποθέμενοι, τὸ σκέμμα ἐς μέσον ἦγον τὸ πονηρόν, ἤδη νομίσαντες τὰ βουλητέα τοῖς προλεχθεῖσιν, ὡς ἐδόκει αὐτοῖς, καταρτίσασθαι· καὶ αὐτίκα ἓν στόμα γενόμενοι, — « Ὁ » ἅγιος, εἶπον, πατήρ, δι᾽ ὃν καὶ τὸν πρὸς τὴν νῆσον ἔκπλουν » πεποιήμεθα, ὡς αὐτὸν αὐτοῖς ἐνταφίοις καὶ τῇ ἔνδον ξυλίνῃ » θήκῃ ἐς τὸν ῥῆγα καὶ τὴν νῆσον Σικελῶν μεταναστεύσαιμεν. » Τοῦτο γὰρ ἐκ πολλοῦ ὁ ῥὴξ καὶ κύριος ἡμῶν ὤδινε, καὶ μη-» δέν τι πλέον προςθήσεσθε ἀντειπεῖν· ἡμεῖς γὰρ ἑκόντων ἀε-» κόντων ὑμῶν, μεθ᾽ ἑαυτῶν, ὡς ἔφαμεν, τὸν τοῦ ἁγίου πα-» τρὸς νεκρὸν κομιούμεθα, αὐτοῦ ἐπινεύοντος· μὴ τὴν χάριν δὲ » ταύτην διδόντος ἡμῖν, οὐδὲ ὑμῶν ἐπινευόντων, τοῦτο πάν-» τως ποιῆσαι ἰσχύσαιμεν· ὥςτε μὴ ἀγωνιᾶτε, μηδὲ ἑαυτοὺς » συνθλίβετε ».

ΚΑ΄. Τοῦτο εἰς ὦτα πεσὸν τῶν μοναχῶν, καὶ τὴν φωνὴν αὐτῶν τῷ ἀπροςδοκήτῳ ἐπέδησεν. Ὅμως ὡς ἐξ ὕπνου τῆς κατ᾽ ἄκρας ἁλούσης θλίψεως ἀνανήψαντες, μάρτυρας τὰ δάκρυα τῆς ἔνδον αἰφνηδὸν ἀναφθείσης καμίνου ποιούμενοι, ἀπε-

(1) Ψαλμ. ρλέ, 25.

(2) Ἐκ τῆς παροιμίας : «**Οὐ πρέπει γαλῇ κροκωτόν**»· **ἐπειδὴ γαλῆ, κατὰ πρόνοιαν Ἀφροδίτης γυνὴ γενομένη, ἐν χιτῶνι κροκωτῷ οὖσα ἐπέδραμε μυΐ** [Ἴδε **Παροιμιογρ. Ἑλ.** τόμ. Α΄, σελ. 56]. (Σημ. Ι. Σ.)

κρίναντο·—« Ἰδοὺ πάντες ἐσμὲν ἕτοιμοι καὶ τὰς ψυχὰς προέσθαι » εὐκαίρως ὑπὲρ τοῦ συμπεσόντος ἡμῖν δυστυχήματος· πάντες » ἀπάρτι θανατῶμεν· καὶ μὴ μέλλετε, ἀλλὰ τὰ ξίφη ἡμῖν » ἐνεργὰ ἔστωσαν· ἀλλ᾽ ὡς ἰχθύας ἡμᾶς ἐνώπιον τῶν ποδῶν » ὑμῶν ἀσπαίροντας ἢ κυβιστῶντας ἀποδείξατε· οὐδὲ γὰρ ζῆν » ἡμεῖς αἱρούμεθα. Πῶς δὲ καὶ ζήσαιμεν ἄν, ἡμῶν ἀφαιρεθέν- » τος τοῦ θησαυρίσματος; ἢ τίς ὁ θρέψων ἡμᾶς, τοῦ τροφέως » ἐκλελοιπότος; πάντως οὐδείς. Μὴ ὀκνεῖτε τοιγαροῦν, μὴ » ὀκνεῖτε· εἰ δὲ μὴ τὰς χεῖρας ὑμῶν ἴσως μολῦναι τῷ ἡμετέρῳ » αἵματι βούλεσθε, ἀλλ᾽ ἐπὶ τὴν ξένην μετὰ τοῦ πατρὸς καὶ » ἡμᾶς συνάρατε. Ἀπόδημον τὸν πατέρα φιλονεικεῖτε ποιήσα- » σθαι· συναποδήμους καὶ ἡμᾶς ποιῆσαι κρίνατε· εἰ δὲ μὴ τοῦτο, » ἀλλὰ τοῖς ὕδασιν ἡμᾶς δευτέρως ἐνθάψατε, ἵνα κἂν σχοῖεν » ἡμῶν οἱ νεκροὶ παραπλέειν τῇ νηῒ τῇ τὸν νεκρὸν φερούσῃ » τοῦ μάκαρος, καὶ συναποδημεῖν τῆς συμφορᾶς αἰσθανόμενοι· » ἤ, ὅπερ κακὸν τελευταῖον, ἡμῖν δὲ τῇ συμφορᾷ καὶ τοῦτο » στερκτέον, διασπείρατε ἄλλον ἀλλαχοῦ ἐν ἀλλοδαποῖς τοῖς » ἔθνεσιν, ὡς μόνος ἕκαστος τὸν πατέρα διὰ βίου παντὸς ἀπο- » κλαιόμενος βιαιοθανατήσῃ, καὶ τὸ χρέος ἀποδῷ τῷ πατρί, ὡς » ὀφείλεται ».

ΚΒ΄. Τούτων τῶν λόγων λεγομένων παρὰ τῶν μοναχῶν οὐκ ἀδακρυτί, ὡς ἔφαμεν, καὶ θροῦ αἰρομένου παρά τε τῶν ἐκτὸς παρισταμένων τοῖς ἀλάστορσι καὶ τῶν ἐντὸς τοὺς ἐλλυχνίους ᾀδόντων ὕμνους, ὡς εἴρηται, οὓς καὶ ἡ συμπεσοῦσα συμφορὰ κατεσίγησεν, οἱ ἀλιτήριοι τοὺς παρ᾽ αὐτοῖς ἱερεῖς ἀποστέλλουσι, καί τινας τοῦ ὑπηρετικοῦ σὺν αὐτοῖς, μοχλοῖς καὶ ἀξίναις τὰς περιλαμβανούσας τὴν θήκην μαρμάρους διασπαράξοντας· οἳ καὶ βίαν προσενεγκόντες ὅτι πολλήν, ὡς καὶ τὰς μαρμάρους ἐν οὐκ ὀλίγοις συνθλάσαι τοῖς μέρεσι, τὸν τοῦ μάκαρος νεκρὸν αὐτῇ τῇ θήκῃ ἐξήνεγκαν. Καὶ τούτου διαμηνυθέντος τοῖς ἀρχηγοῖς, ἀναστάντες συνάμα τοῖς ἱερεῦσι τὴν θήκην διαβαστάσαντες, εἰς τὰς νῆας κατῆγον σπουδῇ. Οἱ δὲ μοναχοί, ἐπιρρᾶναι τὴν μέχρι

τοῦ ναυστάθμου ὁδὸν προπεμπτηρίοις βουληθέντες τοῖς δάκρυσι, καὶ τὰ τελευταῖα ἐπᾷσαι τῷ μάκαρι, παρὰ τῆς ὁπλομάχου καὶ στρατιωτικῆς δεξιᾶς τοῦ ὁρμήματος ἔστησαν, τούτου παρὰ τῶν ἀρχηγῶν τῆς ναυμαχίας παραγγελθέντος αὐτοῖς· ὃ καὶ μᾶλλον ὡς βολὶς πυρὸς εἰς τὴν καρδίαν αὐτῶν πεσόν, θερμὰ τὰ δάκρυα ῥέειν ποταμηδὸν παρεκίνησε, καὶ εἰς ἀλαλαγὴν φανερὰν αὐτίκα ἐξήνεγκε, πάντοθεν ἐν στενῷ περιστάντων τῶν πραγμάτων αὐτοῖς, καὶ πάσης ἐλπίδος ἀργησάσης ἤδη, καὶ τῶν βαρβάρων μέγα χαιρόντων, ὡς σχεδὸν ἀμογητὶ ἕρμαιον κτησαμένων τὸν μάκαρα, καὶ τὴν ὀφρὺν αἰρόντων ἐπὶ τούτῳ, ὡς τάχα ἐπὶ τῇ ἀποσυλήσει τοῦ θείου νεκροῦ καὶ τοῦ Θεοῦ εὐδοκοῦντος, ὁ Θεὸς τὸ αὐτοῦ μεγαλοπρεπῶς ἐνδείκνυσι, καὶ ὡς σύνηθες πόρον ἐν τοῖς ἀπόροις δίδωσιν. Οἱ γὰρ μοναχοὶ ἔξω πυλῶν τῆς μονῆς ἱστάμενοι, καὶ τὸν ἅγιον σπουδῇ πολλῇ παρὰ τῶν βαρβάρων εἰς τὸν ναύσταθμον βλέποντες καταγόμενον, θερμοῖς, ὡς εἴρηται, τοῖς δάκρυσιν ἑαυτοὺς κατέβρεχον· καὶ ἦσαν μέχρι τινὸς τοῦτο ποιοῦντες ὡς καὶ τὴν θήκην ἑώρων καὶ τοὺς ταύτην διαβαστάζοντας. Ἐπεὶ δὲ καὶ τῆς ἱερατικῆς αὐτῶν νηὸς ἐντὸς αὐτὴν κατέθεσαν, καὶ τέλος ἦν τοῦ ἀγῶνος τούτου, ὃν ἐπὶ σφετέρῳ κακῷ ἠγωνίσαντο, καὶ ἆθλον ἐπάξιον τῆς ἀβελτηρίας αὐτῶν καὶ κακοφροσύνης ἀπηνέγκαντο, βάδην εἰςῄεσαν τὴν μονήν, καὶ ἀθυμίᾳ πεδούμενοι τὸ δοκεῖν μικρὸν ἠρέμησαν. Εἶτα πρὸς ἔριδας καὶ ἐλέγχους τοὺς κατ' ἀλλήλων ἐτράπησαν, ὥςπερ μεθυσθέντες τῇ λύπῃ, καὶ ἄλλος ἄλλον ἐπέσκωπτε, καὶ πάντες ὁμοῦ τὸν ποιμένα, τοὺς βίους ἀλλήλων καὶ τὴν δίαιταν εἰς μέσον ἄγοντες, καὶ ἀνταπόδομα λέγοντες εἶναι τὸ γεγονὸς αἱρέσεως βίου ἅτερος θατέρῳ, ᾧ ἔτυχε πλησίον ἰδεῖν. Ἀλλὰ ταῦτα τῶν τιμῇ καὶ γήρει, πρὸς δὲ καὶ χρόνῳ προηκόντων τινὲς κατεσίγησαν, πρὸ πάντων δὲ ὁ ποιμήν, πεῖραν εἶναι τοῦ πονηροῦ δι' ἐπιτόμου παραινέσεως φάμενος, τὸ τοιαδὶ τὸν ἀδελφὸν αὐτοῦ ἕκαστον αἰτιᾶσθαι, ἵνα κἂν τῇ θλίψει ἡμῶν προςκεκρουκότες τῷ Θεῷ φανείημεν, ὡς μηδὲ τῆς δεήσεως ἡμῶν αὐτὸν εἰς-

ακούσεσθαι, ἣν ἐξ ἀνάγκης διὰ τὸ συμβὰν ἡμῖν δυστύχημα αὐτῷ προσάγειν μέλλομεν.

ΚΓ΄. Ἀμέλει τοι καὶ τῆς πρὸς ἀλλήλους ἀφέμενοι ματαίας ἐνστάσεως, ἔνδον τε τοῦ ναοῦ ἐχώρουν, καὶ τοῦ ξύλου κρουσθέντος, τῶν πρὸς τὸ θεῖον ἀπήρχοντο δεήσεων, ταύτας ὡς ἱεράν τινα σχοῖνον τοῦ ὄντως Θεοῦ καὶ τοῦ ὡς ἀληθῶς αὐτοῦ θεράποντος ἐξαψάμενοι, τοῦ σκοποῦ οὐ διήμαρτον, ἀλλὰ πρὸς ἑαυτοὺς διὰ τοῦ Δεσπότου αὐτὸν ἀνειλκύσαντο, κρεῖττόν τι ἢ ποτὲ οἱ Ἐφέσιοι βουλευσάμενοι. Ἐκεῖνοι γάρ, ὡς ἱστόρηται, καὶ κατὰ τῆς σφῶν πόλεως τοῦ Κροίσου (1) ἐκστρατεύσαντος, σχοῖνον ἐξαψάμενοι τοῦ ναοῦ τῆς κατ᾽ αὐτοὺς θεᾶς Ἀρτέμιδος, καὶ ἕως τῶν τῆς πόλεως ἐπάλξεων φέροντες, ἐκεῖσε τὰ πέρατα τῆς σχοίνου ἐκδέουσιν, ὡς ἡ θεὸς πρὸς ἑαυτὴν τὴν πόλιν ἀνέλκουσα, κακῶν ἐξάντη διαφυλάξειε καὶ τῆς ἠπειλημένης ἁλώσεως. Ἀλλ᾽ οὗτοι μὲν διεψεύσαντο, καὶ τῆς ἐλπιζομένης σωτηρίας διημαρτήκασιν, ὅτι οὐδὲ πρὸς Θεὸν ζῶντα τὰς ἐλπίδας σφῶν ἀνηρτήκασιν· οἱ δὲ μοναχοὶ ἐν ἀκαρεῖ ἀπώναντο τῆς βουλεύσεως, καὶ ἑαυτούς, καὶ τὴν πνευματικὴν αὐτῶν πόλιν, καὶ τὸν σφῶν πατέρα χειρῶν βαρβαρικῶν ἀνεσώσαντο.

ΚΔ΄. Εὔχοντο τοίνυν, ὡς καὶ ἐβουλεύσαντο, τῶν δεήσεων· ἠκούοντο καὶ οἱ ἱερεῖς ἐκεῖθεν τῶν βαρβάρων κατὰ τὰς πατρίους αὐτῶν παραδόσεις ἀλαλαγὴν εὐχαριστήριον οὐχ ἱκετήριον ποιούμενοι· ἤδη γὰρ εἶχον, ὡς αὐτοῖς ἐδόκει, τὸ αἰτηθέν, καὶ οὐκέτι περὶ ἀπολήψεως τοῦ ζητήματος, ἀλλὰ περὶ φυλακῆς αὐτοῦ, ὡς ἐννοεῖν ἐστιν, ἐδέοντο. Ἤτουν μὲν οὖν οἱ ἀφαιρεθέντες ἢ ἀφαρπασθέντες τὸν θησαυρόν, εὐχαρίστουν οἱ ἀδίκως κτησάμενοι τὰ ἀλλότρια, καὶ νικῶσι πάντως ἐν Θεῷ οἱ τὸ ἴδιον αἰτούμενοι· νικῶσι δε ὧδε. Ἐξήρετο μὲν ἔτι καὶ ἔτι ἡ δέησις, καὶ τὰ δάκρυα ἀντεσηκοῦντο τοῖς θαλαττίοις ῥεύμασι τοῖς τὰς βαρ-

(1) Οὕτω διωρθωσάμην τὸ τοῦ χειρογράφου ἡμαρτημένον: **Ξέρξου**, ὅπως ἔχει τὸ ἱστόρημα παρ᾽ Ἡροδότῳ Α΄, κς΄. (Σημ. Ι. Σ.)

βαρικὰς νῆας βαστάζουσι. Καὶ τί γίνεται; αἱ μὲν κραυγαὶ τῶν δεήσεων εἰς κτύπους φοβεροὺς καὶ ῥηξικαρδίους βροντὰς μετατρέπονται, τὸ δὲ δι᾽ αὐτῶν προϊὸν πνεῦμα, ἢ αὐτὰς διαχέον ὁμοῦ καὶ εἰς ἀέρα ἀναῤῥιπίζον, εἰς πνεύματα ἄγρια καὶ μικροῦ δεῖν διαῤῥῆξαι τὰς νῆας φιλονεικοῦντα, τινὰς δὲ καὶ διαῤῥήξαντα· τὰ δάκρυα δὲ εἰς χαλάζας ἀνυποίστους καὶ ῥαγδαίους ὄμβρους τῷ βάρει καὶ τῷ πλήθει αὐτάνδρους τὰς νῆας καταβαπτίζοντα. Τί γοῦν οἱ θρασεῖς καὶ ὑπέρογκοι, καὶ πάντα τῇ θελήσει μόνῃ ποιεῖν νομίζοντες; *λύκοι χανόντες* (1) μάτην ἔστησαν, καὶ ὡς ὄντως ἁμαρτήσαντες εἴσω τῶν ἰδίων ἀμφιβλήστρων συνελήφθησαν, καὶ τοῖς δρωμένοις γνόντες ὅπως ἐσφάλησαν, καὶ οἷ κακῶν οἴχεσθαι ὅσον ἤδη κεκινδυνεύκασι, τοὺς πρὸ μικροῦ ὡς οὐδὲν λογιζομένους καὶ περιορωμένους οἷά τι τῶν ἀχρησίμων σκευῶν, ἢ καὶ μισουμένους, οἷον ὡς καὶ μικρὸν προθυμουμένους τῷ αὐτῶν ἀντιπεσεῖν σκαιῷ βουλήματι, τοὺς μοναχοὺς δηλαδὴ ἐκάλουν εἰς βοήθειαν· *πληγέντες γὰρ νοῦν ἔλαβον* (2), καὶ ἔγνων τίνες μὲν οἱ περιορώμενοι, καὶ ἐν τίσι παρὰ Θεῷ τετάχαται, τίνες δὲ οὗτοι οἱ θρασυκάρδιοι, καὶ τῇ νομίσει τὰ κατ᾽ αὐτοὺς πιστεύοντες. Καὶ αὐτίκα πέμπουσι τινὰς τῶν ὑπ᾽ αὐτούς, λέγοντας: — «Ἔλθετε, ὦ πατέρες, ἔλθετε· χωρεῖτε σπουδῇ ἀναληψόμενοι ἐς ἑαυτοὺς τὸν τοῦ ὑμετέρου ἁγίου πατρὸς νεκρόν».

ΚΕ΄. Ἐν τοσούτῳ δὲ αἱ τριήρεις τε τῶν βαρβάρων καὶ οἱ τέρμονες (3), ἀλλὰ καὶ τὰ λέμβη αὐτὰ καὶ αἱ βάρεις, τῶν κάλων

(1) Παρὰ τὴν παροιμίαν: **«Λύκος ἔχανεν· ἐπὶ τῶν τῆς ἐλπίδος ἀποτυγχανόντων· οἱ γὰρ λύκοι ἀθηρίᾳ περιπεσόντες χαίνουσι διερχόμενοι»** [Διογενειαν. ς΄. 20]. (Σημ. Ι. Σ.)

(2) Ἴδε τὰ περὶ τοῦ παροιμιώδους τούτου σημειωθέντα μοι ὄπισθεν ἐν τῇ **Ὑποτυπώσει,** σελ. 83. (Σημ. Ι. Σ.)

(3) **Ζέρμωνες** καλοῦνται ἐν τῷ Ἀλεξίου τοῦ Κομνηνοῦ χρυσοβούλλῳ, ὅπερ ὅρα ὄπισθεν μετὰ τὸν Πρόλογον· **Σέρμωνες** δὲ παρ᾽ Ἄννῃ τῇ Κομνηνῇ [**Ἀλεξ.** Γ΄, σελ. 91]. Ἦσαν δ᾽ οὗτοι πλοῖα πολεμικά, **Δρομώνια** ὑπὸ Κωνστ. τοῦ Πορφυρογεννήτου καλούμενα [**Περὶ διοικήσ. τῆς βασιλ.** νά.] καθ᾽ ὑποκορισμὸν τοῦ ἀρχαίου: **Δρόμωνες,** ἐξ οὗ παρέφθαρται ἴσως τὸ ἀνωτέρω ὄνομα. (Σημ. Ι. Σ.)

ἀκίχητα, ὡς μὴ καὶ εἰς πεῖραν ἔλθοιεν κακῶν ἐσχάτων, καὶ ἐκροφήσαιεν τὸν τρυγίαν τῆς κατ᾽ αὐτῶν ὀργῆς τοῦ Θεοῦ· ἑτέρῳ δέ, ὡς διὰ τῆς ἐν μέσῳ ἀνωμάλου τούτοις τὸ δοκεῖν τοῦ καιροῦ παρεκτάσεως, καὶ τῆς δι᾽ αὐτῆς παντελοῦς ἀπραξίας αὐτῶν, ἕτερόν τι χρηστὸν καὶ ψυχῶν, οἶμαι, οὐχὶ δύω, ὥς γε προϊὼν ὁ λόγος δηλώσειεν (1), ἀλλὰ καὶ πολλῶν σωτηρία πραγματευθήσεται, καὶ καλὸν ἐπὶ τῷ καλῷ γενήσεται. Πῶς γὰρ οὐκ ἔμελλεν ὁ τῆς αἰχμαλωσίας ἀπολυθεὶς πατὴρ ἡμῶν διὰ τοῦ Κυρίου, ἢ ἑαυτὸν ἀπολύσας ἅτε καὶ διὰ βίου παντὸς ἑαυτὸν τῶν βαρβάρων διατηρήσας παθῶν ἐλεύθερον, καὶ τῆς ἁμαρτίας, τῆς χώρας φημὶ τουτωνί, οὐχὶ καὶ συζυγίαν ἐν Θεῷ τὸν συζυγῆ δεσμὸν ἀληθῶς σώζουσαν (2), αἰχμάλωτον ἀπαχθεῖσαν ἢ ἀπαγομένην, καὶ τῇ αὐτὸν πλουτούσῃ νήσῳ πολίτην καὶ φύλακα προσοκείλασαν, τῆς αἰχμαλωσίας ἐπανασώσασθαι;

ΚΗ΄. Ἄνωθεν τοίνυν διηγητέον τὰ τοῦ πράγματος ἢ μᾶλλον, τὸ ἀληθὲς εἰπεῖν, τὰ τοῦ θαύματος. Νῆσός τίς ἐστιν ὡς πρὸς τὴν Ἀσίαν ἀποβλέπουσα, ἐγγυτέρω τῆς γῆς που τὴν θέσιν ἔχουσα· Μάκρη τῇ νήσῳ τὸ ὄνομα (3). Ἐν ταύτῃ ἀποβάντες οἱ ἀλάστορες, καὶ λείαν τὰ προστυχόντα σωμάτιά τε καὶ ὑλαῖα παντοῖα χρειώδη καὶ ζωαρκῆ τοῖς τὴν νῆσον κατοικοῦσι ποιησάμενοι, καὶ μετὰ τῶν ἄλλων καὶ συζυγίαν τινὰ εὐγενῆ καὶ τῶν εὖ γεγονότων τὸ γένος ἕλκουσαν ἀνελόμενοι, καὶ τὴν διὰ μέ-

(1) Γρ. ἴσως: **Δηλώσει.**

(2) Ὑπαινίττεται ἴσως ὁ λόγος τοῦ θρησκευτικοῦ δόγματος τὸ διάφορον. (Σημ. Ι.Σ.)

(3) Κατὰ τὸν ἐκ Κύπρου πρὸς τὴν Πάτμον ἀνάπλουν, τὰς ἐν μεθορίῳ τῆς Παμφυλίας καὶ Λυκίας παραπλέοντι Χελιδονίας νήσους (τανῦν: Χελιδόνια), κεῖται νησὶς προσεχὴς τῇ Μεγίστῃ, **Μάκρις** μὲν παρὰ Πλινίου [Hist. Natur. V, 35], **Μάκαρα** δὲ παρὰ Στεφάνου τοῦ Βυζαντίου, καὶ κοινῶς νῦν **Μακριὰ** λεγομένη. Ἀλλ᾽ ἐπειδὴ οὐδαμοῦ τῆς νησῖδος ὁρῶνται ἴχνη κατοικισμοῦ, κατὰ τὰ παρὰ Μεγιστέων πεπληροφορημένα μοι, εἰκὸς οὐκ ἄλλην εἶναι τὴν ἐνταῦθα μνημονευομένην νῆσον, ἢ τὴν κατὰ τὴν Ῥοδίων περαίαν ἐν τῷ τοῦ Γλαύκου κόλπῳ, ἀριστερᾷ τῷ εἰςπλέοντι εἰς τὸν λιμένα κειμένην **Παλαιὰν Μάκρην**, ἐν ᾗ πολλὰ καὶ λόγου ἄξια φαίνονται ἐρείπια, καὶ ἀφ᾽ ἧς καὶ αὐτὸς ὁ κόλπος ὁμωνύμως καλεῖττι νῦν: **Κόλπος τῆς Μάκρης**· ἀλλὰ δὴ καὶ ἡ τὴν τοποθεσίαν τῆς ἀρχαίας Τελμισσοῦ κατέχουσα σήμερον πόλις **Μάκρη** λέγεται. Περὶ δὲ τῆς Μεγίστης ἔπιθι τὰ σημειωθέντα μοι ἐν τεύχει ΟΕ΄ τῆς **Ἀναγραφῆς.** (Σημ. Ι.Σ.)

σου διοδεύσαντες κέλευθον, καὶ ὅσα ἐδόκει αὐτοῖς καταπραξάμενοι, τῇ Πάτμῳ καταίρουσι, λείαν καὶ ἀπ᾽ αὐτῆς τὸν μέγαν ἐν πατράσι Χριστόδουλον θέσθαι ἐν ἑαυτοῖς διατυπωσάμενοι. Καὶ δῆτα κατάρασι, τὸ μελετώμενον εἰς πέρας ἐκβῆναι αὐτοῖς ἐσπουδάζετο· καὶ γεγονόσι τοῦ πράγματος, καὶ τῶν ἐν ποσὶν ἁπάντων καταφρονήσασι, λαθὼν ὁ Νικήτας (τοῦτο γὰρ ἦν ὄνομα τῷ ἀνδρὶ), σὺν οὐκ ὀλίγοις ἄλλοις τῶν αἰχμαλώτων φυγὰς ᾤχετο, τὴν ὁμευνέτιδα παρὰ τοῖς βαρβάροις καταλιπών, καὶ πανημέριον ἐν ταῖς ἐκεῖσέ που τῆς νήσου καταδύσεσιν ὀχυροτάταις πεπιστευκὼς ἑαυτόν, νυκτὸς ἱκέτης ἐλεεινὸς πρὸς τὴν μονὴν καὶ τοὺς μοναχοὺς ἐκτρέχει τῆς καταδύσεως. Οἱ δὲ (καὶ τί γὰρ ἄλλο ἢ μοναχοί, καὶ τὴν ψυχὴν τιθέναι ὑπὲρ τῶν ἀδελφῶν μελέτημα καθ᾽ ἡμέραν ποιούμενοι;), καὶ προςδέχονται, καὶ θαρῤεῖν αὐτὸν ἐγκελεύονται· καὶ ἢ μὴν ἑαυτοὺς ἀπαξαπλῶς καταπροδοῦναι ξύμπαντας ἀντ᾽ αὐτοῦ πιστοῦνται τοῖς ἀλάστορσιν, ἢ αὐτὸν καταμηνῦσαι τοῖς μιαιοφόνοις, εἰ καὶ βίαν τὴν ἐσχάτην αὐτοῖς ἐπαγάγωσι. Θαῤῥεῖ ἐπὶ τούτοις ὁ ἀνήρ, καὶ περὶ τῆς συζύγου λόγον εἰς μέσον προτίθησι, καὶ πᾶσαν τὴν σκηνὴν καταλέγει τὴν τῶν βαρβάρων, καὶ ὅπως αὐτοὺς αἰχμαλώτους τῆς κατοικουμένης νήσου ἀπήγαγον, καὶ τέλος αἴτησιν τὴν τελευταίαν ἐπάγει, εἰς πειθὼ βυθίους στεναγμοὺς ἐκ κατωδύνου καρδίας προπέμπων· ἡ δὲ αἴτησις, καὶ μέχρι τῶν βαρβάρων κατελθεῖν καταξιῶσαι τινὰς ἐκ τῶν προὐχόντων τῆς ἀδελφότητος, καὶ ὤνιον θέσθαι μεθ᾽ ἱκετείας τὴν σύζυγον, μηδενὸς φεισαμένους, μὴ χρυσοῦ, μὴ τῶν αὐτοῖς ἑτέρων ἐρασμίων ὑλῶν, μὴ δεήσεων, ὅσαι ψυχὰς βαρβάρων δύνανται καταθραῦσαι.

ΚΘ΄. Οἱ δὲ μοναχοὶ κἀν τούτῳ τὰ πιστὰ τῷ ἱκέτῃ διομολογήσαντες, καὶ θαρρεῖν παρακελευόμενοι πέμπουσιν οὓς εἶχον καὶ τῷ λόγῳ καὶ τῇ ἀρετῇ καὶ τῷ χρόνῳ προήκοντας, ὡς ἀμφοτέρωθεν ἔχοιεν εἰς πειθὼ καὶ αἰδὼ τοὺς βαρβάρους μεταβαλεῖν, τὴν μὲν ἀρετὴν καὶ τὸ γῆρας αἰδεσθέντας, καὶ τῷ λόγῳ νῶτα δόντας τὰ τῆς καρδίας, καὶ τὸ βάρβαρον τέως ἐν τούτῳ ἀποθε-

μένους. Οἳ καὶ καταλαβόντες τὸν ναύσταθμον, αἰδοῖ καὶ συνέσει ἱκέται γίνονται, καὶ εἰς λόγους τῷ Μεγαρείτῃ καὶ τῷ δουκὶ συνέρχονται μέν, οὐ πείθουσι δέ· λίθου γὰρ παντὸς ἀτεγκτοτέρους εὕραντο, καὶ τὴν φυσικὴν ὠμότητα ἐπὶ τὸ μᾶλλον ὠμὸν ἐπαυξήσαντας, καὶ παντελῶς ἀπαναινομένους, τό γε εἰς αὐτοὺς ἧκον, λύτροις ἢ ζωαγρίοις, ἢ ἄλλως πως τὴν γυναῖκα τῆς αἰχμαλωσίας ἀφεῖναι. Ἀλλ᾽ *ὁ πάντα ποιῶν καὶ μετασκευάζων* πρὸς ὃ βούλεται, καὶ *ἀποκαλύπτων βαθέα καὶ ἀπόκρυφα* (1), καὶ τὴν τῶν θηρῶν καὶ μιαιοφόνων ἀνδρῶν ἀγριότητα μεταβάλλων εἰς ἡμερότητα, αὐτὸς καὶ τῶν δειλαίων τουτωνὶ βαρβάρων, καὶ ὡς ὕδωρ ἐκχέειν αἵματα ἐθισθέντων τῶν ἐν μηδενὶ μηδὲν ἠδικηκότων αὐτούς, κάμπτει τὸ δυςπειθὲς ἢ παντελῶς ἀπειθές· ὁ δὲ τρόπος ὅδε:

Λ΄. Ἐξαπορηθέντες οἱ μοναχοὶ καὶ μὴ ἔχοντες ὅ,τι καὶ δράσωσι πρὸς ψυχὰς βαρβάρους, καὶ αὐτὸ μόνον εἰδυίας ἐκ μακρᾶς μελέτης, τὸ κακοποιεῖν, ἑτέραν ἐτράποντο (εὐδοκία δὲ τοῦτο πάντως Θεοῦ)· καὶ εἰςίασι τὴν τριήρη τὴν τὸν τοῦ σεβαστοκρατορήσαντος Ἰωάννου υἱὸν Ἀλέξιον τὸν ἀπὸ ὀμμάτων φέρουσαν τῷ Σικελίας κατάρχοντι, ὡς προείρηται, παρ᾽ Ἰσαακίου τοῦ τοὺς Κυπρίους βιασαμένου ἀπεσταλμένον εἰς ἕρμαιον, ἢ μᾶλλον εἰς μέλπηθρον καὶ ἐς τρυφῆς καταγέλωτα. Εἰςίασι δὲ τὴν τριήρη ἐπεσκεμμένως, ἐφ᾽ ᾧ μεσίτῃ τούτῳ εἰς τοὺς βαρβάρους χρήσασθαι, οἷα τιμωμένῳ παρ᾽ αὐτοῖς ὡς ἀνδρὶ μεγίστῳ καὶ εὐγενεῖ, καὶ ἐπὶ ἀνδρείᾳ καὶ πολεμίοις ἔργοις μέγα κτησαμένῳ ποτὲ ὄνομα. Καὶ εἰσελθόντες προςπίπτουσί τε αὐτῷ, δι᾽ ὃ προςῆλθον ἀπαγγέλλουσι, καὶ εἰς μεσίτας τοῦ μὴ ἀτέλεστον αὐτῶν τὴν ἱκετείαν καταλιπεῖν αὐτοὺς παριδόντα, τόν τε Ἠγαπημένον τῷ Κυρίῳ, υἱὸν ὡς ἀληθῶς τῆς ἐν θεολογίᾳ βροντῆς, καὶ αὐτὸν δὴ τὸν μάκαρα καὶ ἐν ὁσίοις Χριστόδουλον ἄγουσιν. Ὁ δὲ θαῤῥεῖν ἐπ᾽ αὐτῷ ἔφησε, καὶ τὸ ἐπ᾽ αὐτῷ οὐκ ἀτέλεστος, οὐδ᾽ ἀτελεύτητος ἡ σφῶν αὐτῶν ὡς οὐδὲ

(1) Ἀμὼς ε΄, 8, καὶ Δαν. 6΄, 22. (Σημ. Ι. Σ.)

παροπτέα ἐσεῖται ἡ δέησις. Καὶ δὴ δεξιᾷ χρησαμένου τοῦ ἀνδρὸς τῇ πρὸς τοὺς βαρβάρους παρακλήσει, εἰς ἔργον ἐξέβη τὸ αἰτηθέν, καὶ ἡ τοῦ Νικήτα σύζυγος χρυσοῦ ἀπελύετο τοῦ μέσον ἀμφοῖν τοῖν μεροῖν συμπεφωνημένου, ἐπιβληθείσης εἰς ἐπιτίμημα καὶ τῆς τοῦ εἰρημένου ἀνδρὸς εὐγενοῦς μεσιτείας, τῆς καὶ δρασάσης τὸ πᾶν ἢ ὁ δοθεὶς παρὰ τῶν μοναχῶν χρυσὸς εἰς ἀπόδοσιν. Ὁ γοῦν θαυμαστὸς οὑτοσὶν Ἀλέξιος, πρὸ τοῦ εἰς λόγους ἐλθεῖν τοῖς βαρβάροις περὶ τῆς ἀποδόσεως ἢ ἀπολύσεως τῆς τοῦ Νικήτα γυναικός, ἡσυχίαν ποιησάμενος νεύματι (οὐ γὰρ ὀφθαλμῷ), καὶ ἀπεῖναι πάντα προστεταχὼς ἕτερον ὅτι μὴ μόνους τοὺς μοναχοὺς ἀπολαβὼν αὐτούς, τὴν τῶν βαρβάρων περὶ τοῦ λειψάνου τοῦ ὁσίου ἐν ἀποῤῥήτοις διεσάφησε μεταβούλευσιν· ἡ δὲ ἦν, ὡς κοινῇ καὶ πάλιν διασκεψάμενοι, καὶ βαρβαρωδῶς τῷ γεγονότι θαυμασίῳ προςβαλόντες, καὶ οὐδὲν πλέον τῶν συνήθων γενέσθαι νομίσαντες (ἢ γὰρ ἄν, φασί, καὶ τῆς νήσου αὐτῆς ἀπᾶραι τῷ θαύματι ἐξεγένετο), αὖθις καὶ δευτέραν ἀπαγαγεῖν βεβούληνται, καὶ τὸν ἅγιον εἰς τὰ σφέτερα ἤθη καὶ Σικελίαν αὐτὴν μετακομίσειν.

ΛΑ΄. Ταῦτα οἱ μοναχοὶ ἐνωτισάμενοι καὶ τὴν καρδίαν πληγέντες, μηδὲν πλέον προςθέμενοι, ἀλλὰ προςειπόντες τῷ θαυμασίῳ ἀνδρὶ τὰ ἐξιτήρια, καὶ τὰ κρείττω ὑπερευξάμενοι, ποδὶ ὀξυτέρῳ τὴν μονὴν φθάνουσι. Καὶ εἰςελθόντες (ὥρα δὲ ἦν ἡ δεκάτη), εὑρίσκουσι τὸν ποιμένα ἐπὶ τραπέζης μετὰ τὰς ἐλλυχνίους ᾠδὰς συνευωχούμενον τῇ ἱερᾷ ἀδελφότητι, καὶ ὅσα δῆτα μέσον αὐτῶν καὶ τῶν βαρβάρων κατεπράχθη, καὶ οἷς λόγοις τοῖς αἰχμαλωσίας τὴν γυναῖκα ἐλύσαντο ἀπαγγέλλοντες, καὶ ὡς αἰτιώτατος ξυμπάντων τῶν ἐπὶ τῷ συμφέροντι καὶ τῇ τῆς γυναικὸς ἀφέσει ὁ εἰρημένος εὐγενὴς ἀνὴρ ἐγένετο διηγησάμενοι, τελευταῖον εἰς οὓς αὐτῷ ἐνηχοῦσι τὸ ἀπηχὲς τῶν ἀλαστόρων βούλημά τε καὶ βούλευμα, προςθέμενοι, ὡς ὁ τοῦ κρατοῦντος ἀνεψιὸς (τὸν παρὰ τῇ συνηθείᾳ *ἐξάδελφον* τοῦτο δηλοῦν ἐθέλει, ὡς καὶ προλέλεκται) ἐχεμυθῶν, τὸ παρὰ τῶν βαρ-

βάρων κυρωθὲν μετὰ περιωδυνίας ἡμῖν ἀπήγγειλεν. Ὁ δὲ ποιμὴν καταφυγὴν κἀν τούτῳ τὸν Ὕψιστον θέμενος, δυοῖν διετάξατο τῶν ἀπαγγειλάντων, τὸ βαρὺ τοῦτο ἀπήχημα τοῖς λοιποῖς τῶν ἀδελφῶν ἐς τὸ οὖς ἀνειπεῖν, ἄνωθεν κατιοῦσι τῆς τραπέζης καὶ μέχρις αὐτοῦ τοῦ πέρατος, τὴν καρδίαν τε προςειπεῖν αὐτοῖς στηρίξαι, καὶ πάντα διαλογισμὸν ἀφεμένοις, ἑαυτοὺς ἑτοιμάσαι κἀν τῇ νυκτὶ ταύτῃ τοῦ Θεοῦ δεηθῆναι.

ΛΒ΄. Οἱ δὲ τὴν συνήθη πειθώ, ἀλλὰ μὴν καὶ τὴν ὑπακοὴν τῷ προεστῶτι κἀν τούτῳ δεικνύμενοι, ἔθεον αὐτίκα πυλῶν εἴσω τοῦ ἱεροῦ· καὶ τοῦ ξύλου κρουσθέντος, ὡς καὶ τοῖς βαρβάροις δῆλα ᾗ τὰ τῆς εἰς Θεὸν ἐντεύξεως,τῶν θείων ὕμνων ἀπάρχονται μιᾷ τῇ γλώττῃ καὶ νοῒ τῷ αὐτῷ, ὡς περιηχεῖσθαι μὲν τὸν ἀέρα ταῖς φωναῖς καὶ καθαγιάζεσθαι, τὸν ναὸν δὲ τῇ τῶν φώτων αὐγῇ καταπυρσοῦσθαι καὶ περιαστράπτεσθαι, τὸν Θεὸν δὲ τῇ ὁλοψύχῳ δεήσει τῶν δεομένων ἐπικλινῆ γενέσθαι αὐτίκα καὶ τέλος θεῖναι τῷ αἰτήματι αἴσιον,ὡς μηδ᾽ ἀναμεῖναι καὶ ἐς τέλος ἀπιδεῖν τὰ τῆς δεήσεως καὶ τὰ τῶν ὕμνων αὐτῶν, ἀλλὰ διακόψαντα τὴν συνέχειαν ὁρᾶν καὶ ἀκούειν πεῖσαι τοὺς πρὸ μικροῦ κατηφεῖς τῶν ἐξαισίων τῆς θείας αὐτοῦ δυνάμεως, ἄρτι τοῦ ὑστάτου τριτημορίου τῆς νυκτὸς δεκάτην μοῖραν ὁδεύοντος. Εὖρος γὰρ ἐπιπνεύσας δεξιὸς εἰς ἀπόπλουν τοῖς αἰτοῦσι βαρβάροις, πάντων τῶν κατὰ νοῦν ἐπιλαθέσθαι πείθει αὐτούς· καὶ φανοῖς καὶ πυρσοῖς τὴν νυκτερινὴν διαλευκαίνοντες ἔξοδον, τῆς νήσου ἀπαίρουσι, μηδ᾽ εἰς νοῦν βαλλόμενοι ἃ πρὸ μικροῦ σκαιὸν ἐποιοῦντο μελέτημα,μηδ᾽ ὅ,τι αὐτοῖς ἐκ συνθήματος ἐψήφιστο, καὶ αὖθις μεθ᾽ ἑαυτῶν ἀναλαβέσθαι τὸν μάκαρα· ὁ γὰρ τοῦ Χριστοδούλου Θεός, καὶ τῶν ἐν χερσὶ πάντων ἐπιλαθέσθαι αὐτοὺς πεποίηκε, καὶ ἑνὸς γενέσθαι, τῆς εἰς τὰ σφέτερα ἔθη ἀναγωγῆς.

ΛΓ΄. Ἔγνων οὖν οἱ μοναχοὶ ἐκ τῆς ἀνάρθρου ἀλαλαγῆς τὴν αὐτῶν ἀναχώρησιν, καὶ πυλῶν τῶν τοῦ ναοῦ καὶ τῆς μονῆς ἐκτὸς γεγονότες, κἂν οὐχ οἱ πάντες, καὶ ἰδόντες ὅπου καὶ μεθ᾽ οἵας ὁρμῆς καὶ σπουδῆς τῆς νήσου ἀνεκομίζοντο, πάντων

ἀφέμενοι, καὶ ἀμνηστίαν πεπονθότες ἐσχάτην τῶν σκαιῶν ὁμοῦ καὶ πονηρῶν αὐτῶν βουλευμάτων, καὶ τῆς δι' ἣν κατᾶραι πρὸς τὴν νῆσον μεμελετήκασιν ἀποσυλήσεως τοῦ λειψάνου τοῦ μάκαρος, ἔχαιρον, ἐθαύμαζον, τὸν Θεὸν ἐμεγάλυνον, οὐκ εἶχον ὅ,τι καὶ γένοιντο, τοῖς πάλαι θαυμασίοις τοῦ Θεοῦ τὸ γεγονὸς παρέβαλλον· καὶ οἷς μὲν εὕρισκον συναμιλλώμενον ἐκ συγκρίσεως, ὧν δὲ καὶ ὑπέρτερον· τὸν Φαραὼ εἰς μέσον ἦγον καὶ τὸ Ἐρυθραῖον πέλαγος, καὶ τὰ ἐκεῖσε τετερατουργημένα, καὶ τῶν αἰγυπτιακῶν ἁρμάτων σὺν τοῖς ἀναβάταις τὴν πόντωσιν· καὶ παρατιθέντες τὸ τότε τῷ προσεχῶς καὶ ἐν αὐτοῖς τερατουργηθέντι μεγαλείῳ τοῦ Θεοῦ, ὑπερετίθουν τὸ κατ' αὐτούς, ἐκεῖνα λέγοντες, ὅσα ἕκαστος τῇ συγκρίσει διδούς, τὸ ἐξαίσιον ἰσούμενα εὕρισκεν ἐκ παραθέσεως, τινὰ δὲ τοῦ ἀρτίως ἡττώμενα. Τί γάρ; ἔλεγον· οὐχὶ θάλασσα ἐν ἀμφοῖν; οὐχὶ τοὺς μὲν διώκοντας τοὺς φεύγοντας τῇ θείᾳ προστάξει ἐπαναστραφὲν τὸ ὕδωρ ἐκάλυψε, τοὺς δὲ μικροῦ δεῖν ἠπείλει καταλύψαι φεύγοντας καὶ διωκομένους, ὡς ἐς τὰ θεῖα παρανομήσαντας καὶ μετακινῆσαι τολμήσαντας τὰ ἀκίνητα; οὐχὶ ἐκεῖσε ἀναβάται καὶ ἅρματα, καὶ ἐνταῦθα ὡσαύτως πολλῷ τῶν αἰγυπτιακῶν ἁρμάτων ἑτοιμότερα καὶ τοῖς ὕδασι σύντροφα, νῆες, καὶ τριήρεις, καὶ λέμβη, καὶ τέρμονες, καὶ ἀναβάται τούτων οὐκ ἀδαεῖς θαλάττης θυμουμένης, καὶ τὴν εἰρήνην εἰς μάχην ἀκήρυκτον μετατρεπούσης καὶ ἄσπονδον; Ἀλλ' ἐκεῖσε μετὰ τὴν νίκην οἱ φεύγοντες, καὶ τὴν τῶν ἐχθρῶν καταπόντωσιν, μέλος ἦσαν τῷ Κυρίῳ ᾠδῆς χαριστήριον. Ἐνταῦθα οἱ διώκοντες, μέλος ᾄσαντες ᾠδῆς ἱκετήριον, τὴν νίκην ἤραμεν· ἐπανέβη γὰρ ὡσεὶ ὄρη τὰ ὕδατα· ἐπανέστη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης· καὶ αἱ νῆες, καὶ πᾶσα ἡ ναυτικὴ τουτωνὶ τόλμα ἐπάγη ἐν τῇ θαλάσσῃ· καὶ τὰ ὕδατα ἐπαναστραφέντα, ἃς μὲν ἐκάλυψεν, ἃς δὲ καὶ εἰς ἀκτὰς καὶ σκοπέλους καὶ *πέτρας πλαγκτὰς* (1) ἀπέρριψε, τινὰς δὲ καὶ

(1) Παρὰ τὸ ὁμηρικὸν [**Ὀδυσ.** Μ, 61.], ὅτι προσπλάζονται ἀλλήλαις συμπίπτουσαι καὶ συγκρούονται πελάζουσαι, κατ' Εὐστάθιον [σελ. 1711]. Οὕτω δ' ἐλέγοντο

ἔμελλε. Ταῦτα πρὸς ἀλλήλους συμβάλλοντες τὸν Κύριον ἐμεγάλυνον, καὶ τὰς χεῖρας ἐκρότουν, καὶ ᾖδον εὐχαριστήρια.

ΛΔ΄. Ἐν τοσούτῳ δέ, καὶ τὸ ναυτικὸν ἅπαν τὸ τῶν βαρβάρων ἐξ ὀφθαλμῶν τῶν μοναχῶν ἐγένετο, καὶ νήσῳ τῇ Μήκονι (1) ὡς πρὸς δυσμὰς κειμένῃ, καὶ ἡμέρας ὁδὸν ἀπεχούσῃ ὀλίγου δέοντος, προσώρμιστο, καὶ θαῦμα ἕτερον τῶν προλαβόντων ἠκολούθει μεῖζον, μὴ ἀθεεὶ καὶ ὡς ἔτυχε καὶ τὰ προγεγονότα τελεσθῆναι παριστῶν τοῖς ἀλάστορσι, καὶ μήτε τὸν κλύδωνα τυχαῖον γενέσθαι, μήτε τὸ ἐξ οὐρίας αὐτοὺς τῆς νήσου ἀπᾶραι· συνεῖχε μὲν γὰρ αὐτοὺς ὁ κλύδων, ἀλλὰ καὶ ἐτιμωρεῖτο τὰ δεινότατα, πείθων ἀπολῦσαι νεκρὸν αἰχμάλωτον, ὡς ἐν ἀφύκτοις δεσμοῖς συσχεθέντα ταῖς τριήρεσιν, ἀπολυθέντα δέ, καὶ αὖθις κρατηθῆναι δεινῶς ψηφιζόμενον, αὐτὸν ἀπῶσαι νυκτὸς τοὺς τὸ ἀπηχὲς ποιουμένους ψήφισμα· μὴ φρονήσαντας δὲ τοὺς μέρος τῶν αὐτοῦ ῥακίων ἀποσεσυληκότας, τὸ συληθὲν ἀποδοῦναι καὶ τὸ ἁμάρτημα ἀνειπεῖν, μέχρις ὅτου τῷ τῆς Πάτμου λιμένι τῇ ἠρεμαίᾳ τῶν θαλαττίων ὑδάτων καταστάσει πεπέδηντο, ἀφίησι καὶ ἀπελθεῖν, καὶ πορρωτέρω τῷ παντὶ ναυτικῷ συγκαθορμισθῆναι στρατεύματι, καὶ ἀπηλλάχθαι νομίσαι εἰςέτι, καὶ ἀποκερδῆσαι τὸ συληθέν, ὡς τῇ συνδρομῇ τούτων πάντων τὰ μεγαλεῖα φανείη τοῦ μάκαρος, ἅπερ ὁ μέγας Κύριος καὶ τῆς εἰρήνης βασιλεὺς αὐτῷ ἐχαρίσατο, καὶ κατασεισθεῖεν αἱ ψυχαὶ τῶν ἀρχηγῶν αὐτῶν, καὶ μάθοιεν οἵων κακῶν δικαίων ἠπειλημένων αὐτοῖς ὁ τοῦ Κυρίου θεράπων Χριστόδουλος αὐτοὺς ἐλυτρώσατο, ἀφεὶς αὐτοῖς τὰ εἰς αὐτὸν ἡμαρτημένα δεινῶς, καὶ

τὰ πρὸς τῷ στομίῳ τοῦ Εὐξείνου πόντου δύο νησίδια, ἢ μᾶλλον σκόπελοι, τὸ μὲν τῇ Εὐρώπῃ προσεχές, τὸ δὲ τῇ Ἀσίᾳ, αἱ τεθρυλλημέναι δηλαδὴ **Κυάνεαι** καὶ **Συμπληγάδες** [Ἡρόδ. Δ΄, 85. — Εὐριπ. Μήδ. 2. — Στράβ. Ζ΄, σελ. 140. — Ἡσύχ. λ. **Πλαγκτὰς**]. (Σημ. Ι. Σ.)

(1) Γραπτέον : **Μυκόνῳ.** Εὕρηται μέντοι γε καὶ ὁ τύπος : **Μύκων** παρ' Ἱεροκλεῖ [Συνέκδ. ι΄.], καὶ παρὰ τοῖς παροιμιογράφοις Ζηνοβίῳ [Ε΄, 21] καὶ Μιχ. Ἀποστολίῳ [ΙΑ΄, 79], ὡς καὶ ἐν ταῖς : **Παροιμίαις Δημώδεσιν**, ἃς ἐκ χειρογράφου τῆς Βοδληϊακῆς βιβλιοθήκης τεύχους ἐξέδωκε Θωμᾶς ὁ Γαϊσφόρδος ἐν Ὀξωνίῳ τῷ 1836, Παρ. 643, σελ. 76. (Σημ. Ι. Σ.)

ὑπερυψωθείη τὸ μεγαλεῖον τοῦ θαύματος. Ὁ γὰρ μηδ' ἀξίους κρίνας αὐτούς, ἅτε τῶν θείων ὑβριστὰς καὶ ἀτασθάλους τῷ ὄντι, πρὸς δὲ καὶ ἀλάστορας, τεμαχίου μικροῦ τῶν νεκριμαίων ῥακίων ἐνδυμάτων αὐτοῦ, πῶς εἶχεν ὅλον ἑαυτὸν αὐτοῖς ἐμπιστεῦσαι, καὶ τοιαύτην δοῦναι τὴν χάριν ἀνδράσιν αἱμοχαρέσι καὶ ἀνδροφόνοις, ὡς ἀπαγαγεῖν αὐτὸν αὐτοὺς εἰς τὰ σφέτερα ἔθη αἰχμάλωτον; Ἀλλ' ἰτέον ἀπάρτι καὶ ἐπ' αὐτὴν τὴν τοῦ θαυμασίου ἐξήγησιν θαύματος.

ΛΕ΄. Ἀπῆραν τῶν Πατμίων παντὶ τῷ στόλῳ οἱ βάρβαροι, κατῃσχυμένοι ἐφ' οἷς κακῶς ἐβουλεύσαντο, καὶ τῇ Μήκονι προσέσχον, ὡς εἴρηται. Οἱ δὲ τὴν κλοπὴν τοῦ τεμαχίου τῶν ἐνδυμάτων τοῦ ὁσίου ποιησάμενοι ἔχαιρον ὡς μέγα τι ἐμπορευσάμενοι, κἂν τῷ μέρει τοῦ ἐνδύματος τὸν ὅσιον ὅλον ἔχειν ἐν ἑαυτοῖς πιστεύοντες. Ἀλλ' ἡ νὺξ καὶ ἡ ταύτης ἡσυχία τὴν σκηνὴν τοῦ δράματος ἤλεγξεν· ὁ γὰρ τέρμων ὁ τούτους φέρων, ἀωρεὶ τῶν κάλων διαῤῥαγέντων αὐτῷ θειοτέρως, ὡς εἴτις λογικὸς ἔθεε, μακρόθεν τὸ δρᾶμα ἐξομολογούμενος, καὶ συγγνώμην ὑπὲρ τῶν ἐντὸς αὐτοῦ ἐξαιτούμενος, ἧς καὶ ἀπήλαυσεν· εἰ γὰρ μὴ τοῦτο, αὐτίκα ἂν διεῤῥάγη πολλοῖς διαύλοις κυμάτων φορούμενος· οἱ δ' ἐν αὐτοῦ βαθὺ ἔρεγχον ἐν τοῖς καταστρώμασι, μηδαμῶς τοῦ γεγονότος αἰσθόμενοι, μηδ' ὅπη κακῶν μικροῦ δεῖν κατηντήκεισαν. Ὁ δὲ τέρμων, ὢ τῶν θαυμασίων σου Κύριε! οὔτε τῇ βίᾳ τῆς τῶν κάλων διαῤῥήξεως τοῖς ἐντὸς δέδωκεν αἴσθησιν, οὔτε μὴν τοῖς ἀφ' ὧν διέζευκτο καὶ τὴν τάξιν ἀπολελοίπει τῆς στάσεως. Οὕτως ἡ τοῦ θείου Πνεύματος μάχαιρα πλήττειν οἶδε καὶ τέμνειν ἀνεπαισθήτως! Οὕτω κολάζειν οἶδεν ἡμέρως τὰ μὴ παιδείας δεόμενα μείζονος!

ΛϚ΄. Ὁ τέρμων τοίνυν ἀποῤῥαγείς, ὡς εἴρηται, καὶ τοῦ λοιποῦ ναυτικοῦ, ἔθεε μέχρι τινός, καὶ ὀγδοήκοντα ὅλων μιλίων διελθὼν διάστημα, ἔστη πεδηθεὶς ἀοράτως μέσον τῶν νήσων Σάμου καὶ Ἰκαρίας αὐτῆς, οἷά τις στήλη ἢ λίθος ἐῤῥιζωμένος καὶ ἄνωθεν τῆς θαλάσσης φαινόμενος, ἵνα καὶ τοῖς ἀπὸ τῆς νήσου αὐτῆς

τῆς Πάτμου, ἀφ᾿ ἧς τῇ προτεραίᾳ τὸν ἀπόπλουν ἐποιήσατο, καὶ τοῖς πόῤῥωθεν καταφανὴς γένηται, καὶ τοῖς διὰ τῆς θαλάττης ποιουμένοις τὴν κέλευθον ἢ πορείαν ἐν πολλοῖς ὕδασι, θεῷτο ὥς τι τέρας καταφανές· τέρμων οὕτω μέσος ναυαγίου καὶ ὡς ἐπὶ λιμένος ἑστώς, ἀνερμάτιστος μέντοι, τὸ καινόν, καὶ κάλων ἐκθέσεως ἄνευθεν· ἀνέμενε δὲ τί ἂν γε περὶ αὐτοῦ ὁ τοῦτον μετακινήσας καὶ μέχρις οὗ ἵστατο ἀγαγὼν, ἀποφαίνεται, καὶ ἐξήρτητο ὡς ἀγκύρας καὶ κάλω τῆς τοῦ ἐπέχοντος δυνάμεως, καὶ οὐκέτι οἱ ἐν αὐτῷ ἐπὶ τῇ ἀποσυλήσει τοῦ τεμαχίου τοῦ ῥάκους ὡς ἐπὶ ἑρμαίῳ μεγάλῳ φρονηματιῶντες ἔχαιρον, ἀλλ᾿ ὡς ἁλόντες καὶ δίκας ὑπέχοντες ἔτρεμον, μὴ καὶ τελευταία ψῆφος κατ᾿ αὐτῶν ἐξενεχθείη παντελὴς ἀπώλεια. Οὐκ εἶχον οὖν τίνα ἂν εἰς σωτηρίαν αὐτοῖς ἐπικαλέσωνται· τὸν μάκαρα Χριστόδουλον; ἀλλὰ διὰ τὸ κλαπέν, ὡς αὐτοῖς ἐδόκει, ἐξεπεπολέμωτο· τὸν τοῦ μάκαρος Κύριον; ἀλλὰ καὶ οὗτος διὰ τὸν αὐτοῦ θεράποντα ἐκπεπολεμῶσθαι αὐτοῖς ἐνομίζετο. Εἰς ἀμηχανίαν οὖν τοῖς ἐν τῷ τέρμονι περιέστη τά τε ὁρώμενα καὶ τὰ νοούμενα· ὁ βυθὸς ἐν ποσίν· ὁ κίνδυνος ἐν ὀφθαλμοῖς· ὁ διασώσων οὐδείς· οὐχὶ κώπη· οὐχὶ τὰ ἱστία· ἀλλ᾿ οὐδ᾿ ἡ βάρις αὐτὴ ἡ τὸν τέρμονα συνήθως ἐφέλκουσα καὶ δίκην ποδῶν εἰς γῆν βάδην μετακομίζουσα· καὶ αὕτη γὰρ ἐν τῇ Μήκονι, οὕτω δόξαν τῷ Θεῷ, ὑπολέλειπτο.

ΛΖ΄. Ὡς γοῦν ἐκ περιουσίας αὐτοὺς περιειλήφει τὰ δυσχερῆ καὶ οὐκ εἶχον ὅ,τι καὶ γένοιντο, ἔμενον μὲν βυθίους ἐκ καρδίας στεναγμοὺς ἀναπέμποντες, οὐ θαῤῥοῦντες δ᾿ ὅμως τὸν Θεὸν ἢ τὸν τούτου θεράποντα εἰς λύτρωσιν τῶν περιστοιχησάντων αὐτοὺς κακῶν ἐκκαλέσασθαι, ἀλλ᾿ ἐκάθηντο διάῤῥηξιν ἐσχάτην τοῦ τέρμονος περιμένοντες, καὶ ἑαυτῶν ἐν τοῖς ὕδασι καταβάπτισιν. Τί δὲ ἐπὶ τούτοις ὁ ἐλεήμων Κύριος, ὁ μή τινος θέλων ἀπώλειαν, ὁ πάντας εἰς τὴν τοῦ συμφέροντος ἐκκαλούμενος ποικιλοτρόπως ἐπίγνωσιν; Ἤδη ἀπογνοῦσιν αὐτοῖς, καὶ μηδὲν ἄλλο ἀλλ᾿ ἢ τὸν θάνατον ἑαυτῶν περιμένουσι, τάχα δὲ καὶ ἐπικαλουμένοις αὐτὸν ἐλεύσεσθαι τάχιον εἰς τὴν τῶν ἐπηρτημένων

δεινῶν ἀπαλλαγήν, ἐπιπέμπει αὐτοῖς ἐκ παραδόξου δι᾽ ὁμογενῶν τὴν βοήθειαν· καὶ τοῦτο γὰρ προςετίθει τὸν φόβον αὐτοῖς, τὸ μὴ ἐν τοσούτοις μέσοις κακοῖς περιειλημένοις καὶ ἀπρακτοῦσι τὰ ἔσχατα, ἐν χερσὶ Ῥωμαίων ἀπροόπτως φανέντων πεσεῖν εἰς λάφυρον ἄπονον, ἢ καὶ Ἰσμαηλιτῶν, τὴν αὐτὴν Ῥωμαίοις ἔστιν ὅτε διερχομένων ὁδόν. Ἀλλ᾽ οὐ παρῆκεν οὐδὲν ὁ Κύριος τῶν ἐλπιζομένων αὐτοῖς δεινῶν ἐπισυμβήσεσθαι, οὐ μόνον ὁμοεθνεῖς, ἀλλὰ καὶ τῆς αὐτῆς ἑταιρίας ἀλάστορος ἀποσπάδα πεπομφὼς αὐτοῖς εἰς βοήθειαν, καὶ ἑτοίμως λελυκὼς πάντα τὰ ἐπὶ τῆς κεφαλῆς αὐτῶν δεινὰ καὶ ὁρώμενα. Οἱ δὲ ἦσαν οἱ ἐν ἓξ ὅλαις τριήρεσι καταλελειμμένοι παρὰ τῶν ἀρχηγῶν τῆς τοιαύτης μιαιοφόνου καὶ ἀδικωτάτης ἑταιρίας τὰς νήσους ληΐζεσθαι καὶ φόρους ἀπαιτεῖν δικαίῳ τοῦ σφῶν κυρίου, τοῦ Σικελίας φημί, καὶ ὁμολογίαν τῆς αὐτοῦ ἐπ᾽ αὐτοῖς κυριότητος· οἳ καὶ τῶν Σαμίων ἀποκρουσθέντες, πρὸς τὴν ὁλότητα τῆς σφῶν αὐτῶν ἑταιρίας συνθέμενοι ἀνθυπέστρεφον, καὶ ἐντυχόντες αὐτοῖς, καὶ πάντα τὰ ἐπισυμβεβηκότα τούτοις κατὰ μέρος διηγουμένοις μεμαθηκότες, δειλίᾳ καὶ θαύματι κατὰ κράτος πεπέδηντο. Εἶτα κοινῶς συνδιασκεψάμενοι δέον εἶναι πρὸς τῷ τέλει ἐπέκριναν, μὴ μόνον τὸ ἀποκοπὲν μέρος τῶν ἐνδυμάτων εἰς τὴν νῆσον Πάτμον καὶ τὸν τάφον ἀποκομίσαι τοῦ μάκαρος, ἀλλὰ καὶ αὐτὸν προςαναθεῖναι οἱ δωρεὰν τὴν κατὰ δύναμιν, ὡς ἵλεως ἔσται αὐτοῖς ὁ τοῦ ὁσίου Χριστοδούλου Θεός, ὁ διὰ τὸν οἰκεῖον θεράποντα τοιαῦτα τετελεκὼς θαυμάσια, καὶ εἰςέτι δυνατὸς ὢν τελέσαι ἱλεωθεὶς ἐπὶ συμφέροντι ἕτερα.

ΛΗ΄. Ταῦτα εἰς ἑαυτοὺς διαμελετήσασι, καὶ εἰς ἔργον θεῖναι αὐτοῖς αὐτίκα τὰ μελετώμενα ἐμέλησε. Κάλως δὲ τοῦ τέρμονος ἐξάψαντες, καὶ τριήρεως μιᾶς αὐτοὺς ἐκδήσαντες, παραπλεουσῶν τῷ τέρμονι καὶ τῶν ἐπιλοίπων πέντε, ἕως τῆς Πάμου ἀπήεσαν. Ἀποβάντες δὲ, καὶ πρὸς τὴν μονὴν καὶ τοὺς μοναχοὺς ἀναδραμόντες, καὶ τὸ ἁμαρτηθὲν εἴς τε τὸν Θεὸν καὶ τὸν αὐτοῦ θεράποντα ἐξομολογησάμενοι, τὸ ἀποκοπὲν μέρος τῶν νεκρι-

μαίων αὐτοῦ ῥακίων ἐντὸς τῆς θήκης τοῦ λειψάνου ἀποτιθέασι, μετανοοῦντες, ὅσα εἰκός, τῷ μάκαρι. Ἀνατιθέασι δὲ τούτῳ καὶ αὐτὸν τέρμονα, ἔτι δὲ καὶ ἀπὸ τῶν ἐνόντων αὐτῷ τεττάρων ἵππων εὐγενῶν πρὸς τοῖς εἴκοσι τῆς συμπάσης λατινικῆς εταιρίας αὐτῶν, προσεπιδιδόασι τέτταρας, τοὺς δὲ λοιποὺς εἴκοσι ταῖς περικύκλῳ νήσοις ἐγκατασπείρουσιν, ὡς ὑπὸ τῶν κατοίκων αὐταῖς φέρβωνταί τε καὶ ἐπιμέλωνται, ἕως καὶ πάλιν ἐπανακάμψαι τούτοις (1) πρὸς αὐτὰς διὰ τῆς τῶν σφῶν κυρίου ἐπινεύσεως γένηται. Ταῦτα διαπραξάμενοι, καὶ εὐχαριστηρίοις ἀλαλαγαῖς τῆς αὐτῶν ἀπολυτρώσεως τὸν Θεὸν καὶ τὸν αὐτοῦ θεράποντα ἱλεωσάμενοι, καὶ εἰς τὰς τριήρεις καὶ οἱ ἐπιβάται ἐμβάντες τοῦ τέρμονος, πρὸς τὴν σφετέραν ἑταιρίαν ἀπαίρουσι. Καὶ φθάσαντες πάντα τὰ συμπεσόντα κατὰ μέρος αὐτοῖς διηγήσαντο, καὶ τῇ διηγήσει κοινωνοὺς ποιοῦνται τῆς εὐχαριστίας ὡς καὶ τοῦ θαύματος.

ΛΘʹ. Ἆρα δέ, ἐπὶ μὲν τοῖς Σικελοῖς ὡς ἀλάστορσι τοιαῦτα διὰ τοῦ ὁσίου αὐτοῦ ὁ Κύριος τεθαυμάστωκεν, ἐπὶ δὲ ἄλλοις τοιαῦτα ποιεῖν ἐπιχειρήσασι παρασεσιώπηκεν, ἢ ἔστη τοῦ τὴν γείτονα τῆς νήσου θάλατταν ἐπὶ τοῖς μετακινεῖν τὰ ἀκίνητα δοκιμάζουσι κινεῖν καὶ ἐκμαίνειν εἰς ἄμυναν; Οὔμενουν, οὐδαμῶς. Ἠβουλήθη τις πεῖραν ἐπενεγκεῖν τοῖς μοναχοῖς, τῇ νήσῳ προσβαλών; καὶ ὁ ὑπερμαχῶν ἑτοιμότατος· καὶ ἡ προσταττομένη ἀμύνειν ἐγγύς· καὶ ὁ θυμὸς αὐτῆς ἄμαχος· καὶ τὰ ὅπλα δεινά· καὶ ἡ ἀπειλὴ φοβερά, οὔτε βασιλέας αἰδουμένη, ὁποῖον δὴ καὶ τὸ συμπεσόν. Κατὰ τὴν ἑξακισχιλιοστὴν ἑξακοσιοστὴν ἐννενηκοστὴν ἕκτην τοῦ ἔτους ἐπινέμησιν εἵλω ἡ Ἱερουσαλὴμ παρὰ τῶν ἐξ Ἰσμαὴλ (2), καὶ ὁ κατάρχων Λατῖνος αὐτῆς ἐκεῖθεν κρίσει Θεοῦ ἀπελήλατο· καὶ συγκινεῖται ὁμαιχμίαν ποιη-

(1) Γρ. ἴσως : **Τούτους.**

(2) Ἑάλω ἡ ἁγία πόλις τῇ βʹ Ὀκτωβρίου τοῦ 1187 ἔτους ὑπὸ τοῦ διαβοήτου Σιλλὰχ-οὐδ-δὶν (τοῦ κοινῶς Σαλαδίνου), ζωγρήσαντος καὶ Γουΐδωνα τὸν τελευταῖον αὐτῆς βασιλέα. Τῇ παρορμήσει δὲ τοῦ πάπα Κλήμενος τοῦ Γʹ ἐκινήθη τῷ 1189 ἡ πρὸς ἀνάκτησιν αὐτῆς τρίτη σταυροφορία διαφόρων τῆς ἑσπερίας Εὐρώπης ἡγεμόνων. Ἦσαν

σάμενα ἔθνη τρία Λατίνων τὰ κράτιστα (1), ὡς τὸν δοῦλον καὶ ἀποστάτην τῆς τοῦ ἐλευθέρου καὶ κυρίου κληρονομίας χειρὶ βαρείᾳ ἀπελάσωσιν. Ἵνα δὲ τὰ ἐκεῖσε παρῶ, οὐ τῷ σκοπῷ τῆς παρούσης γραφῆς συμβαλλόμενα, ὁ τῶν ἄνω Γαλλιῶν ἀρχηγός, ὁ Φράγγος φημί (2), ὃν καὶ ῥῆγα οἶδε καλεῖν ἡ συνήθεια, διαφοράν τινα ποιησάμενος πρὸς τὸν ἕτερον, δηλονότι τὸν πορρωτέρω γῆς πρὸς τὸ τέρμα τῆς οἰκουμένης τὴν κυρίαν ἔχοντα (3), πρὸς δέ, μαλακισθεὶς ἐκ νόσου, ὡς ἐπὶ ξένης διάγων καὶ ἀήθους, καὶ τὴν ἕξιν ἀλλοιωθεὶς τοῦ σώματος, εἰς τὰ οἰκεῖα ἔθη καὶ τὴν αὐτοῦ ἀπιέναι ἀρχὴν ἔσπευδε. Καὶ καταλιπὼν τὴν Παλαιστίνην, διὰ τοῦ Ἰονίου πελάγους καὶ τῶν Κυκλάδων νήσων ἐπορεύετο· καὶ προσσχὼν τῇ Πάτμῳ ἀπέβη, καὶ πρὸς τὴν μονὴν ἀνῆλθε προσκυνήσεως ἕνεκα τοῦ ἐν αὐτῇ ναοῦ τοῦ Ἠγαπημένου, καὶ τοῦ λειψάνου Χριστοδούλου τοῦ τοῦ Κυρίου θεράποντος. Ἔφθασε γὰρ ἡ φήμη τῶν ἐπὶ τοῖς Σικελοῖς τοῦ Θεοῦ τεράτων διὰ τὸν ὅσιον καὶ ἕως αὐτοῦ. Ὁ Σεπτέμβριος ἦν ἐν μησὶν ὅτε ταῦτα ἐγίνετο, καὶ ἰνδικτιὼν ἐνειστήκει δεκάτη, κατὰ Ῥωμαίους, ἐπὶ τῷ ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ἔτει περιχωρεύουσα (4).

Μ΄. Ἀνελθὼν οὖν ὁ ῥήξ, ὡς εἴρηται, καὶ τῷ Κυρίῳ τὰς εὐχὰς ὡς μεμαθήκει ἀφοσιωσάμενος, καὶ τὸ σέβας τῷ τοῦ ὁσίου λειψάνῳ δοὺς κατὰ τὸ ἔθος τὸ πάτριον, σκεῦός τι ἀργυροῦν καὶ

δ' οὗτοι ὁ τῆς Γερμανίας αὐτοκράτωρ Φριδερῖκος ὁ Α΄, ὁ καὶ **Πυῤῥογένειος** καὶ **τῆς πατρίδος Πατὴρ** ἐπικεκλημένος· ὁ τῆς Γαλλίας βασιλεὺς Φίλιππος Αὔγουστος ὁ Β΄, ὁ καὶ **Πορθητὴς** καὶ **Θεόδοτος** (Dieu-donné) ἐπιλεγόμενος, διὰ τὸ ἐξ εὐχῆς γεννηθῆναι αὐτόν· ὁ τῆς Ἀγγλίας Ῥιχάρδος ὁ Α΄, ὁ τοὐπίκλην **Ἀγέρωχος** καὶ **Λεοντόθυμος**· ὁ τῆς Βουργωνίας δοὺξ Οὔγων· ὁ τῆς Καμπανίας κόμης Ἐῤῥῖκος· ὁ τῶν Βλαισῶν (de Blois) Θιβῶτος, καὶ ἕτεροι πλεῖστοι. (Σημ. Ι. Σ.)

(1) Γερμανοὶ δηλονότι, Γάλλοι καὶ Ἄγγλοι, ὡς ἐδηλώθη κἀν τῇ προηγουμένῃ σημειώσει. (Σημ. Ι. Σ.)

(2) Τουτέστι Φίλιππος ὁ Αὔγουστος. (Σημ. Ι. Σ.)

(3) Νόει μοι τὸν τῆς Ἀγγλίας Ῥιχάρδον. Περὶ δὲ τῶν πρὸς τοῦτον διαφορῶν τοῦ Φιλίππου καὶ τῆς νόσου αὐτοῦ ὅρα τὸν ἀνωτέρω ἐν σελ. 177 ὑποσημ. 1 μνημονευθέντα ἱστοριογράφον Michaud, ἐν πλάτει τὰ τοῦ πράγματος ἱστοροῦντα. (Σημ. Ι. Σ.)

(4) Ἤτοι τῷ 1191 ἔτει. (Σημ. Ι. Σ.)

τριάκοντα χρυσίνους σαρακηνικοὺς δωρεὰν οἷον τοῖς μοναχοῖς ἐπιδίδωσι, δι' ἑρμηνέως αὐτοῖς ἀνειπών, ὡς καὶ πολλῷ πλείονας ἄλλους χρυσίνους, καὶ ὁπόσους ἂν αὐτοῖς βουλητέον προςεπιδοίη, εἰ μόνον ἐπινεύσαιεν μέρος τι ἐπιδοῦναι οἱ τοῦ λειψάνου τοῦ μάκαρος· δι' ἐφέσεως γάρ, ἔλεγεν, ὅτι πλείστης ἔχειν αὐτόν τι τῶν ὁσίου εἰς ἁγιασμὸν ἐπικτήσασθαι. Οἱ δὲ μοναχοί, οὐδὲ ἄκροις ὠσὶ τὸν λόγον παραδεξάμενοι, καὶ τὴν δοθεῖσαν αὐτοῖς δωρεὰν ὡς καὶ τὴν μέλλουσαν ἀπεπέμψαντο. Κατελθὼν δὲ εἰς τὰς ναῦς καὶ τὸ αὐτοῦ ἅπαν ναυτικόν, πέμπει τῶν ὑπ' αὐτὸν τολμητίαν τινά, ὥςτε προσχήματι προςκυνήσεως τοῦ τιμίου νεκροῦ τοῦ μάκαρος, μαργῶσιν ὀδοῦσιν ἀποτεμεῖν τι μέρος, καὶ ἀκόντων τῶν μοναχῶν. Ὁ δέ, κατὰ τὰς ὑποθήκας τοῦ ἀποστείλαντος, ἀνελθών, καὶ τὴν ἱερόσυλον δραματουργίαν τελέσας, καὶ ἐπιδερμίδα τοῦ ἄκρου δακτύλου τοῦ ὁσίου ἀποτεμών, χαίρων χαίροντα τὸν ἀπεσταλκότα κατέλαβεν, ἀποδεδωκὼς (1) τὸ συληθὲν τῆς ἐπιδερμίδος σμικρότατον τεμάχιον.

ΜΑ΄. Ἀλλ' οὐκ ἔμελλε σιωπᾶν ἡ δίκη ἐπὶ τῷ κλέμματι, οὐδὲ ὁ πάντων Κύριος μὴ ἀπιδεῖν εἰς ἐκδικίαν τοῦ οἰκείου θεράποντος. Ἔνθεν τοι καὶ περὶ φυλακὴν δευτέραν τῆς νυκτός, ὅτε ἐσχάτως τῷ λυσιμελεῖ ὕπνῳ οἱ ἄνθρωποι κάτοχοι, νηνεμίας οὔσης βαθυτάτης, τὸ καινότατον, καὶ ἠρεμούσης τῆς θαλάττης, ἢ μᾶλλον ὑπνωττούσης βαθύτατα, ἐν τῷ λιμένι κλόνος ἐπειςπίπτει καὶ στρόβιλος καὶ ἐσχάτως ἐκταράττει τὰς ναῦς, ὡς καὶ τὸν ὕπνον λυθῆναι τοῖς βαρύ, ὡς εἴρηται, ὑπνώττουσι, καὶ κινδυνεύειν εἰς ἔκστασιν φρενῶν τραπῆναι αὐτούς, διὰ τὸ ἐν ὀφθαλμοῖς κακόν, μέγα μὲν ὂν καὶ ἐκτὸς αἰτίας τῷ φαινομένῳ, καὶ ἐπειςπεσὸν ἀπρόοπτον, συντρίβειν δὲ ἤδη πάσας τὰς ναῦς ἀπειλοῦν, καὶ μηδεμιᾷ μηχανῇ θεραπευτὸν ἢ καταστορέσιμον γενέσθαι ἐλπιζόμενον. Ὁ γὰρ ἐν νηνεμίᾳ βαθείᾳ ἐπιγεγονὼς κλύδων ἀγριώτατος, τίνι ἂν ἐλπιστέος παυθῆναι τοῖς κινδυνεύουσι; Διὰ τοῦτο ἀχανεῖς ἔστησαν καὶ προσδόκιμοι τὰ ἔσχατα παθεῖν, καὶ

(1) Ἴσως ἐγέγραπτο: **Ἐπιδεδωκώς.** (Σημ. Ι. Σ.)

εἰς βυθὸν αὐτίκα καταδῆναι θαλάττιον. Ὁ γοῦν ῥὴξ ἐν οὕτω καινοτομουμένῳ κλύδωνι τὸ αἴτιον ζητήσας καὶ ἐφευρὼν (ταχεῖαι γὰρ αἱ ὀξεῖαι φύσεις εἰς τὴν τοῦ συμφέροντος νόησιν), καὶ μὴ ἄλλο εἶναι τὸ καὶ φύσιν καινοτομῆσαν κλύδωνος, εἰ μὴ τὸ εἰς τὸν Θεὸν καὶ τὸν αὐτοῦ δοῦλον Χριστόδουλον πλημμεληθὲν διὰ τῆς ἀφαιρέσεως τῆς τὰ ἱερὰ ἐπικαλυπτούσης τῶν δακτύλων ὀστᾶ ἐπιδερμίδος, προστάττει μηδὲν μελλήσαντι τῷ ἀφελομένῳ ἀναλαβέσθαι μεθ' ἑαυτοῦ τὸ ἀποτμηθὲν τμημάτιον, καὶ ᾗ ποδῶν ἔχει τῆς πρὸς τὴν μονὴν φερούσης ἔχεσθαι, καὶ φθάσαντα, τότε ἁμαρτηθὲν ἐξομολογήσασθαι τοῖς ἐκεῖσε μοναχοῖς, καὶ τὸ ἀποσυληθέν, πάντων ὁρώντων, ἐπιθεῖναι τῷ μορίῳ, ἀφ' οὗ τὸ πρῶτον ἀφῄρητο, καὶ ἱκετεῦσαι τὸν ὅσιον μὴ χολᾶν ἡμῖν, ἐκ πόθου καὶ οὐκ ἐκ περιφρονήσεως εἰς αὐτὸν ἁμαρτήσασι. Ταῦτα τοῦ ῥηγὸς πρὸς τὸν θρασὺν ἐκεῖνον εἰπόντος, καὶ κατὰ τοῦ ὁσίου τολμήσαντα νεανιεύεσθαι, συναναβῆναι οἱ πρὸς τὴν μονὴν καὶ ἑτέρους προστετάχει. Καὶ ἀρξαμένων τῆς πρὸς τὴν μονὴν φερούσης, ἡ τραχύτης τοῦ ἐκ νηνεμίας κλύδωνος καταστορέννυσθαι ἤρξατο· καὶ εἰςελθόντων ἐν τῇ μονῇ, καὶ τοῦ τολμητίου τὸ ἁμαρτηθὲν ἐξομολογησαμένου τοῖς ἀδελφοῖς, καὶ κλύδων ἐπαύετο, καὶ ὁ λιμὴν ἦν ταῖς ἀληθείαις, καὶ ἡ νηνεμία οὐκ ἐπωρύετο παρὰ φύσιν, οὐδὲ τὰς ναῦς καταβαπτίσαι ἠπείλει τοῖς ὕδασιν. Ἐνώπιον δὲ τῶν μοναχῶν καὶ τῶν συναποσταλέντων τῷ ἁμαρτήσαντι τῆς θήκης διανοιγείσης τοῦ λειψάνου τοῦ μάκαρος, καὶ τοῦ ἀποσυληθέντος τεμαχίου σμικροῦ τῷ δακτύλῳ, ἀφ' οὗ καὶ ἀφῄρητο, μᾶλλον δὲ ἀποκέκλεπτο, προστεθειμένου, τὰ πάντα ἠρέμουν εὐθύς, ἡ μαινομένη νηνεμία, ὁ λιμήν, αἱ νῆες, αἱ καρδίαι τῶν πεπονθότων, τοῦ ῥηγὸς τοῦ τὸ κλέμμα τῷ ποιησαμένῳ προστεταχότος, καὶ αὐτοῦ τοῦ τῆς τοιᾶσδε κλοπῆς καὶ οὕτω δυςανύστου ἢ παντελῶς ἀτελέστου κατατολμήσαντος.

ΜΒ΄. Ταῦτα καὶ τοιαῦτα τὰ μετὰ θάνατον τοῦ ἱεροῦ Χριστοδούλου διὰ τοῦ Θεοῦ τρόπαια. Τοιαῦτα τοῦ πένητος ἐν Θεῷ καὶ νεκροῦ τὰ κατορθώματα· πνεύματα ὀρινόμενα· ἄνεμοι ὑπερ-

φυεῖς καὶ ὑπὲρ ὅ δεῖ πνέοντες εἰς ἐκφόβησιν· θάλασσα ὠρυομένη καὶ κύματα ὀρούμενα, καὶ ἐν δεσμοῖς τοὺς ἀτάκτους κατέχοντα καὶ κολάζοντα, καὶ οὕτω διδάσκοντα μὴ κινεῖν τὰ ἀκίνητα· τὸ δὲ καινότατον, νηνεμία ἀκριβὲς κλυδώνιον ὑπερφυῶς ἀνεγείρουσα, καὶ τὰ αὐτὰ δυναμένη καὶ ἐνεργοῦσα, ὅσα καὶ οἱ σφοδροὶ καὶ ἄγριοι πνέοντες ἄνεμοι, καὶ ἐκκυματοῦσα καὶ ἐκμαίνουσα τὴν θάλασσαν, ὡς ἐξ ἀντιπνοίας πνευμάτων δεινὸν ἐν ὥρᾳ ἠχούντων κατ' ἀλλήλων χειμερίῳ, ὡς μήτε τοὺς παιδευομένους διὰ πνευμάτων ἀντιπνοίας ἀγρίων ἀπελπίζειν τὴν σωτηρίαν, ὡς ἐν κακοῖς οὐκ ἀμφιβόλοις συνειλημμένους, μήτε τοὺς διὰ νηνεμίας κολαζομένους καταφρονεῖν τῆς παιδείας ὡς ἀσθενοῦς καὶ οὐ δυναμένης κακῶς διαθεῖναι αὐτοὺς καὶ κολάσαι τὰ ἔσχατα, ἀλλ' ἐν ἀμφοῖν εἰδότας ἱκανῶς ἔχοντα κολάζειν τὸν Κύριον, τετρεμαίνειν [τε] (1) αὐτὸν ἐφ' οἷς κολάζειν ἔχει δικαίως τοὺς πταίοντας διὰ τῶν δοκούντων σώζειν αὐτόν. Οὕτως ὁ Κύριος οἶδε φιλεῖν τοὺς αὐτὸν διὰ βίου ἀγαπήσαντας· οὕτω τιμᾶν αὐτοὺς ἔχει μετὰ θάνατον, καὶ πᾶσαν τὴν κτίσιν κινεῖν εἰς ἐκδικίαν αὐτῶν, καὶ μεταποιεῖν αὐτήν, καὶ πρὸς τὸ ἀπῃτημένον καινοτομεῖν, καὶ χρῆσθαι τῇ καινοτομίᾳ εἰς τὴν τῶν ὁρώντων τε καὶ ἀκουόντων ἐκφόβησιν, ὡς μὴ διὰ τῶν ἐχόντων μόνον φύσιν κακοῦν κακύνων τοὺς πταίοντας, ἀλλὰ καὶ διὰ τῶν ἡμερωτέρων καὶ σωτηρίαν ἐπαγγελλομένων τῇ ἐπιδημίᾳ κολάζειν τοὺς ἄφρονας.

ΜΓ΄. Ἀλλ' ὦ ταῖς ἀληθείαις Χριστόδουλε καὶ Χριστοῦ ὀπαδὲ τοῖς τρόποις καὶ ἤθεσι, καὶ κληρονόμε τῶν τεράτων καὶ θαυμασίων αὐτοῦ, καὶ συγκληρονόμε τῶν ἀθεάτων καὶ νοουμένων ἀγαθῶν· ἅ, κατὰ Παῦλον (2), *ὀφθαλμὸς οὐκ οἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρωπίνην οὐκ ἀναβέβηκε,* τί σε προσείπω; Μωσέα διὰ τῆς θαλάττης τοὺς ἄφρονας ἐκπαιδεύοντα; ἀλλ' ἐκεῖνος ζῶν, καὶ πρὸς τὰ ὁρώμενα ἀντικαθιστά-

(1) Ἐκπεσεῖν ἔοικεν ὁ συμπλεκτικὸς σύνδεσμος. (Σημ. Ι. Σ.)
(2) Α΄. Κορινθ. 6΄, 9. (Σημ. Ι. Σ.)

μενος, τοὺς Αἰγυπτίους ἐκόλασε, καὶ τὴν αὐτῶν δυσσέβειαν ἐν πράγμασιν ἤλεγξε. Σὺ δέ, καὶ θανών, καὶ τῶν ὧδε ἀπαναστάς, καὶ πρὸς τοὺς ἀκυμάντους ἐγκαθορμισθεὶς λιμένας, τοὺς εἰς τὸν σὸν νεκρὸν δυσσεβήσαντας ἐν λιμένι ναυαγῆσαι πεποίηκας, καὶ εἰς πέλαγος ἀχανὲς τὴν ἠρεμίαν αὐτοῖς μετέβαλες· Ἠλίαν; ἀλλὰ καὶ τούτου τὸ πλεῖον ἐπλούτησας, οὐχὶ τεθρίππῳ μόνον τῶν ἀρετῶν ἐπιβὰς ὀχήματι ἔτι ζῶν, ἀλλὰ καὶ φωνῆς ἀκούσας, καὶ ὡς ὁ παρθένος καὶ Ἠγαπημένος τοῦ Χριστοῦ μαθητής, ἐν τῷ αὐτῷ καὶ ὡσαύτως ὄρει τῆς νήσου τὰ θεῖα μυηθεὶς καὶ ἀπόρρητα, καὶ λαλήσαντα τὸν Κύριον πεπλουτηκὼς ἐν τῇ καρδίᾳ σου, καὶ ἀναπεσὼν ἐν τῷ στήθει αὐτοῦ, καὶ ὡς ἱερεὺς καὶ θύτης βαστάσας αὐτόν, καὶ τῶν αὐτῶν μυστηρίων ἀξιωθεὶς ἀληθῶς. Τίνων οὐκ εἶ ἐφάμιλλος; τῶν ἀποστόλων αὐτῶν, ἢ τῶν μετ' αὐτοὺς μαρτύρων καὶ διδασκάλων, τοῦ λαοῦ κατάρχειν λαχόντων ἐν πνεύματι; Πάντως γάρ, εἰ τοῖς μαθηταῖς συνημιλλήθης Χριστοῦ, ὥςπερ δῆτα καὶ συνημιλλήθης, οὐκ ἔστι δισταγμὸς ὡς τῶν μετὰ τοὺς μαθητάς, ὧν μὲν ἐφάμιλλος, ὧν δέ τι μικρὸν ὑπερβάς, τοὺς πολλοὺς δὲ καὶ ἀποστάδην (1) παρελθὼν ὡς δρομεύς τις ἄριστος καὶ πυκτευτὴς ἐμπειρότατος· ἀφίημι γὰρ τοὺς ἐν τῷ νόμῳ δικαίους καὶ προφήτας, ὅτι καὶ ἡ τῶν ἐν χάριτι ἀρετή, κατὰ τὸ κυριακὸν παράγγελμα (2), ὑπερεπερίσσευσε. Τί γοῦν τὸ λειπόμενόν σοι; πάντως ὁ *τῆς δικαιοσύνης στέφανος*, ὡς *τὸν καλὸν ἠγωνισμένῳ ἀγῶνα* (3)· ὃν καὶ ἀπέλαβες παρὰ τοῦ ἀξίως εἰδότος ἀμείβεσθαι τοὺς αὐτὸν ἀγαπήσαντας. Καὶ νῦν ἐν δεξιᾷ τοῦδε στεφανηφορῶν ἱστάμενος μέμνησο καὶ τῶν

(1) Τὴν ἐν τῷ **Θησαυρῷ** τοῦ Ἐρρ. Στεφάνου λέξιν : **Ἀποσπάδην,** παρὰ Νικήτᾳ τῷ Εὐγενειανῷ ἀπαντῶσαν ἐν τῷδε τῷ στίχῳ : **« Τῶν τῆς πολίχνης τειχέων ἀποσπάδην »** [**Τὰ κατὰ Δροσίλ. καὶ Χαρικλ.** Α', 18], εὐστόχως ἀποκατέστησεν ὁ σοφὸς Βοισσονάδης εἰς τὴν ὀρθήν : **Ἀποστάδην,** ὡς ἔχει καὶ ἐνταῦθα, ἧ συνώνυμος ὑπάρχει ἡ: **Ἀποσταδόν.** (Σημ. Ι. Σ.)

(2) Ἄδηλον, ἔμοιγε οὖν τὸ τοιοῦτον παράγγελμα. Ἀλλ' ἴσως μνήμης ἁμαρτίᾳ νοεῖ τὸ ἀποστολικόν : **« Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις »** [Ρωμ. έ, 20]. (Σημ. Ι. Σ.)

(3) Β'. Τιμόθ. δ', 7—8. (Σημ. Ι. Σ.)

ἐν γῇ μεμνημένων σου καὶ σεβομένων σε ὡς τοῦ Κυρίου θεράποντα γνήσιον, καὶ ὑπὲρ αὐτῶν πρεσβείαν τὴν ὀφειλομένην ποιοῦ, ὡς τῶν ὧδε μεταστάντες ἐν τῷ αὐτῷ συνέσονταί σοι τόπῳ τῆς ἀναπαύσεως. Πάντως, δὲ κατὰ τὴν τοῦ Κυρίου πρὸς τὸν Πατέρα ἐρώτησιν (1), ὅπου αὐτὸς γενομένῳ σοι, καὶ οἱ διὰ σοῦ καὶ τῆς πρεσβείας τῆς σῆς, ὅπου αὐτὸς εἶ, γενόμενοι, τῷ Θεῷ κοινῶς καὶ ἀψευδῶς ἔσονται, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, τῷ ταύτην τὴν δωρεὰν χαρισαμένῳ πιστοῖς διὰ τῆς ἐνσάρκου πολιτείας αὐτοῦ· Ὧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ Πατρὶ αὐτοῦ, καὶ τῷ ἀγαθῷ καὶ ζωοποιῷ καὶ ὁμοουσίου αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) «**Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ**» [Ἰωάν. ιζ', 24.] (Σημ. Ι. Σ.)

ΑΚΑΔΗΜΙΑ

Ε΄.

# ΑΝΩΝΥΜΟΥ
## ΔΙΗΓΗΣΙΣ ΘΑΥΜΑΤΟΣ ΠΑΝΥ ΘΑΥΜΑΣΙΑ
### ΘΑΥΜΑΤΟΥΡΓΗΘΕΝΤΟΣ ΠΑΡΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΧΡΙΣΤΟΔΟΥΛΟΥ

### ΤΟΥ ΜΕΓΑΛΟΥ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

---

Α΄. Τῶν τοῦ Θεοῦ τεραστίων τὸ μεγαλεῖον καὶ τὰς τῶν μακαρίων καὶ ἀοιδίμων ἀνδρῶν παραδόξους θαυματουργίας, τοὺς καὶ μετρίως γοῦν μετέχοντας χάριτος λογικῆς καὶ παιδεύσεως, ταῖς φιλοθέοις καὶ φιλαρέτοις ἀκοαῖς παρατίθεσθαι, τοῖς τε ὀψιγόνοις καὶ μεθ᾽ ἡμᾶς ἐκ παντὸς ἀνάγραπτα ταυτὶ παραπέμπειν, ἀλλὰ μὴ φιλοπονίας εἴκοντας ὄκνῳ προΐεσθαι τοσοῦτον καὶ τοιοῦτον καλόν, καὶ σιωπῶντας λήθης ἀμαυροῦσθαι παραδιδόναι βυθοῖς τοῖς γε νοῦν ἔχουσιν ἀληθῶς εἴπερ τι ἕτερον, εὐσεβὲς καὶ ὠφέλιμον. Τῶν ἀτοπωτάτων γὰρ ἂν εἴη πάντως εἰ ῥήτορες μὲν καὶ λογογράφοι τοὺς ἀριστέας τῶν ἐπὶ γῆς βασιλέων καὶ στρατηγούς, ἐπειδὰν κατὰ τῆς ἀντιπάλου μοίρας τούτους ἀνδρίζεσθαι γένοιτο, καὶ τρόπαια κατ᾽ αὐτῶν ἀνιστᾶν ὑπὲρ τῶν ὁμοφύλων περιφανῆ, τοῦτο μὲν αὐτῷ βασιλεῖ, τοῦτο δὲ τοῖς στρατηγοῦσι καὶ νικηταῖς, τοῦτο δὲ καὶ τοῖς ἀκούουσι κατατιθέμενοι χάριτας, δι᾽ εὐφημίας πλουσίας καὶ κρότων μυρίων, καὶ λαμπρῶν ἐπαίνων, καὶ μακρῶν ἐγκωμίων τιθέναι, τὸν μέγιστον ἱστῶσιν ἀγῶνα, κἂν ταῖς βίβλοις ὥσπερ ἔν τισι πίναξι

τῷ ζωγράφῳ λόγῳ διαζωγραφεῖν εὐφυῶς μάλα τὰς τῶν ἔργων εἰκόνας, καὶ οὕτω πως ἄσβεστον τὴν τούτων μνήμην ποιεῖν μηχανᾶσθαι, ἔργον δοκοῦσιν εἶναι τοῦτο τὸ σπουδαιότατον. Ἡμεῖς δέ, μηδὲ τοσοῦτον γοῦν χαρίζεσθαι δι' ἐπιμελείας τιθέμεθα καὶ σπουδῆς τὰ ξένα τερατουργοῦσιν ὑπὲρ τῶν οἰκείων τοῖς μεγίστοις θεράπουσι τοῦ Χριστοῦ καὶ τῆς ἀληθείας ἀνδρικωτάτοις ἀγωνισταῖς, μηδὲ πρὸς αὐτοὺς τὰ ὅμοια φαινώμεθα δρῶντες τοῖς ἔξωθεν σοφισταῖς· ἀλλὰ τοῦτο δὴ τὸ ᾀδόμενον: *Πεζοὶ παρὰ Λύδιον ἅρμα* (1) τὸν ἐκείνων θέομεν τρόπον, ἵνα μὴ λέγοιμι, τὴν ἐναντίαν παντάπασι πορευόμεθα.

Β΄. Καί τοι, πῶς ἂν ἄλλως διατεθέντες περὶ τοὺς κοινοὺς εὐεργέτας καὶ προασπιστὰς τοῦ ἀνθρωπείου γένους, φημὶ δὴ τοὺς τῶν ἁγίων διαβοήτους, ἢ τίποτ' ἂν δράσαντες ἄλλο μέμψεσι πάσαις ὑπεθήκαμεν ἑαυτούς, καὶ ἀγνωμοσύνης ἔγκλημα προσετριψάμεθα καὶ ἀχαριστίας, τοῖς πᾶσί τε ὑπέχοντες ὑπήρξαμεν ὡς ἄδικοι λόγον, ἢ τὸν τρόπον διακείμενοι τοῦτον, μηδένα λόγον μηδενὸς ποιούμενοι τὸ παράπαν, μὴ τῆς τοῦ Κρείττονος δόξης, μὴ τῶν ἁγίων αὐτοῦ, μὴ τῆς τῶν ἀδελφῶν ὠφελείας; Ἀλλ' ἵνα μήτε τοὺς ἀκούσοντας, μήθ' ἑαυτοὺς ἐκ τῆς σιγῆς ζημιώσαιμεν τὴν ἐσχάτην ὄντως τοῖς εὖ φρονοῦσι ζημίαν, καὶ τὴν χάριν δὲ εἰς ἡμᾶς αὐτοὺς ἐπισπασαίμεθα τοῦ παμμάκαρος πατρὸς Χριστοδούλου, εἰ μή τινος ἄλλου, τῆς γοῦν πρὸς αὐτὸν εὐνοίας ἀποδεξαμένου τὸν λόγον διηγητέον εἶναι φημὶ καὶ προθετέον εἰς μέσους, τοῦ τῶν ἀκουόντων ἕνεκα μάλιστα κέρδους, ὅπερ χρόνῳ μικρῷ πρότερον παρὰ τῆς δαψιλεστάτης αὐτοῦ χάριτος ἐφ' ἡμῶν ἐξαισίως ἄγαν τεθαυματούργηται καὶ τετέλεσται· οὔτε παραχωρῆσαι τῶν πρωτείων ἀνεχόμενον ὅλως ἄλλῳ τῳ τῶν τερατουργηθέντων ἐν τοῖς ἀνέκαθεν χρόνοις, καὶ ἱκανὸν ὅτι πλεῖστον κινῆσαι τὰς τῶν πιστῶν διανοίας καὶ γλώσσας εἰς ἔκπληξιν ὁμοῦ καὶ δοξολογίαν τῆς παντουργικῆς δυνάμεως τοῦ μεγάλου Θεοῦ, τοῦ καθ' ἑκάστην *μεγάλα καὶ ἀνεξι-*

(1) Ὅρα ὄπισθεν σελ. 158, ὑποσημ. 1.

*χνίαστα ἐνεργοῦντος, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός* (1), σωτηρίαν τῷ ἡμετέρῳ γένει πάντως οἰκονομοῦντος, κατὰ τὴν πολύτροπον αὐτοῦ σοφίαν καὶ ἀκατανόητον πρόνοιαν. Τοιγαροῦν καὶ τρεπτέον εἰς τοῦτο τοῦ λόγου τὰ χαλινά, καὶ ἀρκτέον ἀπάρτι τοῦ διηγήματος, τὴν ἄνωθεν χάριν ἐπικαλεσαμένοις εἰς συμμαχίαν, μεθ' ἧς κἀκεῖνος ὁ μέγας ἄνθρωπος τοῦ Θεοῦ ὁπόσαι ἡμέραι ἐνεργῶν τελεῖ τὰ παράδοξα τῶν ἔργων καὶ πάσης φυσικῆς ἀκολουθίας ἐπέκεινα. Προσέχειν δὲ ἄξιον καὶ ἡμῖν νηφαλίως τῇ διηγήσει τὸν νοῦν· οὕτω γὰρ ἂν πάντως ἥ τε τῆς τοῦ Κρείττονος δυνάμεως ἀνεξιχνίαστος ἄβυσσος εἰς ἐκείνου δόξαν ἀριδηλότερον τρανωθήσεται, καὶ ὁ θειότατος πατὴρ ἡμῶν ἐπὶ πλεῖον θαυμαστωθήσεται.

Γ΄. Μιᾶς ποτε τῶν ἡμερῶν, τῆς ἰσημερινῆς εἴτουν ἐαρινῆς ὅσον οὐδέπω μελλούσης τὴν χειμερινὴν τροπὴν διαδέχεσθαι, τοῦ Φεβρουαρίου καταντήσαντος ἤδη περὶ τὰς ἐσχάτας αὐτοῦ καὶ τελευταίας ἡμέρας, ἔτους ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ ὀγδόου (2), ἰνδικτιῶνος ὀγδόης ἐνισταμένης, καὶ τοῦ μεγάλου πατρὸς ἡμῶν Γερμανοῦ (3) τοτηνικάδε τὸ τῆς ποιμαντικῆς ἡγεμονίας κῦρος ὡς ἀρίστως ἀνεζωσμένου· Γερμανοῦ, οὗ πολὺ μὲν ἐν ἀρετῆς ἀσκήσει τὸ κλέος, πλέον δ' ἐν συνέσει καὶ πνευματικῆς περιουσίᾳ σοφίας, πλεῖστος δέ γε καὶ ὑπὲρ τοῦ Κρείττονος καὶ τοῦ εὐσεβοῦς φρονήματος ζῆλος· ὃς καὶ πρῶτα μὲν τῷ μαθητευθέντι τῷ μεγαλοφωνοτάτῳ υἱῷ τῆς βροντῆς ὁμώνυμος ἐτύγχανεν ὢν (4), ἐπαμφιασθεὶς δὲ τὸ ὑψηλὸν

(1) Ἰὼβ θ΄ 10. (2) Ἤτοι σωτηρίου 1280.

(3) Τούτου ἡ διαθήκη σώζεται ἐν τῷ τῆς μονῆς γραμματοφυλακίῳ [ἀριθ. 12 ἐκκλησ. ἐγγράφων]. Γίνεται δ' αὐτοῦ μνεία κἀν τοῖς πολιτικοῖς [ἀριθ. 27, 31, 54, 75 καὶ 26 ἐκκλησιαστ.].

(4) Ἀποδέχεται ἄρα καὶ ὁ Ἀνώνυμος οὗτος τὸ ἐν χρόνοις πολλῷ ὑστέροις ἀστόχως χαλκευθὲν μυθάριον, ὅτι δῆθεν ὁ Πρόχορος, εἷς τῶν ἑπτὰ διακόνων, ὑπῆρξε τοῦ Εὐαγγελιστοῦ Ἰωάννου μαθητής· οὐδεὶς γὰρ περὶ τούτου λόγος τοῖς ἀρχαίοις πατράσι καὶ διδασκάλοις τῆς Ἐκκλησίας, οἵπερ ἄλλους ἀναγράφουσι μαθητὰς τοῦ ἠγαπημένου Ἀποστόλου, Πολύκαρπον δηλονότι, Παπίαν καὶ εἴ τινα ἕτερον. Τὸ δὲ ἐπ' ὀνόματι αὐτοῦ φερόμενον κακόπλαστον καὶ κακόζηλον σύρραμμα: **Περίοδοι Ἰωάννου τοῦ Θεολόγου**, ἐγνώσθη τὸ πρῶτον μετὰ τὴν Ι΄ ἑκατονταετηρίδα, ὁπότε ἴσως καὶ συνερράφη.

καὶ ἀγγελικὸν σχῆμα, τὸν ἱερώτατον Πρόχορον εἰς τὴν τοῦ θειοτάτου Γερμανοῦ κλῆσιν ἠλλάξατο. Τούτου οὖν τοῦ μεγάλου κατ' ἐκεῖνο τῆς ὥρας τῆς σεβασμιωτάτης ἀφηγουμένου ταύτης μονῆς, ἐξαίφνης ποθὲν τῆς θαλάσσης οὐκ ὀλίγαι νῆες ἀναφανεῖσαι τοῖς ἐνταυθοῖ κατοικοῦσιν ἡμῖν διεδείκνυντο· ὧν αἱ μέν, ὡς ὕστερον ἐκ τῶν διηγουμένων μαθεῖν ἐδυνήθημεν, πρὸς τὰ ἐκ γειτόνων καὶ ὁμοροῦντα τῇ περιφανεῖ Παλαιστίνῃ, αἱ δὲ πρὸς τὴν περιώνυμον Κύπρον, αἱ δὲ καὶ πρὸς ἄλλους τῶν χώρων ἐποιοῦντο τὸν πλοῦν καὶ τὰ κέλευθα. Αἵ, καὶ τέτταρες μὲν αἱ πᾶσαι τὸν ἀριθμὸν ἐτύγχανον οὖσαι πρὸς τῇ μιᾷ, ἐκ δὲ τῆς Ἰταλικῆς φυλῆς τὸ ἐν αὐταῖς ναυτικὸν τὴν τοῦ αἵματος εἷλκον σειράν, οὐκ ὀλίγων συμπλεόντων αὐτοῖς καὶ τῶν κατὰ τὴν μονάδα βίον προελομένων διαβιοῦν· οἳ καὶ κατ' ἔρωτα τοῖς ἁπανταχῇ διαβεβοημένης Σιών, ὡς ἐκεῖνοι πρὸς τοὺς πυνθανομένους διεβεβαιοῦντο, ἄλλος ἐξ ἄλλης ὡρμημένος πατρίδος, τῆς σφετέρας τε τὴν ἀλλοτρίαν διὰ τὸν οἰκεῖον σκοπὸν προτιμήσαντες, τὴν διαπόντιον ταύτην πορείαν ἐστείλαντο. Ταύτας ἐξ οὐρίας πλεούσας, κατὰ πρύμνας ἐπιφόρου τοῦ πνεύματος ἱσταμένου, καὶ εὐθὺ τῶν πρὸς ἃς ἠπείγοντο τὸν πλοῦν ποιουμένας, ἕτερον ἀντιπνεῦσαν, οὐκ οἶδ' ὅπως, ἐκ πρώρας, ἀνεχαίτισέ τε τοῦ κατὰ σκοπόν, καὶ τῆς εὐθείας ὁρμῆς ἀνακρουσάμενον ἰσχυρῶς, πρὸς τὰ ἐξ ὧν ἀνήχθησαν τὴν ἀρχήν, καὶ μὴ βουλομένας, καταχθῆναι πάλιν βιαιότατα κατηνάγκαζεν. Ἀνευθέτου οὖν οὕτω γεγονότος αὐτοῖς τοῦ πλοός, καὶ ἀμηχανίαις ἐσχάταις ἐπὶ τούτῳ καὶ κυβερνήταις ἅμα καὶ κωπηλάταις περισχεθεῖσι καὶ μὴ ἔχουσιν ὅ,τι καὶ δράσωσιν, ἔδοξε κοινῇ τῆς κατ' ὀρθὸν ἐκτραπέντας βραχύ, πρὸς τοὺς ἡμετέρους καταῖραι λιμένας, καὶ τὰς ναῦς ὡς ἔνι ἐλλιμενίσασθαι, θέσεως εὖ ἔχοντας καὶ ἀσφαλείας σχεδὸν εἰ καί τινας ἄλλους, ἔν τε πνευμάτων ἐμβολαῖς ἀγρίων, καὶ ἀντιπνοίαις βιαίαις οἵους ἐπαγκαλίζειν (1)

(1) Κείσθω καὶ ἡ λέξις αὕτη, ὡς καὶ ἡ ἔμπροσθεν ἐν σελ. 224, ς. 22 ἀπαντῶσα: **Ἐπαγκαλίσεται,** ὡς νέα μαρτυρία τῆς κατακεχωρισμένης μὲν ἐν τῷ Ἐῤῥίκου Στεφά-

καὶ διασώζειν τοὺς ἐκ τοῦ κλύδωνος καὶ τῆς ζάλης πρὸς αὐτοὺς καταφεύγοντας. Πάνυ γὰρ εὐφυῶς ἀναχωροῦσι τοῦ κλύδωνος, καὶ ἠρέμα πως καὶ κατὰ μικρὸν βαθυνόμενοι, τοῖς τε κατὰ κύκλον ἀνεστηκόσι βουνοῖς ἀκριβῆ πανταχόθεν περικλειόμενοι, εὐμαρῶς θερίζειν καὶ χειμάζειν ἀκινδύνως τὰ σκάφη παρέχουσι.

Δ΄. Κατὰ τὸ δόξαν οὖν καταχθέντες, καὶ τοῦ λιμένος περικρατεῖς γεγονότες, σχάσαντες, ὡς ἔθος, μικρὸν ἐντὸς κατὰ τοῦ βυθοῦ τὰς ἀγκύρας εὐστόχως, τούς τε κάλως διατείναντες δεξιῶς, καὶ ταῖς παρακειμέναις ῥαχίαις τὰς ναῦς ἐπιτηδείως προςδήσαντες, καὶ καθ᾽ ὅσον ἐξῆν παντοίως κατασφαλισάμενοι, τῆς ὑγρᾶς πρὸς τὴν γείτονα χέρσον τὸ τελευταῖον ἀπέβησαν. Ἀποβάντες δὲ πάντες ὁμόσε τό τε Λατίνων φῦλον οἵ τε κατὰ μοναχοὺς ἐσταλμένοι, κατ᾽ ἴσον ἐλάφοις μακροτάτῳ δίψει κατεργασθείσαις, ὡς ἐπὶ πηγάς τινας διειδεῖς καὶ νεκταρώδεις (1) τὸ ποτὸν ἐκβλυζούσας, ᾗ ποδῶν εἶχον ἀνὰ τὸ ἡμέτερον ἀνέτρεχον φρούριον· ὁμοῦ μέν, καὶ τοῖς πανταχοῦ τῆς γῆς περιᾳδομένοις ἁγίοις καὶ προμάχοις ἀμάχοις ἡμῶν ὥςπερ ἐχρῆν ἀφοσιώσασθαι τὴν ἀξίαν προσκύνησιν· ὁμοῦ δέ, καὶ τῆς παρ᾽ ἡμῶν, ὡς ἔθιμον, καταπολαῦσαι φιλοφροσύνης καὶ δεξιώσεως. Ἀναδραμόντες οὖν, καὶ τῆς εἰς τὸ φροντιστήριον ἀξιωθέντες εἰςόδου, εἶτα δὲ καὶ τὸν νεὼν εἰςελθόντες τὸν μέγαν τοῦ ἐπιστηθίου καὶ ἠγαπημένου τῷ Χριστῷ μαθητοῦ, πρὸς τῶν νεωκόρων διαπετασθεισῶν αὐτοῖς τῶν πυλῶν ταῖς τοῦ κοινοῦ πατρὸς ἐντολαῖς, τούς τε ἁγίους τὰ γόνατα κλίναντες καὶ τὰ μέτωπα τῇ γῇ προςερείσαντες κατησπάζοντο, τά τε κάλλη καὶ τὴν εὐπρέπειαν καὶ τὸν κόσμον μετὰ θάμβους πάντα κατεθεῶντο καὶ ἀτενὲς αὐτοῖς ἐνητένιζον, ἑστιῶντες τὰς ὄψεις τοῖς ἀνεκφράστοις τοῦ ἱεροῦ οἴκου θεάμασιν.

Ε΄. Ἐξελθόντες δὲ τούτου, καὶ παρὰ τὸν ἕτερον, ὃς δεξιὰν

νου **Θησαυρῷ**, ἀμφιβαλλομένης δὲ καὶ συγχεομένης τῷ : **Ἐπαγκυλέω** καί : **Ἐπαγκυλίζω.**

(1) Γρ· ἴσως : **Διειδὲς καὶ νεκταρῶδες.**

μὲν εἰςιοῦσιν ἡμῖν τὸν ῥηθέντα νεὼν λάχοι τὴν θέσιν, ὥς τινα δὲ θησαυρὸν ἀναφαίρετον καὶ ἀνέκλειπτον, ἢ πηγαίαν (1) θαυμάτων ἀκενώτων, ἢ θάλατταν ἀνεξάντλητον καὶ πέλαγος ἀχανὲς παντοδαπῶν ἀγαθῶν, τὸ πανίερον πλουτεῖ σκῆνος τοῦ τριςμάκαρος πατρὸς ἡμῶν Χριστοδούλου, ἐφ' ᾧ καὶ αὐτῷ τὴν ὀφειλομένην προςκύνησιν ἀποδοῦναι εἰςήλθοσαν. Εἰςιόντες δέ, οἱ μὲν ἄλλοι πάντες τὰ ὅμοια κἀνταῦθα τοῖς προτέροις δρῶντες ἐδείκνυντο, καὶ μεθ' ὅσης ὑποστολῆς καὶ σεβασμιότητος, ὡς γοῦν προςῆκε, τὸ ὀφειλόμενον ἐκπληρώσαντες, τῆς ἐκκλησίας ἐξῄεσαν. Δύω δέ τινες ἐξ αὐτῶν, τὰ τῶν μοναχῶν μὲν ἠμφιεσμένοι, τρόπον δ', ὡς ἐκ τῶν πραγμάτων ἠλέγχθησαν, οὐδ' ὀντιναοῦν κατ' αὐτοὺς κεκτημένοι, σχέσιν τε καὶ τάξιν μαθητοῦ καὶ διδασκάλου φυλάττοντες πρὸς ἀλλήλους, τολμηρᾷ ψυχῇ καὶ θρασείᾳ τὸν τοῦ Θεοῦ φόβον περὶ ἐλάττονος τῆς σφετέρας ποιησάμενοι γνώμης, τὸ πανέντιμον λείψανον τοῦ παμμάκαρος πατρὸς ἀσπάσασθαι δῆθεν τῆς λάρνακος κατακύψαντες ἔνδον, καὶ λαθραίως, τοῦ νεωκόρου περὶ ἄλλα ἐπτοημένου, ἐπιβαλόντες τὼ χεῖρε, καὶ τοὺς ὀδόντας ἐμπείραντες κυνηδὸν (τῆς ἀναιδείας!), μέρη τινὰ τῶν ἐπικειμένων τῷ σώματι τοῦ ἁγίου περιβλημάτων τῆς ὁλοκληρίας ἀπέκοψαν, ὡς μὴ ὤφελε, καὶ ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς κρύφα τοῖς ἰδίοις ἐνθέμενοι κόλποις ἐκκεχωρήκασι καὶ αὐτοὶ τοῦ νεώ, χαίροντες οὐδ' ὅσον εἰπεῖν, ὡς ἐπὶ μεγάλῳ τινὶ κατορθώματι τὰς καρδίας, καὶ ἐπιγαννύμενοι τῷ τολμήματι. Ἀξιωθέντες δὲ μετὰ τοῦτο παρὰ τοῦ κοινοῦ πατρὸς καὶ γνησίου ποιμένος ἡμῶν τῆς τε διὰ λόγων ὁμιλίας, καὶ τῆς δι' αὐτῶν τῶν ἔργων θεραπείας καὶ παρακλήσεως, εἶτα τὰ εἰκότα καὶ συνήθη προςειπόντες ἡμᾶς ἀπηλλάττοντο.

Ϛ'. Οὗτοι μὲν οὖν οἱ φῶρες καὶ τολμητίαι οὕτω τὸ δρᾶμα δράσαντες τοῦτο, τῷ μὲν δοκεῖν ψευδευλαβείας σχηματισμῷ, τῇ δ' ἀληθείᾳ καρδίας ἀναιδείᾳ καὶ ἰταμότητι, τὴν ἁμαρτίαν μεθ' ἑαυτῶν ἐγκόλπιον ἐπαγόμενοι, τῆς ἡμετέρας συνάμα τοῖς

(1) Γραπέον οἶμαι : **Πηγήν**· οὐδαμοῦ γὰρ ὡς οὐσιαστικὸν ἀπαντᾷ ἡ λέξις.

συμπλόοις ἐξεληλυθότες κατήεσαν πρὸς τὸν ναύσταθμον. Ὁ δέ γε γνησιώτατος θεράπων τοῦ Κρείττονος (τὸν θειότατον λέγω Χριστόδουλον), οὐ μετρίως ἀγανακτήσας ἐπὶ τῷ τολμηθέντι, καὶ δι' ὀργῆς, ὥςπερ ἔδει, δικαίας ποιησάμενος τοὺς τληπαθεῖς ἐκείνους καὶ ὑπευθύνους, δι' αὐτοὺς δὲ καὶ τοὺς ἐκτὸς αἰτίας, πρηστῆρας μὲν οὐρανίους καὶ κεραυνοὺς οὐ κατήγαγε, κατὰ τὸν Θεσβίτην ἐκεῖνον καὶ ζηλωτὴν Ἠλιοὺ (1) τοὺς ἀτασθάλους πυρὸς ποιήσασθαι παρανάλωμα, ἄλλα δὲ εἰργάσατο, μετριώτερα μὲν καὶ φιλανθρωπότερα, οὐδὲν δὲ ἧττον τὰς ἐκείνων ψυχὰς κατασεῖσαι καὶ μαστιγῶσαι δυνάμενα, τῶν κακουργούντων πάντων τὰς πονηρίας ἀνακόπτων ὁρμαῖς ὅλαις καὶ μυσαττόμενος· οὔτε γὰρ τοῦ λιμένος συνεχώρει τούτους ἀναχθῆναι κἂν ὁπωσοῦν, καὶ ἂν διὰ τῆς πείρας αὐτῆς ἔγνωσαν *καθ' ἑαυτῶν*, ὃ λέγεται (2), *τὴν μάχαιραν ἀκονήσαντες*, σὺν αὐτάνδρῳ τῷ σκάφει τῷ θαλαττίῳ ἐγκαταδύντες βυθῷ, ὡς ὁ σκληροτράχηλος ἐκεῖνος καὶ ἀναίσθητος Φαραώ, εἰ μὴ ταῖς πανσυνέτοις ὑποθήκαις καὶ εἰςηγήσεσι τοῦ ἰσαγγέλου πατρὸς φθάσαντες, ἐπ' αἰσχύνῃ τοῦ μυσταγωγοῦ τῶν τοιούτων, ἐστηλίτευσάν τε καὶ ἐθριάμβευσαν ἀναφανδὸν τὴν πλημμέλειαν. Καὶ σκοπεῖτε ὅπως· ἐνταῦθα γὰρ μάλιστα τὸ θαυμαστὸν καὶ ξένον τοῦ διηγήματος. Ἀντιπνεόντων γὰρ τῶν πνευμάτων, καὶ παρὰ τοῦτο τῶν νηῶν, ὡς ἔφαμεν, δυναμένων οὐδ' ὁτιοῦν ἀποπλεῦσαι, πάντων θ' ὁμοῦ τοῖς ὅλοις ἐξαπορούντων, δέον συνεῖναι τοὺς τολμηροὺς ἐκείνους ἄνδρας τὴν ἀγανάκτησιν τοῦ Θεοῦ, καὶ δι' ὃ τὸ αἴτιον ταῦτα καὶ ἡ τοσαύτη συμβαλεῖν νηνεμία, καὶ κατεγνωκότας ἑαυτῶν, μετά γε συντετριμμένης καρδίας καὶ καταβεβλημένου φρονήματος ὡς ἡμᾶς ἀναδραμεῖν, καὶ τὴν ἁμαρτίαν

(1) Γ'. Βασιλ. ιη' — ιθ'.

(2) Ἄγνωστόν μοι τὸ παροιμιῶδες τοῦτο λόγιον. Ἀλλ' ἔστιν ὅμοιον τῷ: **Αἲξ τὴν μάχαιραν· ἐπὶ τῶν ἑαυτοῖς λανθανόντως κακόν τι ἐπισπωμένων. Εἴληπται δὲ ἐξ αἰτίας τοιαύτης. Κορίνθιοι αἶγα τῇ Ἥρᾳ ἔθυον· κρυψαμένων δέ τινων τὴν μάχαιραν, ἡ αἲξ τοῖς ποσὶ σκαλεύουσα ἀνέφηνεν** [Διογενειαν. Α', 52. — Πρβλ. καὶ Ζηνόβ. Α', 27].

εἰς προὖπτον ἐκλαλήσαντας ἐκπομπεῦσαι, εἰς γόνατά τε κλιθέντας σὺν δάκρυσι, συγγνώμην ἐφ᾽ οἷςπερ πεπράχασιν οὐ καλῶς ἐξαιτήσασθαι· ὅςπερ μετανοίας ἀληθοῦς ἐστι τρόπος, ὡς ἂν οὕτω καὶ Θεὸς αὐτός, καὶ ὁ τούτου θεράπων ἵλεῳ καὶ εὐμενεῖς αὐτοῖς γένοιντο· μηδὲ γὰρ ἄν ποτε διατεθέντας ἄλλως δυνηθῆναι τοῦ κατὰ θάλατταν ἅψασθαι πλοῦ. Οἱ δέ, *οὔτε συνῆκαν*, ὡς ἔοικεν, *ἐν τῷ σκότει* τῆς ἀγνωσίας τὴν ὁδὸν τοῦ αἰῶνος τούτου *διαπορευόμενοι* (1)· καὶ βραχύ τι μέρος, οὐμενοῦν συνετῶς, τῶν ὑφαιρεθέντων ἐκείνων τοῦ ἁγίου ῥακίων ἀφελόμενοι πάλιν, καί τινος ἐξάψαντες ἐκεῖνο σχοίνου, κατὰ τοῦ τῆς ἁλμυρᾶς καθῆκαν βυθοῦ, νομίσαντες ἐντεῦθεν ἰσχῦσαι σπείσασθαι τῇ τε θαλάττῃ καὶ τοῖς ἀνέμοις, καὶ μετὰ ταῦτα χρήσασθαι τούτοις ὅπως ἂν βούλοιντο.

Ζ΄. Τὸ δέ, οὐχ᾽ οὕτω συμβὰν τύχοι, ἀλλ᾽ ἀπ᾽ ἐναντίας τῶν τῆς ψυχῆς βουλευμάτων ἐχώρει. Παραχρῆμα γὰρ τότε (Τῆς ἀνεικάστου σου καὶ παναλκοῦς ἰσχύος, Χριστὲ βασιλεῦ! *Τίς λαλήσει τὰς σὰς δυναστείας, ἀκουστὰς δὲ ποιήσει πάσας σου τὰς αἰνέσεις;* (2) *Σὺ εἶ Θεὸς μέγας. Σὺ εἶ Θεὸς ἡμῶν ὁ ποιῶν θαυμάσια μόνος* (3).) πάντα ἦν ὁμοῦ τὰ δεινά, καθάπερ ἀπὸ συνθήματος ἐκ γῆς μυκήματα, καὶ βοαί, καὶ κλόνος, καὶ σεισμὸς οὐδ᾽ ὅσος εἰπεῖν· ἐξ οὐρανῶν ἦχος ἐξάκουστος, οἷος φρικωδεστάτων καταῤῥηγνυμένων βροντῶν· πρὸς δέ, καὶ φλογώδεις βολίδες κύκλῳ τῆς γῆς διάττουσαι συνεχεῖς ἐκτριβομένων πυροειδῶν ἀστραπῶν· ἐξ ἀέρος καταιγὶς σφοδρά, και ζοφώδης γνόφος καὶ λαῖλαψ ἅμα καὶ θύελλα· ἥ τε θάλασσα δίκην θηρὸς ἀγρίου μέγα καὶ καταπληκτικὸν ἐπωρυομένη καὶ ἐπὶ πολὺ τοῦ ἀέρος μετεωρίζουσα τὸ μυρίον αὐτῆς κῦμα καὶ ἀνορθοῦσα, καὶ ταῖς παρακειμέναις προσαῤῥάσσουσα τοῦτο καὶ συντρίβουσα πέτραις, ζάλην φρικώδη, καὶ τρικυμίαν, καὶ κλύδωνα τῶν πώ-

(1) Ψαλμ. πά, 5.
(2) Ψαλμ. ρέ, 2.
(3) Ψαλμ. ος΄, 14 — 15, καὶ πέ, 10.

ποτε ταύτην περισχόντων τὴν νῆσον τὸν χαλεπώτατον ἐνεποίει, καὶ τὰς ναῦς αὐτάνδρους ὅλας ἐφώρμα καταπιεῖν, καὶ τοῦτο ἐν οὕτως εὐαγκάλῳ λιμένι καὶ ἀσφαλεῖ (ὃ καὶ δεῖγμα μάλα σαφὲς τῶν κατ' αὐτῶν τοῦ θεοειδεστάτου πατρὸς Χριστοδούλου δικαιοτάτων θυμῶν)· ἐπιπλέον δέ γε λαβομένη τῆς, ἣ τοὺς θρασεῖς ἐκείνους ἦν ἐπιφερομένη καὶ ὑβριστάς, ἐκτόπως ἐτιμωρεῖτο, καὶ πρὸς τὴν ξηρὰν ἐκβρασθῆναι συνάμα τῷ σκάφει τούτους ἀνενδότως ἄγαν ἐφιλονείκει· τάχα μέν, καὶ τὴν ἀνεκδιήγητον ἐντεῦθεν τοῦ Θεοῦ κηρύττουσα δύναμιν· τάχα δέ, καὶ τῆς τοσαύτης ἀναισθησίας καθαπτομένης τῶν τῷ λόγῳ τὰ πάντα πλεονεκτούντων καὶ διελέγχουσα, καὶ μονονοὺκ ἀνθρωπίναις χρωμένη φωναῖς, καταβοῶσα τῆς ἀνοίας ἢ ἀπονοίας αὐτῶν· καὶ ἂν καὶ τέλεον ἡ ναῦς διελύθη τοῖς κύμασιν, ἰσχυρῶς οὕτω τυπτομένη, καὶ ταῖς πέτραις χαλεπῶς πάνυ προστριβομένη· καὶ ἂν ἀπώναντο καὶ οἱ ἄνδρες τῶν πόνων τῶν οἰκείων καρπῶν, καὶ κατάλληλον τοῖς καταβληθεῖσι σπέρμασι τὸν τῶν δραγμάτων ἐποιήσαντο ἀμητόν· καὶ ἂν ἀνάλογον ἐδρέψαντο τὴν ἐπικαρπίαν, ὧν αὐτοὶ γένοιντο φυτουργοί, εἰ μή τοι γε τὸ ἐναφεθὲν ἐκεῖνο βραχύτατον ῥάκος τῷ τῆς θαλάττης βυθῷ, ἐκεῖθεν αὖθις ἀνιμήσαντο τὴν ταχίστην καὶ εἰς συναίσθησιν ἐλθόντες οἷ κακοῦ γένοιντο χάριν τοῦ τολμηθέντος, τῆς κατὰ διάνοιαν ἐπεμνήσθησαν μεταμελείας ἢ μετανοίας, *νοῦν* ὡς ἀληθῶς, κατὰ τὴν σοφὴν παροιμίαν (1), *προςλαβόντες ἐκ τῆς πληγῆς*.

Η'. Τί τὸ ἐντεῦθεν; Οὐκ ἦν τῶν ἁπανταχοῦ οὐδείς, ὅστις ἐκτὸς τῆς μάστιγος ταύτης ἐτύγχανεν ὢν ἑστηκώς· οὐκ ἦν ὅστις ἀναλγήτως εἶχε τῆς συμφορᾶς· οὐκ ἦν ὅς γε κρείττων κατεφαίνετο τῆς πληγῆς· πάντες δ' ἐπλήσσοντο· πάντες ἔφριττον· πάντες ἐδειλίων ὁμοῦ· πάντων τὰς καρδίας ἐπίσης ὁ θεῖος ἥψατο φόβος· πᾶσιν ἐν ἐλπίσιν ὁ κίνδυνος ἦν· πάντας ἀπογινώσκειν τῆς ἰδίας ζωῆς τῆς μάστιγος ἐνεποίει ταύτης τὸ πάθος.

(1) «**Πληγεὶς ἁλιεὺς νοῦν οἴσει**». Ἴδε περὶ τῆς παροιμίας ὄπισθεν σελ. 83, ὑποσημ. 3.

Ταῖς γὰρ διανοίαις αὐτῶν ἐνσκήψασα ἡ πληγὴ κραταιῶς καὶ καθαψαμένη, κατηνάγκαζε τρέμειν καὶ δεδιέναι περὶ τῶν ἐσχάτων τοὺς ἄνδρας, καὶ τὴν δύναμιν ἐπιγινώσκειν καὶ διαπρυσίως ἀνομολογεῖν τὴν τούτους μαστίζουσαν· εὐαίσθητον γάρ, καὶ πρός τὴν κατανόησιν τοῦ βελτίονος, πρός τε τὴν τοῦ εὐεργετοῦντος εὐχαριστίαν εὐγνωμονέστερον καὶ ὀξύτερον ἅπαν τὸ πιεζόμενον. Ἀνθ' ὧν ἄρα, καὶ δειλιώντων καὶ ταραττομένων ὁμοῦ πάντων, καὶ τὸν θάνατον μονονοὺ πρὸ τῶν ὀμμάτων κείμενον θεωρούντων, θροῦς παμμιγὴς ἀνυψοῦτο, καὶ βοή τις ἀνηγείρετο βαρβαρώδης, λαλαγή τε ἄναρθρος διηχεῖτο, καὶ πάταγος ἄσημος ἄχρι πολλοῦ διαστήματος ἐξηκούετο, οἱ σαφεῖς ἄγγελοι ταῦτα τῆς ἔνδον καὶ ἀφανοῦς ταραχῆς, καὶ τῆς καρδιακῆς τρικυμίας, καὶ τῆς συγχύσεως τῶν ἐγκάτων, καὶ τῆς ζάλης τῆς ψυχικῆς καὶ τοῦ κλύδωνος.

Θ΄. Καὶ οἱ μὲν οὕτως ἔχοντες διὰ τὴν ἁμαρτίαν δυστυχῶς ἑωρῶντο, εἰς ἔλεον καὶ δάκρυα συμπαθείας καὶ αὐτοὺς μικροῦ δεῖν τοὺς ἐχθραίνοντας προκαλούμενοι· οὕτως ἦν ἀφόρητον τὸ δεινόν. Ὁ δέ γε τοῦ Θεοῦ ἄνθρωπος, ὁ τῆς ἡμετέρας δηλαδὴ μάνδρας ποιμὴν ἀληθής, ὡς ἂν τὰ θεῖα πεπαιδευμένος καὶ τὴν σύνεσιν ὢν στιβαρός, ἀγχίνους τε καὶ ὀξύς, εἰ καί τις ἐπαγωγὴν Θεοῦ ξυμβαλεῖν, τὸ ἐπενεχθὲν εἰς παιδείαν τῶν κακοφρονούντων ἀναμαθών, καὶ ὅσα πάθοιεν πάντα ἀκούσας, καὶ ἀναλογισάμενος μὴ ἄν ποτε σφίσιν αὐτοῖς ἀθεεὶ συμβῆναι ταυτί, μηδ' ἔκ τινος αὐτομάτου, ὡς ἂν ἄλλος τις ἴσως οὐ καλῶς διανοεῖσθαι δυνάμενος οἰηθείη τὴν ἐν τοῖς λιμέσιν αὐτῶν ἀκούσιον προσεδρείαν παραταθῆναι μέχρι τοσούτου, θεομηνίαν δὲ εἶναι ταῖς ἀληθείας τὸ πρᾶγμα σαφῆ, διά τινα πάντως πλημμέλειαν ἐπεισφρήσασαν, ἅμα ταῖς πρώταις βολαῖς ἀνίσχοντος τοῦ φωσφόρου, μηδὲν μελλήσας, ἀλλὰ μετάπεμπτον ποιησάμενος τῶν τινα τῆς μονῆς (Ἱερόθεος οὗτος ἦν ὁ τὰ πάντα καλὸς ἀνήρ, πατρίδα μὲν εὐτυχήσας τὴν κουροτρόφον Κρήτην καὶ ζωοθρέμμονα, δριμὺς δὲ ἄλλως ὢν φίλος τῆς ἀρετῆς καὶ διάπυρος ἐρα-

στῆς τοῦ καλοῦ)· τοῦτον οὖν μετακακαλεσάμενος, — «Τέκνον, » φησὶ πρὸς αὐτόν, παρὰ τὰς ναῦς ταύτας ἐξ αὐτῆς μηδοτιοῦν » ὑπερτιθέμενος, καταβάς, ταῦτά μου τὰ βραχέα τῶν λόγων » πρὸς ἅπαντα τὸν ἐκεῖσε λαὸν διαπορθμευσάμενος διαμάρτυραι. » Μὴ νομίσητε λέγων, ὦ ἄνδρες, ἔκ τινος συντυχίας ἢ περιπε- » τείας ἀνωμάλου τῆς ὥρας, ἅπερ φθάσαντες ἐπεπόνθειτε συμ- » βῆναι τῶν χαλεπῶν, μηδ' ἁπλῶς καὶ τυχαίως γενέσθαι τὸ » τοσοῦτον χρόνον ἀπράκτους προςκαρτερεῖν ὑμᾶς καὶ ἄκοντας » ἐνταυθοῖ· μή ποτε τοῦτο ὑμεῖς οἰηθείητε· ἀλλ' ὅτι περ, ὅσα » ἐμὲ εἰδέναι, τινὲς ἐξ ὑμῶν, μηδέν τι παρὰ (1) τῶν τῆς μονῆς » ἀδίκημα ὑποστάντες, εἰς τὸν ἅγιον τουτονὶ τόπον ἐξ οἰκείας » ἐξύβρισαν ἀφροσύνης, καὶ παρὰ τοῦτο κατὰ τῶν οὕτω πεπλημ- » μεληκότων καὶ μή, δεινοπαθήσοι καὶ ὀργισθείη τὸ θεῖον. Καὶ » εὖ ἴστε πάντες, ὡς εἰ μὴ διὰ τάχους ὁ τὴν ἁμαρτίαν διαπράξα- » σθαι τὸν ἀλάθητον καὶ μέγαν ὀφθαλμὸν τοῦ Θεοῦ μηδ' ὁπως- » οῦν δειλιάσας, τῆς ἑαυτοῦ κατεγνωκὼς ἀναιδείας, ὡς ἡμᾶς τε » ἀνελθὼν ἐξείποι, παῤῥησίᾳ τὸ πάθος ἀνακαλύψας, καὶ προς- » πεσὼν τοῖς ποσὶ τοῦ ἁγίου συγγνῶναι οἱ, ἐφ' οἷς περ προς- » κέκρουκεν ἐκ μέσης αὐτῆς ἐξαιτήσαιτο τῆς καρδίας, δακρύων » πηγὰς τῶν ὀμμάτων ἀποῤῥέων συχνάς, οὔτε δυνήσεσθε τοῦ » λιμένος ἀναχθῆναι ποτέ, καὶ δέος μὴ καὶ κίνδυνον οὐ μικρὸν » ὑποστήσεσθε, ἵνα μὴ εἴποιμι παντελῆ κατάδυσιν καὶ ἀφά- » νειαν». Ταῦτα σοφῶς ἄγαν ὁ πατὴρ ἐπισκήψας, τὸν ἀπεσταλμένον ἐξέπεμψε. Καὶ ὃς καταβάς, καὶ τὰ ἐντεταλμένα ἐξηγησάμενος πάντα, παραλείψας μηδέν, παμπόλλην φρίκην καὶ οὐκ ὀλίγον δέος τοῖς ἀνδράσιν ἐνῆκε, τοῖς εἰρημένοις προςσχοῦσι τὸν νοῦν ἀκριβῶς.

Ι'. Ἀλλ' ὁ μὲν οὕτω ταῦτα· οἱ δέ, ἀκούσαντες, οἱ μὲν ἄλλοι πάντες μηδὲν ἑαυτοῖς συνειδέναι πρᾶξαι τῶν ἀνοσίων, ὅτι μὴ μόνον τῶν νεωτέρων τινάς, ἕν που ἢ δύω τῶν βοσκημάτων λαθόντας καὶ ἡμᾶς καὶ τὸν αἰπόλον αὐτόν, τῆς λοιπῆς ἀφαρπά-

(1) Τὸ χειρόγρ. **Περί.**

σαι ἀγέλης, καὶ σφάξαντας λάθρα καταθοινήσασθαι, διεβεβαιοῦντο, προςθέντες τῷ λόγῳ καὶ ὅρκον τὸν φρικωδέστατον· οὐ μὴν δὲ ἀλλὰ καὶ εἴ τις τῶν ἡμετέρων ἄτοπόν τι πεπραχὼς εἰς τὸ μετέπειτα φωραθείη, οἱ τοῦ ναυτικοῦ πάλιν ἔφασαν ἄκροι καί, οἷον εἰπεῖν, τὰ κεφάλαια, εὖ ἐστὲ γινώσκοντες, ὡς οὐ τὴν τυχοῦσαν, ἀλλὰ τὴν ἐσχάτην κατάκρισιν ὑποστήσεται. — Καὶ ταῦτα μὲν οὗτοι. Ἡ δὲ τολμηρὰ καὶ ἀναιδὴς τῶν μοναστῶν ἐκείνων δυάς, μήτε τὰς ἐκ τοῦ συνειδότος μάστιγας ἔτι στέγειν δυνάμενοι, τοῦ ἐμφύτου καὶ ἀῤῥεποῦς δικαστοῦ, ἐν ἀποῤῥήτοις ὡς ὑπὸ μαστίγων τῶν ἐλέγχων ἀνενδότως ἐφ' οἷς περ ἡμάρτοσαν μαστιζόμενοι, καὶ ἅμα δείσαντες μήποτε καὶ τῶν φθασάντων ὑποσταῖεν δεινότερα, καταλείψαντες τοὺς λοιποὺς ἀνατρέχουσιν ὡς ἡμᾶς, μηδὲν τὸ σύνολον ὑπερτιθέμενοι. Καὶ ἀναδραμόντες, καὶ τῆς εἰς τὸ φροντιστήριον παραχωρηθέντες εἰςόδου, προςκαταβάλλουσιν ἑαυτοὺς εὐθέως ἐπ' ἐδάφους, ἐν ἐλεεινῷ πάνυ τῷ σχήματι προκαλινδούμενοι τῶν ποδῶν τοῦ ἰσαγγέλου πατρός, τῆς ἱερᾶς ἡμῖν τῷ ὄντι καὶ κεφαλῆς καὶ ψυχῆς, καὶ εἰς ἐπήκοον οὕτω πάσης τῆς τῶν ἀδελφῶν τερπνῆς συνοδίας ἐκλαλήσαντες τὸ ἁμάρτημα, ἐκπομπεύουσιν ὅπως ὑφείλοντο καὶ δι' ἥν τινα τὴν αἰτίαν, καὶ ὅτου χάριν κατὰ τοῦ τῆς θαλάττης καθῆκαν βυθοῦ· καὶ ἐπὶ τούτοις, τίποτε πάθοιεν ἄρα τὰ πάντα διηγησάμενοι, μηδ' ὁτιοῦν τὸ παράπαν ἀποκρυψάμενοι· καὶ ἅμα τῷ λόγῳ τὰ συληθέντα βραχύτατα ῥάκια τῶν κόλπων ἐξαγαγόντες καὶ ταῖς τῶν νεωκόρων ἐνδόντες χερσί, συγγνώμην ὁμοῦ καὶ τὴν δι' εὐχῶν εὐλογίαν ἐκ τῶν βαθέων αὐτῶν τῆς καρδίας ἀπήτουν· τοῦτο μέν, θερμὰ τῶν ὀφθαλμῶν ἀποῤῥέοντες δάκρυα, τὸ μαλακτικώτατόν τε καὶ ἀνυσιμώτατον φάρμακον εἴπερ τι ἕτερον εἰς πειθώ· τοῦτο δέ, καὶ τοῖς ποσίν, ὡς ἔφαμεν, οἰκτρῶς ἄγαν προςκυλιόμενοι τοῦ θειοτάτου πατρός, καὶ τί μὲν οὐ λέγοντες, τί δὲ οὐ πράττοντες τῶν ὅσα δύνανται καὶ τὸν σφόδρα ἀμείλικτον καὶ μονονοὺ λιθίνην ἢ σιδηρέαν κεκτημένον καρδίαν καταμαλάξαι καὶ ἀπαλῦναι, μὴ ὅτι τὴν συμπαθῆ

τε καὶ φίλοικτον ψυχὴν τοῦ πράου καὶ ἡμέρου τούτου ποιμένος ἡμῶν. Καὶ ὅς, αὐτίκα τοῖς ἀνδράσι γαληνὸν ἐνιδών, ταῦτά τε χριστομιμήτως ὡς διακαὴς ἐδίδου μαθητὴς τοῦ Χριστοῦ, τοῦ *μὴ δικαίους ἐλθόντος καλέσαι, τοὺς δὲ ἁμαρτωλοὺς εἰς μετάνοιαν* (1), καὶ πολλὰ παραγγείλας καὶ νουθετήσας μήτε αὐτοὺς ὅλως κατατολμῆσαί τι τοιοῦτον εἰς τὸ ἑξῆς διαπράξασθαι τοῦ καιροῦ, μήθ' ἑτέροις διδάσκουσι καὶ ἄκοντας συνωθοῦσιν εἰς τοῦτο μηδὲ μικρὸν γοῦν πειθηνίους ὑπέχειν τὰς ἀκοάς, ἐν εἰρήνῃ πρὸς τὰς συμπλόους καὶ συνήθεις ἐξέπεμψε.

ΙΑ΄. Τί τὸ μετὰ ταῦτα; Κάμπτεται τῇ μετανοίᾳ τῶν ἀνδρῶν ὁ μέγιστος τῷ ὄντι Χριστόδουλος, καὶ παρὰ τοῦτο σπένδεται τούτοις, καταλλάττεται, ἱλαρὸν ἐπιβλέπει πᾶσι καὶ εὐμενές· καὶ ἐπιβλέψας, τὰς κατ' αὐτῶν ὀργὰς καταλύει εἰς τέλος, καὶ τῇ νῦν εὐμενείᾳ καὶ ἡμερότητι τὴν προτέραν ἐκείνην καὶ δικαίαν ὄντως ἀποκρύπτει δυσμένειαν. Τούτου δὲ τοῦ καλοῦ τυχόντες οἱ ἄνδρες, καὶ εὐφόροις τὸ ἀπὸ τοῦδε χρησάμενοι τοῖς ἀνέμοις, κατ' αὐτὴν τὴν νύκτα (Ὢ Θεοῦ τοῦ τὰ θαυμαστὰ καὶ ἐξαίσια ἐξ αἰῶνος τερατουργοῦντος!) ἀνήγαγον τοῦ λιμένος τὰς νῆας, περιήγαγον τὰς κεραίας, καὶ τὰ λαίφη διαπετάσαντες ὅλα, πρὸς ἅπερ τὴν πρώτην ἠπείγοντο, μετ' εὐφροσύνης ὅτι πλείστης καὶ εὐθυμίας ἀπέπλεον. Ἡμεῖς δὲ ἅμα φωτὶ ἀναμαθόντες τὸ γεγονός, τοῦτο μέν, μετὰ θαύματος τῷ Θεῷ, τοῦτο δέ, καὶ τῷ γνησίῳ αὐτοῦ θεράποντι Χριστοδούλῳ οὐκ ὀλίγας ἦμεν ὁμολογοῦντες περιτράνῳ γλώττῃ τὰς χάριτας.

ΙΒ΄. Τοιαῦτα τὰ τῶν ἀληθινῶν χριστιανῶν διηγήματα. Τοιαύταις ἡ τοῦ Χριστοῦ Ἐκκλησία ταῖς ἱστορίαις ἐγκαλλωπίζεται. Τοιούτοις ἐπαγάλεταί τε καὶ ἐπιγάννυται τοῖς ἀκούσμασι, καὶ τοιαῦτα τὰ τοῦ ἀντιλήπτορος ἡμῶν καὶ προ[στάτου ;] περιφανῆ καὶ ἀξιομνημόνευτα θαύματα. Οὕτως ὁ τῶν θαυμασίων καὶ τῶν τεράτων Θεὸς διὰ τῶν ἑαυτοῦ ἁγίων οἶδεν ὁπόσαι ἡμέραι τερατουργεῖν τὰ παράδοξα, ἔργοις αὐτοῖς τὴν τῶν κακοποιούντων

(1) Ματθ. θ΄, 13.

μὲν πονηρίαν διελέγχων καὶ ἀναστέλλων, τοὺς δὲ γνησίως αὐτὸν θεραπεύσαντας διὰ μεγαλειότητός τε καὶ δόξης τὸν ἅπαντα χρόνον ποιούμενος. Αὐτοῦ γάρ ἐστιν οὗτος ὁ λόγος, καὶ οὔμενουν διαπεσεῖται τὸ σύνολον, τί ποτε ἆρά γε λέγοντος: *Ἐγὼ τοὺς δοξάζοντάς με δοξάζω, οἱ δὲ ἐμὲ ἐξουθενοῦντες ἀτιμασθήσονται* (1). Ἐκεῖνος ποτὲ καὶ θάλατταν ἔτεμεν ἄπλητον, καὶ ποτάμιον ἀνέκοψε ῥεῦμα, καὶ τὸν τῶν φωστήρων ἔστησε δρόμον, καὶ πέλαγος ἄγριον ἐπέζευσεν ὑπὲρ φύσιν, καὶ πνεύμασιν ἐπετίμησε σφοδροτάτοις. Καὶ νῦν μὲν *τὴν κτίσιν ὡπλοποίησεν εἰς ἄμυναν τῶν ἐχθρῶν* (2), νῦν δ' αὖ τὴν αὐτὴν πάλιν μετασκευάσαι δεήσας μετεστοιχείωσε, τὸ καινότατον, τὴν τοῦ ὕδατος μὲν εὐδιάχυτον φύσιν, εἰς τὴν δραστήριον δύναμιν τοῦ πυρός· τὴν τούτου δέ, εἰς τὴν ἐκείνου παραδόξως μεταμείψας ἐνέργειαν· καὶ *πέτρας μὲν ἀκροτόμους, εἰς πηγὰς ἄφθονον προχεούσας τὸ ῥεῖθρον* (3) ἀναστομώσας, *εἰς ἔρημον* δὲ πελαγίζοντας *μεταθέμενος ποταμούς, καὶ διεξόδους ὑδάτων εἰς δίψαν*, ᾗ που ψάλλων ὁ μέγας ἐν προφήταις καὶ βασιλεῦσι Δαβὶδ κελαδεῖ (4).

ΙΓ΄. Ἄλλος μὲν οὖν ἄλλο τι περὶ τούτου τοῦ θαύματος οἰέσθω τε καὶ λεγέτω, ἕκαστος ὅπως ἂν ἔχοι δηλονότι καὶ πίστεως καὶ φρονήματος· ἐγὼ δὲ ἄρα οὕτως ἀφελῶς ἔχων πάνυ καὶ ἰδιωτικῶς, τῆς περὶ ἡμᾶς πατρικῆς τοῦ μεγάλου στοργῆς τεκμήριον τοῦτο σαφέστατον εἴπερ τι ἕτερον τίθεμαι, καὶ τῆς μέχρι παντὸς ἀκαταλύτου διαμονῆς, τοῦτό που τούτου τοῦ ἁγίου τὸ τοιοῦτον πλέον πάντων σύμβολον ἐναργέστατον ἥγημαι. Εἰ γὰρ τὸ καὶ αὐτὰ τὰ τῶν ἁγίων πανίερα λείψανα παραδοθῆναι τοῖς ἀθεωτάτοις ἀπογόνοις τῆς Ἄγαρ, καὶ οἷόν τινα βρώματα ταῦτα πρὸς αὐτῶν προσριφῆναι *τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, σπαράγ-*

(1) Α΄. Βασιλ. β΄, 30.
(2) Σοφ. Σολ. ε΄, 18.
(3) Ψαλμ. ριγ΄, 8.
(4) Ψαλμ. ρς΄, 33.

*ματά τε τοῖς θηρίοις τῆς γῆς* (1), κρίμασιν οἷς οἶδεν ἡ πολυποίκιλος σοφία Θεοῦ, τῆς παντελοῦς τῶν ἱερῶν τόπων καταστροφῆς δεῖγμα, καὶ αὐτῆς τῆς ἡλιακῆς ἀκτῖνος μακρῷ καθαρώτερον γένοιτο· τοῦτο μέν, ἐν οἷς ὁ ἐμὸς Χριστὸς καὶ Θεὸς μετὰ σώματος διὰ τὴν ἐμὴν σωτηρίαν τὰς διατριβὰς ἐποιεῖτο, τῆς ἐν ἐπαγγελίαις βασιλείας τῶν οὐρανῶν κηρύττων τὸ Εὐαγγέλιον· τοῦτο δέ, καὶ κατ' αὐτὸ τὸ περιθρύλλητον Λάτρον, εὔδηλον πάντως ὡς τὸ μηδὲ τὸ βραχύτατον γοῦν τῶν ῥακίων ἀφαιρεθῆναι τὸν ἅγιον ἡμῶν ἀνασχέσθαι, σημεῖον μάλα καταφανὲς τῆς ἡμετέρας συνοχῆς καὶ συστάσεως τοῖς περιεσκεμμένοις καὶ κρίνειν ἀνεπισφαλῶς εἰδόσι τὰ πράγματα λογισθήσεται, οὐ μὴν δὲ ἀλλὰ καὶ βεβαίαν (2) ἐντεῦθεν θαῤῥεῖν ἔπεισί μοι, ὡς ἥκιστα ναυαγήσομεν ἐν τῷ τὴν οἰκουμένην ἅπασαν διαταράξαντι τούτῳ κλύδωνι, ὡς μὴ ὤφελε, μέχρι δὲ τέλους ἀνώτεροι διαμενοῦμεν καὶ πάντῃ ἀκαταπόντιστοι τῇ τοῦ Κρείττονος χάριτι, καὶ ταῖς τοῦ μεγάλου πατρὸς Χριστοδούλου θεοπειθέσι καὶ ἀνενδότοις δεήσεσιν· ἀνθ' ὅτου καὶ δέον ἀκαταλήκτως εὐχαριστεῖν, σεβασμιώτατοί μοι τὰ πάντα πατέρες καὶ ἀδελφοὶ ποθεινότατοι, καὶ εὐαισθήτως πρὸς τὴν τοσαύτην καὶ τηλικαύτην εὐεργεσίαν διακεῖσθαι καὶ χάριν καθαπερεί τινας δούλους εὐγνώμονας, οἷς ὅτι τοιοῦτον φρουρόν τε καὶ πρόμαχον ὁ μεγαλόδωρος καὶ πλουσιοπάροχος Κύριος τοῖς ἀναξίοις φιλανθρώπως ἡμῖν ἐχαρίσατο· ὅς, καὶ ὅσα τις ἀτίνακτος πρόβολος πρὸ ἡμῶν ἱστάμενος νύκτωρ καὶ μεθ' ἡμέραν, πάντα τὰ τῶν ἐπεγειρομένων πειρασμῶν καθ' ἡμῶν ἀλλεπάλληλα κύματα εἰς ἑαυτὸν εὐχερῶς περιθραύει, καὶ εἰς ἀφρὸν ἢ οὐδὲν διαχεόμενά τε καὶ διαλυόμενα δείκνυσιν.

ΙΔ΄. Οὐ μόνον δὲ τοῦτο, καὶ πρός τε τὸν Θεὸν καὶ τὸν αὐτοῦ θεράποντα χρεὼν διαπαντὸς ἡμᾶς εὐχάριστον γλῶτταν κινεῖν, καὶ φωναῖς ἐλευθέραις τὴν χάριν ὁμολογεῖν, καὶ διαπρυσίῳ στό-

(1) Ψαλμ. οή, 2.

(2) Ἐλλιπὴς ἐνταῦθα ὁ λόγος δοκεῖ.

ματι τὸν ἔλεον ἀνακηρύττειν, ἀλλὰ καὶ πρό γε πάντων, καὶ μετὰ πάντων διὰ φροντίδος ἄγειν καὶ δι' ἀγῶνος ὅτι πολλοῦ ποιεῖσθαι τὸ τὰς παραδόσεις καὶ τὰς διαταγὰς τοῦ μεγάλου τούτου ἀπαρατρώτους διατηρεῖσθαι καὶ ἀμετακινήτους παντάπασι, καὶ μᾶλλον αἱρεῖσθαι ἀφαιρεθῆναι τὰς κεφαλάς, ἢ ἀνασχέσθαι ποτὲ παραβαθῆναι (1) τούτων κἂν γοῦν τὸ σμικρότατον. Εἰ δ' ἄρα ποτὲ καὶ βασκανίᾳ τοῦ μισανθρώπου καὶ παλαιοῦ πτερνιστοῦ, ἀπονυστάξασί τι μικρὸν τοῦτο συμβαίη, ἐπείγεσθαι τὴν ἧτταν ὅτι τάχος αὖθις ἀναπαλαίειν ἀνισταμένους τοῦ σφάλματος, καὶ τὸν ὕπνον τῶν τῆς ψυχῆς ὀφθαλμῶν ἀποτρίβοντάς τε καὶ ἐκτινάσσοντας, κἀπὶ τῆς προτέρας ἀσφαλείας ἱσταμένους καὶ ἕδρας, τῆς αὐτῆς καὶ πάλιν ἐξέχεσθαι φυλακῆς. Οὕτω γὰρ ἂν καὶ αὐτὸς κατὰ μὲν τὸν παρόντα βίον φυλακτήριον ἡμῖν γενήσεται ἀῤῥαγέστατον, ἀπόρθητον τεῖχος, προπύργιον ὀχυρόν, φρούριον ἐρυμνόν, χαράκωμα ἀσφαλέστατον πᾶν τὸ ἀντιβαῖνον καὶ προςιστάμενον ἀποκρουόμενον ῥᾷστα· πρὸς δέ, καὶ ὥσπερ ἀπὸ πηγῶν τινων ἀκενώτων καὶ ῥυάκων χαριτοβρύτων ἔσται πάντα τὰ κατὰ χρῆσιν καὶ ἀναγκαῖα δαψιλέστατα καὶ ὑπὲρ ὃ διανοούμεθα ὑετίζων· κατὰ δὲ τὸν μέλλοντα αἰῶνα καὶ προσδοκώμενον, τῶν ἠπειλημένων μὲν ἐξαιρήσεται ἀνιαρῶν καὶ κολάσεων, εἰς δὲ τὰς αἰωνίους καὶ ἀκαταλύτους συνειςάξει μονάς, καὶ πρὸς ἑαυτὸν ἡμᾶς προςλαβόμενος ἐπαγκαλίσεταί τε καὶ περιθάλψει ὁποῖα καὶ παῖδας πατὴρ γνησίους καὶ φιλοπάτορας· ὥστε κἀκεῖνο δύνασθαι λέγειν κατὰ καιρὸν μετὰ παῤῥησίας τὸ τῆς Γραφῆς, τό: *Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός* (1). Ἀλλὰ ταῦτα μὲν ἕψεται πάντως, τὸν εἰρημένον τρόπον τὸν τῆς ζωῆς βιώσασι τουτονὶ χρόνον (2) ἡμῖν· ἢν δὲ μὴ οὕτως ἀλλ'

(1) Ὁ ἀόριστος οὗτος τοῦ παθητικοῦ τύπου ἀπαντᾷ καὶ παρὰ Θουκυδίδῃ: « **Ἀμύνατε οὖν, ὦ Λακεδαιμόνιοι, καὶ τῷ τῶν Ἑλλήνων νόμῳ ὑπὸ τῶνδε παραβαθέντι** » [Γ', ξζ'.], καὶ ἐν § ϛ' τῆς ὑποθέσεως τοῦ Δημοσθένους λόγου: **Κατὰ Ἀνδροτίωνος: « ἀλλὰ σκοποῦμεν ποῖον δεῖ παραβαθῆναι »**.

(1) Ἡσ. η', 18.

(2) Τὸ χειρόγρ. **Χρίον.**

ἐναντίως (ὅπερ μὴ γένοιτο, Χριστὲ βασιλεῦ καὶ Θεὲ τοῦ παντός, μηδέ γε θεάσαιτο οὗτος ὁ ἡλιακὸς δίσκος!), ἐγὼ μὲν τὴν ἑψομένην ἐντεῦθεν ἀντιμισθίαν, φειδόμενος τῶν ποθεινοτάτων καὶ καλλίστων ὑμῶν, ἑκὼν παρατρέχω σιγῇ· αὐτοὶ δέ, ὡς ἂν τοῖς θείοις καὶ ἱεροῖς τῶν Εὐαγγελίων ἐμμελετῶντες διὰ παντὸς τοῦ χρόνου χρησμοῖς, εὖ οἶδα ὡς καὶ ἀφ' ἑαυτῶν τὸ ῥηθησόμενον συνηρπάσατε· ἐφθάσατε γὰρ καὶ ὑμεῖς τῆς περὶ τούτου ἀκοῦσαι τοῦ ἐμοῦ Χριστοῦ παναληθοῦς φοβερᾶς ἀποφάσεως· εἰ δὲ βούλεσθε, καὶ ταύτην ἔγωγε ὑπομνήσω ἡμῖν : «*Ὁ ἀθετῶν ἐμέ*, φησί (1), *καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν· ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ* », ἐλέγχων καὶ σαφῶς ἄγαν παριστῶν κατὰ πρόςωπον πάσας τὰς ἁμαρτίας αὐτοῦ. Μέλλουσι γὰρ ὡς ἀληθῶς, ἀδελφοὶ καὶ πατέρες, μέλλουσι πάντες οἱ τῆς θεοπνεύστου Γραφῆς θεῖοι καὶ ἱεροὶ λόγοι ἐξ ἐναντίας στῆναι καὶ ἀντιπρόςωποι τῶν ταλαιπώρων ἡμῶν, καὶ ἢ κατακρινοῦσι κατηγορήσαντες, ἢ τῶν ἀνηκέστων καὶ ἀφορήτων τιμωριῶν ὑπερηγορήσαντες ἀφαρπάσουσιν.

ΙϚ'. Ἀλλὰ τούτων μὲν ἅλις· ἡμεῖς δὲ τὴν κακίαν παντὶ σθένει φυγόντες, τῶν ἐν ἐπαγγελίαις ἐπιτύχοιμεν ἀγαθῶν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ· ᾧ [πρέπει] τιμή, δόξα, κράτος, αἶνεσις, καὶ μεγαλοπρέπεια σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι· ὃ ἐκπορεύεται μὲν ἀληθῶς ἐκ μόνου τοῦ Πατρός, ὡς ἀπὸ στόματος ἤ που θεολογῶν ὁ τῆς Ἀλεξανδρέων θεόπνευστος ἐδίδαξε Κύριλλος (2), ἔστι δὲ καὶ τοῦ Υἱοῦ αὐτοῦ ἴδιον, ἀλλ' οὔκουν ἀλλότριον κατὰ τὸν τῆς οὐσίας καὶ φύσεως λόγον, αὐτῷ ἀδιαστάτως συνομαρτοῦν, αὐτῷ ἀνεκφοιτήτως ἐπαναπαυόμενον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΕΛΟΣ

ΚΑΙ ΤΩι ΣΥΝΤΕΛΕΣΤΗι ΤΩΝ ΟΛΩΝ ΘΕΩι ΧΑΡΙΣ.

(1) Ἰωάν. ιβ', 48.

(2) **Κατὰ Ἰουλιαν. Α'**, τόμ. Ϛ', σελ. 21, ἔκδ. I. Auberti. Paris. 1638.

## ΛΕΞΕΙΣ

## ΟΥΠΩ ΕΝ ΤΟΙΣ ΛΕΞΙΚΟΙΣ ΚΑΤΑΧΩΡΙΣΘΕΙΣΑΙ.

| | Σελ. | στ. |
|---|---|---|
| Ἀκαταπίστευτος . . . | 94 | 23 |
| Ἀμφεδράζω . . . . . | 169 | 16 |
| Ἀποστάδην . . . . . | 207 | 18 |
| Ἀπροσδόκιμος . . . . | 180 | 27 |
| Βαθυκυμονία. . . . . | 191 | 19 |
| Βραδυπλωΐζω . . . . | 132 | 28 |
| Διάγλυκον . . . . . . | 145 | 9 |
| Δυςχέρανσις . . . . . | 127 | 4 |
| Εἰρηνολογία . . . . . | 106 | 14 |
| Ἔκδεσις (1) . . . . . | 200 | 6 |
| Ἐπαγκαλίζω . . . . . | 212 | 30 |
| Θαλαττέμπορος (2). . | 176 | 14 |
| Θεαρέστησις . . . . . | 63 | 6 |
| Καταβριθὲς . . . . . | 160 | 3 |
| Κατάπετρος (3) . . . | 190 | 5 |
| Καταστορέσιμον . . . | 204 | 28 |
| Λαθροποτῶ . . . . . | 106 | 11 |
| Λειοκυμονία . . . . . | 191 | 27 |
| Μονῶτις . . . . . . | 119 | 3 |
| Μορφογράφος . . . . | 135 | 14 |
| Μορφούργημα . . . . | » | 16 |
| Ὀξύτρεπτον . . . . . | 95 | 1 |
| Πορφυρογενὴς . . . . | 178 | 5 |
| Πρωταλάστωρ . . . . | 179 | 17 |
| Πυκνοδενδροφυΐα . . . | 137 | 26 |
| Ῥηξικάρδιος . . . . . | 189 | 2 |
| Ὑπερτιθῶ (4) . . . . | 76 | 2 |
| Φυγοπάλης . . . . . | 166 | 21 |
| Χερσοβατῶ . . . . . | 158 | 11 |
| Χρυσονόμος (5) . . . | | |
| Χρωματουργία . . . . | 136 | 11 |

(1) Ἴδε ἔμπροσθεν ἐν τοῖς Παροράμασιν.

(2) Ἴδε καὶ σελ. 181, στίχ. 31.

(3) Ταύτης τὸ οὐδέτερον πληθυντικὸν μόνον εὕρηται καταχωρισμένον ἐν τῇ τοῦ Κουμανούδη **Συναγωγῇ**, ἀπὸ τῆς ἐπιγεγραμμένης: **Βασίλειος Διγενὴς Ἀκρίτας** βυζαντινῆς ἐποποιίας στ. 3107 ληφθέν.

(4) Ἴδε καὶ σελ. 197, στίχ. 11.

(5) Ἡ λέξις ἀπαντᾷ ἐν δυσὶν ἀρχαίοις τῆς Πάτμου ψηφίσμασι, τὸν ταμίαν σημαίνουσα [ὅρα **Ἀρχαιολογ. Ἐφημερ. περιόδ. Β΄**, τεῦχ. ΙΑ΄. 1863, ἐπιγρ. 228 καὶ 229].

Ι. Σακκελιων.

# ΠΑΡΟΡΑΜΑΤΑ.

## ΕΝ ΤΩ ΚΕΙΜΕΝΩ.

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Σελ. | 46 | στίχ. | 21 | Γράφε : | Ἑπταπλασίως |
| » | 48 | » | 18 | » | προστάτις |
| » | 52 | » | 16 | » | ἀποκαλύψαι. |
| » | 56 | » | 14 | » | ἐγκαλλώπισμα |
| » | 65 | » | 14 | » | εὐσπλαγχνίαν |
| » | 80 | » | 7 | | Ἐν τῇ λέξει : *περιαιρῆσαι*, πρόςθες τὴν παραλειφθεῖσαν ὑποσημείωσιν τήνδε : Μόνον παρ' Ἡσυχίῳ, ὅσον ἐγὼ οἶδα, εὕρηται ὁ μέσος ἀόριστος τοῦ ἁπλοῦ τῆς παθητικῆς φωνῆς τύπου, οἷον : «*Αἱρήσασθαι· λαβεῖν, βουληθῆναι*». |
| » | 113 | » | 1 | » | Μετὰ τὴν λέξιν : *πορευόμενοι*, πρόςθες πρὸ τῆς 1 ὑποσημειώσεως τὴν παραλειφθεῖσαν μαρτυρίαν : *Λουκ. ά, 6 καὶ* (Σημ. Ι. Σ.) |
| » | 187 | » | 17 | » | Ἤρετο |
| » | 200 | » | 6 | » | ἐκδέσεως |
| » | 221 | » | 27 | » | ἐπαγάλλεταί |

## ΕΝ ΤΑΙΣ ΥΠΟΣΗΜΕΙΩΣΕΣΙΝ.

| | | | | | |
|---|---|---|---|---|---|
| » | 67 | » | 15 | » | §. Η'. |
| » | 72 | » | 15 | » | Ἀπέχει |
| » | 75 | » | 7 | » | Οὕτω |
| » | 77 | » | 22 | » | λίμνῃ |
| » | 79 | » | 16 | » | ἐν ᾧ |
| » | — | » | 25 | » | ἀψαμένη |
| » | 113 | » | 7 | » | καὶ Γραμματικοῦ |
| » | 176 | » | 16 | » | καὶ |

Τῶν δὲ τυχὸν διαφυγόντων τὸ ὄμμα ἡμῶν ἡ διόρθωσις ἀφίεται τῇ εὐμενείᾳ τοῦ ἀναγνώστου.

# ΣΥΝΔΡΟΜΗΤΑΙ

## ΟΙ ΕΝ ΠΑΤΜΩ.

| | Σώμ. |
|---|---|
| Ἡ ἱερὰ μονὴ τοῦ ἁγίου Ἰω. τοῦ Θεολόγου . . . . . | 350 |
| Ὁ καθηγούμενος Πάτμου Κωνστάντιος. . . . . | 4 |
| Ὁ προηγούμενος Ἰάκωβος Παντελίδης . . . . . . | 3 |
| Ὁ προηγούμενος Ἰωάσαφ Ξένος. . . . . . . . . | 2 |
| Ὁ πρώην Πηλουσίου Ἀμφιλόχιος. . . . . . . . | 4 |
| Ὁ ἐκκλησιάρχης Βενιαμίν. | 2 |
| Ὁ βιβλιοφύλαξ Ἱερόθεος Φλωρίδης . . . . . . . | 2 |
| Νικόδημος ἱερομόναχος καὶ πνευματικὸς . . . . . . | 2 |
| Ἀρχιμ. Νεκτάριος καὶ ἐπίτροπος . . . . . . . . | 2 |
| Ἄνθιμος ἱερομόν. καὶ ἐπίτροπος . . . . . . . . | 2 |
| Νεόφυτος ἱερομόν. καὶ ἐπίτροπος . . . . . . . . | 2 |
| Θεοφάνης ἱερομόναχος καὶ ἐπίτροπος . . . . . . . | 2 |
| Ἀγαθάγγελος ἱερομόν. καὶ ἐπίτροπος . . . . . . . | 2 |
| Θεοδώρητος ἱερομόν. καὶ ἐπίτροπος . . . . . . . | 2 |

| | Σώμ. |
|---|---|
| Ἀρχιμ. Σεραφεὶμ Παναγιωτάκης. . . . . . . . . | 2 |
| Γεράσιμος ἱερομ. Καρύδης. | 2 |
| Διονύσιος ἱερομ. Φλωρίδης. | 1 |
| Ἐπιφάνιος ἱερ. Ἀλεξιάδης. | 1 |
| Δωρόθεος ἱερομ. Βλαχάκης. | 1 |
| Διονύσιος ἱερ. Μουσουδάκης | 1 |
| Συμεὼν ἱερομ. Μπάστας . | 1 |
| Θεόκλητος ἱερομ. Νικηφοράκης. . . . . . . . . | 1 |
| Αὐξέντιος ἱερομ. Νικολάου. | 1 |
| Ἰωακεὶμ ἱερομ. Κόκκινος. . | 1 |
| Λεόντιος ἱερ. Βαμβακούλης | 1 |
| Ἀρσένιος ἱερομ. Βέστης. . | 1 |
| Ἀκάκιος ἱερομ. Βρατσάλης. | 1 |
| Δανιὴλ ἱερομ. Γάζος . . . | 1 |
| Ἀβέρκιος ἱερομ. Γένης . . | 1 |
| Ἱλαρίων ἱερομ. Καληγᾶς . | 1 |
| Μακάριος ἱερ. Βακράτσης. | 1 |
| Βενέδικτος ἱερομόν. Μουρμούρης . . . . . . . . | 1 |
| Ἰεζεκιὴλ ἱερ. Ἰατρόπουλος. | 1 |
| Ὁ τῆς ἑλλην. σχολῆς διδάσκαλος Παίσιος ἱεροδιάκονος Φερεντῖνος . . . . | 2 |
| Μελέτιος ἱεροδιάκονος Κοτσάνης . . . . . . . . | 4 |
| Γερμανὸς ἱεροδιάκονος Σκοπελίτης. . . . . . . . | 1 |

| | Σώμ. |
|---|---|
| Κύριλλος ἱεροδιάκονος Βογαζανὸς | 1 |
| Δανιὴλ ἱεροδιάκονος Κρητικὸς | 1 |
| Κύριλλος ἱεροδιάκονος Ἀνδριόπουλος | 4 |
| Μητροφάνης μοναχὸς Σκοπελίτης | 1 |
| Πολύκαρπος μοναχὸς Παμφίλης | 1 |

---

| | Σώμ. |
|---|---|
| Ὁ μουδίρης Ἀθανάσιος Κοτσανᾶς | 2 |
| Ὁ δημογέρων Γ. Α. Ἀσημίτσης | 2 |
| Ὁ δημογέρων Δ. Ξενάκης | 2 |
| Ὁ ἑλλην. προξεν. πράκτωρ Ἰωάν. Μαλανδράκης | 2 |
| Ἡ διευθύντρια τοῦ παρθεναγωγείου Ματρώνα μοναχὴ Τσαμανίδου | 2 |
| Αἰκατερίνη Σπ. Κουντούρη | 1 |
| Μαριγὼ Γ. Πιτυλοῦ | 1 |
| Ἰω. Μακρῆς δημοδιδάσκαλ. | 4 |
| Χ. Γαλανὸς δημοδ | 2 |
| Ἀ. Γ. Πτέρης | 2 |
| Γ. Ἰω. Κρητικὸς | 3 |
| Ν. Βλαχάκης | 2 |
| Ἐμ. Ἀλεξάκης | 2 |
| Β. Στάμουλος | 1 |
| Γ. Λεούσης | 1 |
| Χ. Μαγουλᾶς | 1 |
| Ἰω. Καρμανιόλος Σάμιος | 1 |
| Γ. Σκούφαλος Χῖος | 1 |
| Δ. Ψιλὸς Χῖος πλοίαρχος | 1 |
| Ἀντίοχ. Ψιλὸς Χῖος | 1 |
| Θ. Γαζῆς πλοίαρχος | 1 |

### ΟΙ ΜΑΘΗΤΑΙ ΤΗΣ ΓΛΑΒΑΡΙΔΕΙΟΥ ΣΧΟΛΗΣ.

| | Σώμ. |
|---|---|
| Μ. Ν. Κρητικὸς | 1 |
| Ἀντ. Σοφίλας | 1 |
| Ἀνδρ. Κυριακούλης | 1 |
| Ν. Ἀνδρ. Βιρβύλης | 1 |
| Β. Κ. Βάλας | 1 |
| Ἐμ. Π. Κρητικὸς | 1 |
| Ἀθ. Παναγιωτίδης | 1 |
| Δ. Β. Κάπος | 1 |
| Ἠ. Χ. Κούμανης | 1 |
| Ἀϊβάζης Φωκᾶς | 1 |
| Δ. Στάμουλος | 1 |
| Ἰω. καὶ Κ. Πουλιέζου | 1 |

### ΟΙ ΕΝ ΟΔΗΣΣΩ.

| | Σώμ. |
|---|---|
| Μαριγὼ Ἰω. Καμποσέλη | 10 |
| Χαριστὼ Γ. Κορώνη | 3 |
| Ἰακωβινιὼ Α. Κουμούτση | 2 |
| Ἑλένη Δ. Μουσουδάκη | 2 |
| Ἀσημίνα Θ. Μουσουδάκη | 2 |
| Ὁ ἐφημέριος τῆς ἑλλην. ἐκκλησίας ἀρχιμαν. Εὐστάθιος Βουλισμᾶς | 3 |
| Β. Ἀγγελίδης | 3 |
| Ἀ. Γ. Κορώνης | 3 |
| Δ. Μουζάκης | 3 |
| Α. Ν. Βλαχάκης | 2 |

| | Σώμ. |
|---|---|
| Ν. Γ. Κορώνης . . . . . | 2 |
| Δ. Θ. Μουσουδάκης . . . | 2 |
| Μ. Μουζάκης . . . . . . | 2 |
| Ι. Α. Δούκας . . . . . . | 2 |
| Ν. Μουσουδάκης. . . . . | 2 |
| Ν. Ἀγγελίδης. . . . . . | 2 |
| Ἐμ. Ἀγγελίδης . . . . . | 2 |
| Γ. Ν. Βλαχάκκης . . . . | 1 |
| Β. Ν. Βλαχάκης . . . . | 1 |
| Ι. Μαργιόρος . . . . . . | 1 |
| Π. Ι. Ῥοῦσος . . . . . . | 2 |
| Ι. Π. Ῥοῦσος. . . . . . | 1 |
| Δ. Π. Ῥοῦσος. . . . . . | 1 |
| Ξ. Δ. Ξενάκης . . . . . | 1 |
| Θ. Δ. Μουσουδάκης . . . | 1 |
| Γ. Χ. Μαγουλᾶς. . . . . | 1 |
| Χ. Θεμελάρου . . . . . . | 1 |
| Κ. Ἀμπαρζάκης . . . . . | 1 |
| Γ. Η. Γένης . . . . . . | 1 |
| Γ. Ἐλευθερίου . . . . . | 1 |
| Ν. Ῥαπτόπουλος . . . . | 1 |
| Θ. Μινιέστρης. . . . . . | 1 |
| Μ. Γ. Ῥοῦσος . . . . . | 1 |
| Ι. Γ. Ῥοῦσος . . . . . . | 1 |
| Ἐμ. Σαρῆς . . . . . . . | 1 |
| Ἐλ. Σώστη . . . . . . . | 1 |
| Ι. Α. Καζιλιέρης . . . . | 1 |
| Α. Φωκᾶς . . . . . . . | 1 |
| Γ. Μαγουλᾶς . . . . . . | 1 |
| Δ. Σ. Μπουρνῆς. . . . . | 1 |
| Α. Σκλάβος. . . . . . . | 1 |
| Ι. Ἀποστόλου. . . . . . | 1 |
| Στ. Ε. Καμποσέλης . . . | 1 |
| Π. Νταβάρης. . . . . . | 1 |

| | Σώμ. |
|---|---|
| Σπ. Μαρτύρης. . . . . . | 1 |
| Ν. Καλούρης . . . . . . | 1 |
| Ν. Λεοντῆς. . . - . . . | 1 |
| Δ. Πολυδούλης . . . . . | 1 |
| Δ. Καρύδης. . . . . . . | 1 |
| Γ. Ι. Κουμούτσης . . . . | 1 |
| Α. Ι. Κουμούτσης . . . . | 1 |
| Ι. Κεφαλᾶς . . . . . . . | 1 |
| Κ. Πτέρης . . . . . . . | 1 |
| Θ. Τριανταφύλλου . . . . | 1 |
| Χ. Ζαχάρης. . . . . . . | 1 |
| Α. Καλούδης Κώτης. . . | 1 |
| Ι. Σοφούλας. . . . . . . | 1 |
| Ζ. Ν. Ἀϊβάζης . . . . . | 1 |
| Κ. Ε. Μαθιοῦ . . . . . | 1 |
| Δ. Ε. Μαθιοῦ . . . . . | 1 |
| Ι. Χάλαρης . . . . . . . | 1 |
| Ι. Καμίτσης. . . . . . . | 1 |
| Μ. Γ. Μαυρουδῆς . . . . | 1 |
| Β. Ι. Χρυσοφοῦ . . . . . | 1 |
| Α. Γ. Γεωργιάδης . . . . | 1 |
| Ἐμ. Χ. Μαγουλᾶς . . . . | 1 |
| Γ. Δ. Ἥσυχος. . . . . . | 1 |

OI EN ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ.

| | |
|---|---|
| Ἡ Α. Θ. Π. Ἰωακεὶμ ὁ Γ'. | 6 |
| Ἡ Α. Σ. ὁ ἅγιος Ἐφέσου Ἀγαθάγγελος . . . . . | 4 |
| Ἡ Α. Σ. ὁ ἅγιος Δέρκων Ἰωακεὶμ . . . . . . . | 4 |
| Θεόδ. Α. Μαυροκορδάτος. | 30 |
| Παυλάκης Ζ. Στεφάνοβικ. | 20 |
| Χ. Θ. Χαριτωνίδης . . . | 4 |

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

| | Σώμ. |
|---|---|
| Ν. Μωραΐτης πλοίαρχος | 2 |
| Δ. Ν. Μωραΐτης | 1 |
| Γ. Ν. Βρόντος | 1 |
| Δ. Δ. Λάζος | 1 |
| Ν. Μπενέτος | 2 |
| Ι. Καραμανόλης | 1 |
| Κ. Σάββας | 1 |
| Κωνστ. Καλλιγᾶς διδάσκαλος | 1 |
| Α. Καραντώνης | 1 |
| Εἰρήνη Κ. Καραντώνη | 1 |
| Ἐμ. Φραγκούλης: | 1 |
| Στ. Μουζάκης | 1 |
| Π. Βασιλᾶτος | 1 |
| Δ. Κυβερνήτης | 1 |
| Ν. Βρατσάλης | 1 |
| Στ. Κρικρῆς | 1 |
| Ν. Γέμελος | 1 |
| Β. Δ. Γαζάκης | 1 |
| Χ. Ν. Φαράκλας πλοίαρχος | 1 |
| Α. Π. Βασιλᾶτος | 1 |
| Ν. Κούμπης | 1 |
| Γ. Ψανούδης | 1 |
| Μ. Φωκιανὸς | 1 |
| Ἐμ. Χ. Μαρίνου | 1 |
| Ν. Β. Καζιλιέρης | 1 |
| Ζανῆς Σημαντήρης | 1 |
| Α. Γαζάος | 1 |
| Γ. Μαυρουδῆς | 1 |
| Γ. Ἀνδριόπουλος | 1 |
| Ἐμ. Παπάζογλους | 1 |
| Α. Πετρόπουλος διδάσκαλος | 1 |

ΟΙ ΕΝ ΒΟΥΓΙΟΥΚΔΕΡΕ.

| | Σώμ. |
|---|---|
| Ὁ ἱερὸς ναὸς τῆς ἁγίας Παρασκευῆς | 1 |
| Ὁ προϊστάμενος ἀρχιμανδρ. Νικόλαος | 1 |
| Ὁ ἱεροδιάκ. Τριαντάφυλλος | 1 |
| Δ. Καλέμης | 1 |
| Λ. Ἐλευθεριάδης | 1 |
| Χρ. Μηλιώνης | 1 |
| Δ. Κουρμούζης | 1 |
| Χρ. Φούστας | 1 |
| Π. Σαλομώνης | 1 |
| Ἰωάν. Δεκαβάλας ἐκ Γενιμαχαλὲ | 1 |
| Ι. Πεταλᾶς ἐκ Θεραπείων. | 1 |
| Ι. Ἰωαννίδης | 1 |
| Σ. Ζαχάρης | 1 |
| Σ. Θεοχαρίδης | 1 |
| Μ. Χρυσοχοΐδης | 1 |
| Β. Ζαχάρης | 2 |
| Ι. Ζούλης | 1 |
| Ν. Καρακωνσταντῆς | 1 |
| Π. Μακρῆς Θεοδωρᾶτος | 1 |
| Ι. Εὐθυμίου | 1 |

ΟΙ ΕΝ ΤΗ ΕΠΑΡΧΙΑ ΔΕΡΚΩΝ.

| | |
|---|---|
| Ὁ ἐν Θεραπείοις ἱερὸς ναὸς τῆς μητροπόλεως | 1 |
| Ὁ τῆς ἁγίας Παρασκευῆς. | 1 |
| Ὁ προϊστάμενος Ν. Διονυσίου ἱερεὺς | 1 |

| | Σώμ. |
|---|---|
| Ὁ ἱεροδιάκονος Εὐάγγελος. | 1 |
| Ἡ ἱερὰ ἐκκλ. Γενιμαχαλὲ. | 1 |
| Ὁ προϊστάμενος Νεόφυτος. | 1 |
| Ὁ ἱεροδιάκονος καὶ διδάσκαλος Χαράλαμπος . . | 1 |
| Ἡ ἱερὰ ἐκκλησία Φαναρακίου . . . . . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλησία Μακροχωρίου . . . . . . . . . | 1 |
| Ὁ προϊστάμενος Χριστόδουλος Φλώρας . . . . . | 1 |
| Ὁ ἐφημέριος Ἰωάν. ἱερεὺς. | 1 |
| Ἡ ἐν ἁγίῳ Στεφάνῳ ἐκκλη | 1 |
| σία ἅγιος Στέφανος. . . | 1 |
| Ὁ προϊστάμενος Ἀγαθάγ- | 1 |
| γελος ἀρχιμανδρίτης . . | 1 |
| Ἡ ἐν Βεξέκιοϊ ἱερὰ ἐκκλ. . | 1 |
| Ὁ προϊστάμενος Κωνσταντῖνος σύγκελλος . . . . | 1 |
| Γ. Ἀναστασιάδης διδάσκ. | 1 |
| Ἡ ἱερὰ ἐκκλ. Βελιγραδίου. | 1 |
| Ὁ προϊστάμενος Δημήτριος ἱερεὺς. . . . . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλησία Πύργου . | 1 |
| Ὁ προϊστάμενος Ἀγαθάγγελος ἀρχιμανδρίτης . . | 1 |
| Ἡ ἱερὰ ἐκκλ. Βογάζκιοϊ. . | 1 |
| Ὁ προϊστάμενος Ἀθανάσιος. | 1 |
| Ἡ ἱερὰ ἐκκλ. Ἀρναούτκιοϊ. | 1 |
| Ὁ προϊστάμενος Ἰωάννης Σακελλίων. . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλ. Νεοχωρακίου. | 1 |
| Ὁ προϊστάμενος Ἀλέξιος ἱερεὺς. . . . . . . . . | 1 |

| | Σώμ. |
|---|---|
| Ἡ ἱερὰ ἐκκλησία Δαγιακαδίνι. . . . . . . . . . | 1 |
| Ὁ προϊστάμενος Χριστόδουλος . . . . . . . . | 1 |
| Γεώρ. παπᾶ Κωνσταντίνου. . . . . . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλ. Δελιόνουζ. . | 1 |
| Ὁ προϊστάμενος Δημήτριος ἱερεὺς. . . . . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλ. Λαζάρκιοϊ. . | 1 |
| Ὁ προϊστάμενος Γεράσιμος ἱερομόναχος . . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλ. Τσιφτλίκιοϊ . | 1 |
| Ὁ προϊστάμενος Νικόλαος ἱερεὺς. . . . . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλ. Καστανεῶν . | 1 |
| Ὁ προϊστάμενος Ἀπόστολος πρωτόπαπας. . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλησία Ὀκλαλῆ. | 1 |
| Ἡ ἱερὰ ἐκκλησία Ἀζατλῆ. | 1 |
| Ὁ προϊστάμενος Ἀθανάσιος Δημητριάδης . . . . . | 1 |
| Διονύσιος ἱερομόναχος ἐξ Ἠπείρου . . . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλ. Ἀμπαρλῆ. . | 1 |
| Ὁ προϊστάμενος Μισαὴλ ἱερομόναχος . . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλησίας Καλφᾶ . | 1 |
| Ἡ ἱερὰ ἐκκλησία Σαφρᾶ . | 1 |
| Ὁ προϊστ. Ἐμμανουὴλ ἱερεὺς Κρῆς. . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλησία Νυμφῶν. | 1 |
| Ὁ προϊστ. Χρύσανθος. . . | 1 |
| Ν. Μιχαηλίδης διδάσκαλος. | 1 |

| | Σώμ. |
|---|---|
| Ἡ ἱερὰ ἐκκλησία Δομοὺς-δερὲ . . . . . . . . | 1 |

ΟΙ ΕΝ ΤΗ ΘΕΟΛΟΓΙΚΗ ΣΧΟΛΗ ΧΑΛΚΗΣ.

| | |
|---|---|
| Τίτος Ζωγραφίδης Κρὴς. . | 1 |
| Πανάρετος Πετρίδης Γανοχωρίτης. . . . . . . . | 1 |
| Ἰωσὴφ Αἰμιλιανίδης Κύπριος ἁγιοταφίτης . . . . . | 1 |
| Δαμιανὸς Ι. Μοσχίδης Γανοχωρίτης . . . . . . | 1 |
| Ἄνθιμος ἱεροδιάκονος Βατοπαιδινός. . . . . . . | 1 |
| Περικλῆς Σγουρὸς Χῖος. . | 1 |

ΟΙ ΕΝ ΤΗ ΕΠΑΡΧΙΑ ΚΑΣΤΟΡΙΑΣ.

| | |
|---|---|
| Ὁ ἀρχιδιάκονος τοῦ ἁγίου Καστορίας Πλάτων Ἀϊβαζίδης Πάτμιος. . . . | 2 |
| Μ. Τούρλης (χωρίον Νέβεσκον). . . . . . . . . | 1 |
| Παπᾶ Γεώργιος (χωρίον Νέβεσκον). . . . . . . | 1 |
| Ἰω. Μ. Τούρλης (χωρίον Νέβεσκον). . . . . . . | 1 |
| Ὁ ναὸς τοῦ ἁγίου Νικολάου. | 1 |
| Β. Μηνᾶς (χωρίον Στρέμπενον). . . . . . . . | 1 |
| Παπᾶ Χριστόδουλος οἰκονόμος (χωρίον Ἀετόζη). . | 1 |

| | Σώμ. |
|---|---|
| Παπᾶ Στέργιος οἰκονόμος (χωρίον Λέχοβον) . . . | 1 |
| Ὁ ναὸς τοῦ ἁγίου Γεωργίου (χωρίον Ζελενίτου). . . | 1 |
| Παπᾶ Κωνσταντῖνος (χωρ. Ζελενίτου). . . . . . . | 1 |
| Ἀθ. Λιπίτκας (χωρ. Λουμπέτινον) . . . . . . . | 1 |
| Ἡ ἐκκλησία τῆς Κοιμήσεως (χωρ. Νεγοβὰν). . . . | 1 |
| Παπᾶ Δημήτριος οἰκονόμος (χωρ. Δαένη) . . . . | 1 |
| Ἡ ἐκκλησία ἁγ. Τριάδος (χωρ. Μπεκαλμένη) . . | 1 |
| Ἡ ἐν μαχαλᾶ Σερβιώτου ἐκκλ. ἁγ. Παρασκευῆς . | 1 |
| Ι. Σιόμος ἐπίτροπος (χωρ. Καστορία) . . . . . . | 1 |
| Κ. Α. Καλογιάννης (χωρ. Νιστράμη) . . . . . . | 1 |
| Ἡ ἱερὰ ἐκκλ. ἁγ. Γεωργίου (χωρ. Καλλίστα). . . . | 1 |
| Παπᾶ Ναοὺμ οἰκονόμος (χωρ. Δάρδα). . . . . | 1 |
| Ἀρχιμανδρίτης Κωνστάντιος (χωρ. Δάρδα). . . | 1 |

ΟΙ ΕΝ ΑΛΕΞΑΝΔΡΕΙΑ.

| | |
|---|---|
| Ὁ Π. Μ. πάπας καὶ πατριάρχης Ἀλεξάνδρειας κ. κ. Σωφρόνιος . . . . | 5 |
| Ὁ πανιερ. ἅγιος Θηβαΐδος κ. Ματθαῖος . . . . | 3 |

| | Σώμ. |
|---|---|
| Ἀρχιμανδρίτης Ἀγάπιος . | 1 |
| Ἀρχιμανδρ. Μεθόδιος. . . | 1 |
| Ἀρχιμανδρ. Ἱερεμίας Πτερίδης . . . . . . . . . | 4 |
| Ἀρχιμανδρ. Κύριλλος. . . | 1 |
| Θεόφραστος ἱερεὺς Παγώνης | 1 |
| Σάββας Ἱερομόναχος. . . | 1 |
| Ἀνδρόνικος ἱερεὺς Κύπριος. | 1 |
| Ἱερεὺς Χριστόδουλος Κύπριος . . . . . . . . . | 1 |
| Ἱεροδιάκονος Νεόφυτος Θέμελης. . . . . . . . . | 1 |
| Θεμ. Ι. Φούντης. . . . . | 4 |
| Γ. Ι. Φούντης. . . . . . | 3 |
| Ν. Παλαιολόγος. . . . . | 3 |
| Ἱπποκρ. Καληγᾶς . . . . | 2 |
| Ἰω. Ζαφυρᾶτος . . . . . | 3 |
| Δ. Βιρβύλης . . . . . . | 2 |
| Ν. Μουζάκης . . . . . . | 2 |
| Γεώργιος Δ. Ναοὺμ . . . | 1 |
| Γεράσιμος Πεντάκης . . . | 1 |
| Κωνσταντῖνος Θ. Παγώνη. | 1 |
| Εἰρήνη Θ. Παγώνη . . . | 1 |
| Μαρκέλλα Θ. Παγώνη . . | 1 |
| Νικόλαος Λιτσάκης. . . . | 1 |
| Γεώργιος Ἐμμανουὴλ . . | 1 |
| Ἰωάννης Σταματελάκης. . | 1 |
| Σταματὸς Φωτεινόπουλος . | 1 |
| Σωκράτης Διαμαντίδης. . | 1 |
| Νικόλαος Ψάλτης . . . . | 1 |
| Ἰωάννης Μανδέλλος . . . | 2 |
| Ἀδαμάντιος Ε. Παχουνδάκης. . . . . . . . . | 1 |
| Παρίσης Ἰωάννου . . . . | 1 |

| | Σώμ. |
|---|---|
| Στέφανος Κ. Τσιγαδᾶς. . | 1 |
| Ἀριστοτέλης Φραγγάκης . | 1 |
| Δημοσθένης Δ. Ῥούχου. . | 1 |
| Στέφανος Μπόλλας. . . . | 1 |
| Ἀλεξάνδρος Μπόλλας. . . | 1 |
| Ἰωάννης Ἀφουδάκης . . . | 1 |
| Ἀργυρὼ Παπᾶ Ἰωάννου Μαῖα . . . . . . . . . | 1 |
| Κ. Χ. Καπελίδης . . . . | 1 |
| Ἄγγελος Φιλίνης. . . . . | 1 |
| Λάμπρος Νικολάου. . . . | 1 |
| Γεώργιος Μ. Καλογερᾶς . | 1 |
| Σοφία Φοντριὲ διευθύν. τοῦ ἑλλ. παρθεναγωγείου . . | 2 |
| Παναγ. Τριτσάνης μουσικοδιδάσκαλος . . . . . | 1 |
| Ἀριστείδης Παλαιολόγος . | 1 |
| Κωνσταντ. Παλαιολόγος . | 1 |
| Ἀχιλλεὺς Πασσαλίδης. . . | 1 |
| Γεώρ. Σταυριανὸς Πάτμιος | 1 |
| Ἀθανάσιος Ι. Λιαούτση . | 1 |
| Χρῆστος Ἀργύρης . . . . | 1 |
| Παντελῆς Γεωργιάδης πρωτοψάλτης . . . . . . . | 1 |
| Ἀναγνώστης Λιβαδάρος φωτογράφος . . . . . . . | 1 |
| Ἀντώνιος Α. Λιβαδάρος. . | 1 |
| Ἰωάννης Γαρυφαλῆς . . . | 1 |
| Γεώργιος Λεβεντάκης. . . | 1 |
| Σωτήριος Μαυρομάτης . . | 1 |
| Μιχαὴλ Χ. Μεταξᾶς. . . | 1 |
| Π. Μ. Πελεντρίδης. . . . | 1 |
| Θεοχάρης Κότσικας . . . | 1 |
| Ἀγγελῆς Α. Φερεντῖνος . . | 1 |

| | Σώμ. |
|---|---|
| Ἰωάννης Α. Κάππος . . . | 1 |
| Κωνσταντῖνος Ἐμ. Κάππος | 1 |
| Ἐμμανουὴλ Ἀλεξιάδης. . | 1 |
| Νικόλαος Γ. Κορώνης. . . | 1 |
| Βασίλειος Ἀναστασίου . . | 1 |
| Εὐγ. Γαβριὴλ Μπεβεράτος. | 1 |
| Νικόλαος Δημητριάδης. . | 1 |
| Ἀντώνιος Βένερης . . . . | 1 |
| Δημήτριος Φούντης. . . . | 1 |
| Κωνστ. Παππαδόπουλος . | 1 |
| Κωνστ. Γ. Παυλούδη. . . | 3 |
| Ἐμ. Ι. Βολονάκης . . . . | 1 |
| Κωνστ. Λεβαντῆς . . . . | 2 |
| Φραντζέσκος Λεβαντῆς . . | 2 |
| Βασίλειος Γεωργίου. . . . | 1 |
| Νικόλαος Κ. Βασιλάκης. . | 2 |
| Ν. Γ. Ἀναραδάκης . . . | 1 |
| Ν. Π. Ζερεφὸς . . . . . | 1 |
| Ἀντώνιος Παπᾶ Μάρκου . | 2 |
| Δημήτριος Παπᾶ Πέτρου . | 1 |
| Δ. Δημόπουλος . . . . . | 1 |
| Ἰωάννης Δημόπουλος. . . | 1 |
| Κωνστ. Χριστοδούλου . . | 1 |
| Ν. Δ. Ἀθανασιάδης. . . | 1 |
| Στέφανος Σχοινᾶς . . . . | 1 |
| Ἀριστείδης Ζαζῆς . . . . | 1 |
| Μιλτιάδης Ἀνιτσᾶς . . . | 1 |
| Μιλτιάδης Σαμόλης . . . | 1 |
| Γεώργιος Καλογλόπουλος . | 1 |
| Π. Α. Καλοπαιδῆς. . . . | 1 |
| Ἰωάννης Χαβάκης . . . . | 2 |
| Ἰωάννης Ζουρμπᾶς. . . . | 1 |
| Μιχαὴλ Σαγγλιβάνης. . . | 1 |
| Δ. Θ. Τρίμης. . . . . . | 1 |
| Ἰωάννης Ἐμμανουὴλ. . . | 1 |
| Δημήτριος Μαυράκης. . . | 1 |
| Σωκράτης Μαυράκης. . . | 1 |
| Γ. Σ. Βακαλόπουλος. . . | 1 |
| Ἀργύρης Β. Γούναρης . . | 1 |
| Δ. Καλόγηρος. . . . . . | 1 |
| Κωνσταντῖνος Βασιλείου . | 1 |
| Σπῦρος Ι. Λοῦμος . . . . | 1 |
| Κωνστ. Δ. Ζακόπουλος. . | 1 |
| Χρῆστος Ζιντήλης . . . . | 1 |
| Μάρκος Γαλανάκης. . . . | 1 |
| Κωνσταντῖνος Πέπας. . . | 1 |
| Ἰωάννης Ἀντωνᾶς. . . . | 1 |
| Σταμάτιος Παπαδάκης. . | 1 |
| Δημήτριος Παπαδάκης . . | 1 |
| Δημήτριος Σαρηγιάννης. . | 1 |
| Γεώργ. καὶ Δημήτ. Πέρκας. | 2 |
| Ἀνδρέας Κουτελάκης. . . | 1 |
| Νικόλαος Βέργος. . . . . | 1 |
| Ἀντώνιος Τσαγγάκης . . | 1 |
| Ζαχαρίας Καλέργης . . . | 1 |
| Ἰωάννης Λαγουδάκης. . . | 1 |
| Γεώργιος Παπαδόπουλος . | 1 |
| Χαράλαμπος Δηλαβέρης . | 1 |
| Ἐμμανουὴλ Νικηταΐδης. . | 1 |
| Ἀντώνιος Α. Κάγκος. . . | 1 |
| Στυλιανὸς Γεωργιάδης . . | 1 |
| Κωστῆς καὶ Δ. Μήτρου. . | 2 |
| Ἀλέξανδ. Β. Περβάνογλους | 1 |
| Παναγιώτης Κηπουρὸς . . | 1 |
| Χαράλαμπος Βλαντῆς . . | 1 |
| Π. Πολιταρίδης. . . . . | 1 |
| Σωτήριος Ι. Κατρακάζος . | 1 |
| Χρῆστος Ι. Κατρακάζος. . | 1 |

| | Σώμ. |
|---|---|
| Σπυρίδων Χ. Λούπου. . . | 1 |
| Τριαντάφυλ. Καραγιάννης. | 1 |

ΟΙ ΕΝ ΚΑΪΡΩ.

| | |
|---|---|
| Ὁ πανιερώτ. ἅγιος Λιβύης Κ. Ἰγνάτιος. . . . . . | 1 |
| Ἀρχιμ. Μητροφάνης ἡγούμενος τῆς μονῆς τοῦ ἁγ. Γεωργίου . . . . . . . | 2 |
| Ἀρχιμ. Ἰγνάτιος. . . . . | 1 |
| Νεόφυτος ἱερομόναχος Λήμνιος . . . . . . . . . | 1 |
| Ἰγνάτιος ἱεροδιάκονος Ἀλεξιάδης . . . . . . . . | 2 |
| Χριστόδουλος ἱεροδιάκονος. | 1 |
| Ἀριστοτέλης Ἀλεξιάδης. . | 1 |
| Σταῦρος Ἀλεξιάδης . . . | 1 |
| Γεώργιος Παχουνδάκης. . | 1 |
| Στυλιανὸς Εὐσταθ. Φερεντῖνος . . . . . . . . . | 1 |
| Ἐμμ. Πάπαρης Λέριος. . | 1 |

ΕΝ ΜΑΝΣΟΥΡᾼ.

| | |
|---|---|
| Ὁ ἀρχιμ. τῆς ἑλλην. ἐκκλ. Ἱερεμίας Μανιᾶς Πάτμιος . , . . . . . . . | 6 |

ΕΝ ΒΙΕΝΝῌ.

| | |
|---|---|
| Ὁ ἀρχιμ. τῆς ἑλλ. ἐκκλ. Σεραφεὶμ Ζερλέντης Πάτμιος . , . . . . . . . . | 6 |

| | Σώμ. |
|---|---|

ΕΝ ΙΚΑΡΙᾼ.

| | |
|---|---|
| Ἡ ἱερὰ μονὴ τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου . . . | 20 |

ΕΝ ΚΡΗΤῌ.

| | |
|---|---|
| Ὁ οἰκονόμος τῆς ἱερᾶς μονῆς τοῦ Θεολόγου Παΐσιος Κονέλης Πάτμιος. . . . | 6 |

ΟΙ ΕΝ ΣΑΜῼ *(Μαραθοκάμπῳ)*.

| | |
|---|---|
| Ὁ τῆς ἱερᾶς μονῆς τοῦ ἁγ. Ἰωάννου τοῦ Ἐλεήμονος ἡγούμενος Κάλλιστος . . | 2 |
| Ἰωάν. Παπαχάρακας ἱερεύς. | 3 |
| Γ. Μ. Βοίνης . . . . . . | 2 |
| Κ. Σαρηγιάννης . . . . . | 1 |
| Α. Γιαννοῦτσος . . . . . | 1 |
| Ι. Δηλανᾶς . . . . . . . | 1 |
| Δ. Σκοῦφος . . . . . . . | 1 |
| Α. Μουρμούρης . . . . . | 1 |

*(Καρλοβασίῳ)*.

| | |
|---|---|
| Χρ. Δ. Σουβαλτζῆ. . . . | 2 |
| Ἀντιόπη Ι. Π. Μανουὴλ . | 1 |
| Γραμ. Ν. Τσαμανίδου . . | 1 |

ΟΙ ΕΝ ΚΑΛΥΜΝῼ.

| | |
|---|---|
| Ὁ Λέρνης Δανιὴλ . . . . | 6 |

| | Σώμ. |
|---|---|
| Ἀρχιμανδρίτης Ἰωακεὶμ . | 1 |
| Νικόδημος πρωτοπαπᾶς. . | 1 |
| Μεθόδιος ἱερομόναχος. . . | 1 |
| Σκευοφύλαξ Πικραμμένος ἱερεὺς. . . . . . . . . | 2 |
| Νικόλ. Πιζάνιας ἱερεὺς . . | 1 |
| Χρύσανθος ἱεροδιάκονος. . | 1 |
| Μανουὴλ Μαΐλης ἱερεὺς. . | 1 |
| Γρηγόριος ἱερομόναχος . . | 1 |
| Μανουὴλ Λελέκης ἱερεὺς . | 1 |
| Σκευοφύλαξ Σφουγγαριστὸς ἱερεὺς. . . . . . . . . | 1 |
| Ἰωάννης Μιλᾶτος ἱερεὺς. . | 1 |
| Ἰωάννης Πατέλλης ἱερεὺς . | 1 |
| Θεόκλητος ἱερομόναχος . . | 1 |
| Σέργιος ἱερομόναχος . . . | 1 |
| Μιχαὴλ Κουτσαίνης ἱερεὺς. | 1 |
| Συμεὼν ἱεροδιάκονος α΄ ψάλτης τοῦ ναοῦ τοῦ Σωτῆρος Χριστοῦ. . . . . | 1 |
| Μακάριος ἱερομόναχος. . . | 1 |
| Νικηφόρος ἱερομόναχος . . | 1 |
| Ἡ ἐκκλησία τοῦ ἁγ. Χαραλάμπους. . . . . . . . | 1 |
| Μισαὴλ ἱερομόναχος . . . | 1 |
| Ἄνθιμος ἱερομόναχος . . . | 1 |
| Ἀντώνιος Θωμᾶς ἱερεὺς. . | 1 |
| Μιχαὴλ Φούσκης. . . . . | 1 |
| Γεώργιος Μ. Πολιτάρχης . | 1 |

ΟΙ ΕΝ ΣΥΡΩ.

| | |
|---|---|
| Παΐσιος ἱερομ. σύγκελλος . | 1 |

| | Σώμ. |
|---|---|
| Κωνστ. Κεφαλιάνος Πάτμιος . . . . . . . . . | 1 |
| Φιλοποίμην Δημ. Βολανόπουλος . . . . . . . . | 1 |

ΟΙ ΕΝ ΑΘΗΝΑΙΣ.

| | |
|---|---|
| Ἡ κ. Ἀλτάνη Γ. Καλοῦ συνταγματάρχου . . . . | 2 |
| Ἡ κ. Καλλιόπη Ἐμ. Νικολούδη. . . . . . . . . | 1 |
| Ι. Σακκελίων διὰ τὸν ἐν Πάτμῳ ἱερὸν ναὸν τῆς Ἐλεημονητρίας . . . . | 2 |
| Δ. Σ. Καζούλης Πάτμιος. | 1 |
| Ι. Ι. Πετράντης « | 1 |
| Δ. Μ. Νικηταΐδης Λέριος. | 1 |
| Ν. Ἐμ. Μαράτος « | 1 |

ΟΙ ΕΝ ΠΕΙΡΑΙΕΙ.

| | |
|---|---|
| Π. Πολυχρονιάδης Πάτμιος | 1 |
| Χ. Μαν. Παραδείσης Πάτμιος . . . . . . . . | 1 |
| Βασίλειος Γεωργουλάκης . Κρὴς. . . . . . . . . | 1 |
| Ν. Στεακύδης Περαιεὺς. . | 1 |
| Α. Α. Βουρίκης » . . | 1 |
| Δ. Ι. Ἰωαννίδης » . . | 1 |
| Κ. Κατελανάκης Θηραῖος. | 1 |
| Α. Ζαχαροπλάστης » . | 1 |
| Γ. Δ. Λογοθέτης Ἀστυπαλαιεὺς . . . . . . . | 1 |

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000021819